a. gr. b. 3607 k/63

ΠΙΝΔΑΡΟΥ

ΤΑ ΣΩΖΟΜΕΝΑ

ΜΕΤΑ ΜΕΤΑΦΡΑΣΕΩΝ ΣΗΜΕΙΩΣΕΩΝ

καὶ

ΠΙΝΑΚΟΣ ΤΩΝ ΛΕΞΕΩΝ

ΕΙΣ ΤΟΜΟΥΣ Ε΄.

ὑπὸ

Κ. ΚΛΕΑΝΘΟΥΣ

ΤΟΜΟΣ Γ΄.

ΕΝ ΤΕΓΕΣΤῌ
Ἐκ τῆς Τυπογραφίας Μορτέῤῥα καὶ Σ.
1886.

a. gr. b. 3607 k/(3

ΠΙΝΔΑΡΟΥ

ΤΑ ΣΩΖΟΜΕΝΑ

ΜΕΤΑ ΜΕΤΑΦΡΑΣΕΩΝ ΣΗΜΕΙΩΣΕΩΝ

καὶ

ΠΙΝΑΚΟΣ ΤΩΝ ΛΕΞΕΩΝ

ΕΙΣ ΤΟΜΟΥΣ Ε'.

ὑπὸ

Κ. ΚΛΕΑΝΘΟΥΣ

ΤΟΜΟΣ Γ'.

ΕΝ ΤΕΓΕΣΤΗ
Ἐκ τῆς Τυπογραφίας Μορτέῤῥα καὶ Σ.
1886

Bayerische
Staatsbibliothek
MÜNCHEN

NEMEA

Bayerische Staatsbibliothek MÜNCHEN

ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΝΕΜΕΩΝ
ΚΑΤΑ ΤΟΥΣ ΠΑΛΑΙΟΥΣ

Τὸν ἀγῶνα τῶν Νεμέων τινὲς μὲν ὑφ᾽ Ἡρακλέους τεθεῖσθαί φασιν ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει· οἱ δὲ οὐχ οὕτως, ἀλλὰ ἱστορίαν τινὰ λέγουσιν ἐπ᾽ αὐτῷ, ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευομένοις διὰ τοῦ ἰδίου θανάτου· ὁ δὲ ἀγὼν ἐπιτάφιος· καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν δεικνύουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου εἰσάγει, οὐδὲ Νέστορα, τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον· καί φασιν οὐδὲ ὄνομα τοῦ στεφάνου εἰδέναι τὸν ποιητήν, ἀποδεικνύντες, ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εἴρηται· στεφάνας μὲν γὰρ λέγει, στεφάνους δὲ οὔ. Τῶν οἱ μὲν καλὰς στεφάνας ἔχον (Ὁμ. Ἰλιαδ. σ, 597).

Ἄλλως. Ὑπόθεσις τῶν αὐτῶν.

Οἱ ἑπτὰ ἐπὶ Θήβαις παραβαλόντες τῇ Νεμέᾳ διψήσαντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ φερούσῃ τὸν Λυκούργου τοῦ τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλτην· ἡ δὲ ἀφηγήσατο αὐτοῖς εἴς τινα πηγήν, καταλιποῦσα τὸν παῖδα ἔν τινι λειμῶνι, ὃν δράκων περιειληθείς, ἰὸν ἀφείς, ἀνεῖλεν· οἱ δὲ ὑποστρέψαντες, καὶ τὸ πάθος θεασάμενοι, τόν τε δράκοντα κτείνουσι, καὶ ἀγω-

να ἐπιτάφιον ἱστῶσι τριετηρικόν· ἠγωνίζοντο δὲ στρατιῶται καὶ παῖδες στρατιωτῶν· ὕστερον δὲ καὶ ἐπὶ τὸ δημοτικὸν πλῆθος ἔδραμεν· ἦν δὲ γυμνικὸς καὶ ἅρμα, οὐχὶ δίφρος οὐδὲ κέλης· ἔτυχε δὲ οὕτως Ὑψιπύλη ἐν Νεμέᾳ· ὡρισμένου παρὰ τῶν Λημνιάδων πᾶν̣ τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα, ἐνείρξασα κιβωτῷ, ἐφύλαττεν· ὕστερον δὲ μετὰ τὸ τοὺς Ἀργοναύτας ἐκπλεῦσαι, φανεροῦ γενομένου ταῖς Λημνιάσι τοῦ κατὰ τὸν Θόαντα, αὐτὸν μὲν κατεπόντωσαν ἐνείρξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον· ἡ δὲ μαθοῦσα φεύγει· ἐν τοσούτῳ δὲ λῃσταῖς περιτυχοῦσα πιπράσκεται Λυκούργῳ· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ κατὰ ζήτησιν οἱ παῖδες Θόας καὶ Εὔνεως παρέβαλον ἐν Νεμέᾳ. Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βουλομένης διὰ τὸν Ὀφέλτου θάνατον ἀνελεῖν τὴν Ὑψιπύλην, διὰ τοῦτό τε ἔν τινι τόπῳ λαθραίῳ κατακλεισάσης, Ἀμφιάραος μαντευσάμενος δείκνυσι τοῖς παισὶ τὴν Ὑψιπύλην· ἡ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τοὺς ἥρωας τοῖς παισὶν ἀγωνίσασθαι.

Ἄλλως.

Τὰ Νέμεά φασιν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ, τῷ Εὐφήτου καὶ Κρεούσης παιδί, ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι, τελευτήσαντα ἐπὶ τὸν Θηβαϊκὸν πόλεμον· τοῦτον δὲ ἔτυχε τροφεύουσα Ὑψιπύλη, ἣν ᾔτησαν οἱ Ἀργεῖοι ὕδωρ· τῆς δὲ ἀπελθούσης ὑδρεύσασθαι, ὄφις ἐπελθὼν ἀνεῖλε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος Ἀρχέμορον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τοῦ παιδὸς θάνατος, ἐφ' ᾧ καὶ τὸν ἀγῶνα διέθηκαν, τὴν Ὑψιπύλην παραμυθούμενοι· ἄλλοι δέ, ὧν ἐστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ, τῷ Νεμέας παιδί· οἱ δέ, ἐπὶ τῷ Ταλαοῦ παιδί, Ἀδράστου δὲ ἀδελφῷ· εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα

τοῦ Θηβαϊκοῦ πολέμου· ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθιστάντες τὸν ἀγῶνα· ὑπέσχοντο δὲ ἐκ τῶν λαφύρων ὑπονοστήσαντες ἀργυρίτην αὐτὸν ποιῆσαι· καὶ διὰ τοῦτο στεφανίτης πρῶτον ἐκλήθη· προέστησαν δὲ τοῦ ἀγῶνος καὶ Ἀργεῖοι καὶ Κορίνθιοι καὶ Κλεωναῖοι· ἐμπεδοῦντες δὲ αὐτὸν, τῷ Νεμεαίῳ ἀνέθηκαν Διΐ· ἐστέφοντο δὲ τὸ παλαιὸν ἐλαίᾳ, ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν Μηδικῶν, ἐπὶ τιμῇ τῶν κατοιχομένων, σελίνῳ· οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ τοῦτον τεθῆναι· ἔστι δὲ ἡ Νεμέα τῶν Ἀργείων τῆς χώρας μοῖρα, ὠνομασμένη ἀπὸ τῆς Σελήνης καὶ Διός· οἱ δὲ ἀπὸ τῶν βοῶν, τῶν ὑπὸ Ἄργου νεμομένων ἐν τῷ χωρίῳ, αἳ ἦσαν Ἥρας ἱεραί· οἱ δὲ ἀπὸ τῶν Δαναοῦ παίδων, οἳ κατενείμαντο καὶ ἐκληρούχησαν τὸ χωρίον.

Ἄλλως.

Ὁ ἀγὼν ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ, τῷ Λυκούργου τοῦ ἱερέως παιδὶ, καθ' ὃν καιρὸν οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγωγοὶ ἐπεστράτευσαν Θηβαίοις, Πολυνείκει συμμαχοῦντες· οὗτοι γὰρ δυσφορήσαντες, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχεῖαν παραμυθίαν τῇ συμφορᾷ ποριζόμενοι λέγονται ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὁ γὰρ ἀγὼν ἐπιτάφιος· ὕστερον δὲ νικήσας Ἡρακλῆς καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα, ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησε· καί ἐστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ, δωδεκάτῃ· ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Ἄλλως.

Καθ' ὃν καιρὸν οἱ ἑπτὰ ἐπὶ Θήβαις τῶν Ἀργείων λοχαγωγοὶ ἐπεστράτευσαν, Πολυνείκει συμμαχοῦντες, εἰς Λῆμνον τὴν Θρᾳκικὴν καταντήσαντες καὶ δίψει συσχεθέντες, συνέτυχον Ὑψιπύλῃ, τῇ Λημνίᾳ γυναικί, καὶ καθικέτευον, ἅτε τῶν ἐγχωρίων ἔμπειρον οὖσαν, ξυναγῆσαι ἐπὶ πότιμον ὕδωρ· τοῖς δὲ λοχαγοῖς τὴν ἀβλαβῆ χάριν ἀπονεῖμαι βουληθεῖσα, καταλιπεῖν ἐπί τινα τόπον τὸν Ἀρχέμορον, Λυκούργου τοῦ ἱερέως παῖδα, ὃν εἶχε πρὸς ἀνατροφήν, Ἀργεῖον τὸ γένος· ὄφιν δὲ τῆς χειᾶς ἐξελθόντα κατὰ τὴν Ὑψιπύλης ἀπουσίαν περιπλακῆναι τῷ παιδί, καὶ ταῖς σπείραις ἀποτεταμένον ἀποπνίξαι τὸ βρέφος· τοὺς δὲ ἐπανελθόντας τοξεῦσαι μὲν τὸν ὄφιν, σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, εἶτα τῇ συμφορᾷ βραχεῖαν παραμυθίαν πορίζόμενοι θάψαι τὸν παῖδα, καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν κριταὶ φαιὰς ἐστολισμένοι στολάς, κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὁ γὰρ ἀγὼν ἐπιτάφιος· ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν· ὁ δὲ στέφανος ἐκ χλωρῶν πλέκεται σελίνων· διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμόν, καθόσον ἐκεῖνος ἔχει ξηρὰ τὰ σέλινα· προέστησαν δὲ τοῦ ἀγῶνος πρῶτοι μὲν οἱ Κλεωναῖοι, εἶτα Κορίνθιοι, καί ἐστι τριετής, τελούμενος μηνὶ Πανέμῳ ιβ.' οὐκ ἐξὸν δὲ πρότερον, εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους, ὕστερον δὲ ἐπιλειψάντων, καὶ τοῦ ἔτους διαλυθέντος, συνέβη τοὺς πάντας ἀγωνίζεσθαι· ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός

ΝΕΜΕΑ

ΕΙΔΟΣ Α'.

ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι ΑΡΜΑΤΙ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων δέκα.

Κῶλον 1. – ∸ ⏑ ∸ | ≐ ∸ ⏑ ∸ Δίμετρον ἰαμβικὸν ἀκατάληκτον.

„ 2. – ∸ ⏑ ∸ | – | ∸ ⏑ ⏑ | ∸ ⏑ ⏑ | ∸ Ἰαμβέλεγος.

„ 3. – ⏑ ⏑ | – ⏑ ⏑ | ∸ Δακτυλικὸν πενθημιμερές.

„ 4. – ∸ ⏑ ∸ | – | ∸ ⏑ ⏑ | ∸ ⏑ ⏑ | ∸ Ἰαμβέλεγος.

„ 5. ∸ ⏑ ∸ – | ∸ ⏑ ∸ Εὐριπίδειον.

„ 6. ∸ ⏑ ⏑ | ∸ ⏑ ⏑ | – ⏑ ⏑ | ∸ – Τετράμετρον δακτυλικὸν ἀκατάληκτον τοῦ τελευταίου ποδὸς σπονδείου.

„ 7. ∸ ⏑ ∸ – | ∸ ⏑ ∸ Εὐριπίδειον

„ 8. ∸ ⏑ ∸ – | ∸ ⏑ ⏑ ∸ | ⏑ ⏑ ≐ Τὸ καλούμενον Σαπφικὸν ἑνδεκασύλλαβον· ὅπερ ὅμως ἐνταῦθα ἔχει τὴν κατακλεῖδα οὐχὶ ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου συλλαβῆς, ὥσπερ τὸ ἀληθὲς ἑνδεκασύλλαβον Σαπφικὸν, ἀλλὰ ἐκ πυῤῥιχίου καὶ τῆς ἀδιαφόρου.

Κῶλον 9. ∸ ⏑ ∸ – | ∸ ⏑ ∸ Εὐριπίδειον.

„ 10. – ∸ ⏑ ∸ | – ∸ ⏑ ∸ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ὀκτώ.

Κῶλον 1. ⏖ ⏑ – ⏓ | – ⏑ – – Δίμετρον τροχαϊκὸν ἀκατάληκτον· ὁ πρῶτος ποῦς ἀντὶ τροχαίου ἐστὶ τρίβραχυς.

„ 2. – ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ | – Δακτυλικὸν ἐφθημιμερές.

„ 3. – ⏑ ⏑ | – ⏑ ⏑ | – Δακτυλικὸν πενθημιμερές.

„ 4. ⏑ ⏑ – – | ⏑ – – | – ⏑ – Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν, τῆς δευτέρας συζυγίας τροχαϊκῆς, τῆς τρίτης τροχαϊκῆς καταληκτικῆς.

„ 5. – ⏑ – – | – ⏑ ⏑ – | ⏑ – ⏓ Τὸ καλούμενον Σαπφικὸν ἑνδεκασύλλαβον ὅμοιον τῷ ὀγδόῳ τῶν στροφῶν.

„ 6. ⏑ ⏑ – – | – ⏑ – – Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον μετὰ διποδίας τροχαϊκῆς.

„ 7. – ⏑ – – | – ⏑ – ⏑ ⏑ | ⏖ – Τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Ὁ τελευταῖος ποῦς σπονδεῖος, οὗ ἡ πρώτη μακρὰ ἀνελύθη εἰς δύο βραχείας· μόνον τῆς τετάρτης ἐπῳδοῦ ἡ δευτέρα συζυγία τοῦ ἀντιστοιχοῦντος κώλου ἔχει τὸν δεύτερον πόδα δάκτυλον ἀντὶ σπονδείου, ὡς ἐν τοῖς λοιποῖς κώλοις. Τὸ κῶλον τῆς δευτέρας ἐπῳδοῦ ἔχει κατὰ παράβασιν τοῦ μέτρου τὴν πρώτην συζυγίαν χορίαμβον.

8. – ⏑ – – | – ⏑ – Εὐριπίδειον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἐπειδὴ ὁ κῶμος ἢ ἡ πομπὴ τελεῖται ἐν Ὀρτυγίᾳ περὶ τὸ ἱερὸν τῆς Ἀρτέμιδος· διὰ τοῦτο

ἐν τῷ προοιμίῳ ἀποτείνεται εἰς αὐτὴν ὁ ποιητὴς λέγων, ὅτι ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ἄρχομαι τοῦ εἰς τὸν Χρόμιον ὕμνου, νομίζων, ὅτι θὰ εὐχαριστήσω τὸν Δία τὸν προστάτην τῆς Αἴτνης, τῆς νέας πόλεως τοῦ Χρομίου (ἀπὸ στ. 1-7). Τὸ δὲ αἴτιον τοῦ νὰ ὑμνήσω ἐστὶν ἡ ἐν Νεμέᾳ νίκη (ἀπὸ στ. 8-10). Κατασκευάζει ὁδὸν, δι᾽ ἧς μεταβαίνει εἰς τοὺς ἐπαίνους τῆς Σικελίας (11-15), οἵτινες ἐκτείνονται ἀπὸ στ. 16-28. Ἐντεῦθεν μεταβαίνων εἰς τοὺς ἐπαίνους αὐτοῦ τοῦ Χρομίου ἐπαινεῖ πρῶτον τήν τε φιλοξενίαν αὐτοῦ καὶ τὴν γενναιότητα εἰς τὸ δειπνεῖν συχνάκις τοὺς πολίτας, δι᾽ ὧν ἀποσβεννύει τὰς μέμψεις τῶν φθονούντων (ἀπὸ στ. 29-35.) Δεύτερον ἐπαινεῖ τήν τε σωματικὴν αὐτοῦ ἐπιτηδειότητα εἰς ἔργα ῥωμαλεότητος καὶ τὴν ἐν ταῖς μάχαις σύνεσιν καὶ πρόγνωσιν τοῦ νοὸς τοῦ Χρομίου (ἀπὸ στ. 36-43). Τρίτον ἐπαινεῖ τὸν Χρόμιον· διότι ἀναλίσκει τὸν πλοῦτον εἰς τὸ κατορθοῦν ἔργα ἔν τε τοῖς ἱεροῖς ἀγῶσιν ἔν τε ταῖς πρὸς τοὺς πολεμίους μάχαις ἄξια τοῦ κοινοῦ παρὰ πᾶσιν ἐπαίνου (στ. 44-49). Θέλων δὲ ὁ ποιητὴς νὰ προμαντεύσηται, ὅσα τὸ κοινὸν τῶν πολιτῶν τοῦ Χρομίου ἔχει νὰ ἐλπίζῃ καὶ νὰ προσδοκᾷ παρ᾽ αὐτοῦ, ὅστις λίαν ἔτι νέος τοιαῦτα κατώρθωσε, διηγεῖται τὸν περὶ Ἡρακλέους μῦθον (ἀπὸ στ. 50- τέλους), ἵνα οἷς ὁ Τειρεσίας μαντεύεται περὶ τοῦ Ἡρακλέους, τὰ αὐτά πως προμαντεύωνται καὶ περὶ τοῦ Χρομίου οἱ Συρακούσιοι.

ΕΙΣΑΓΩΓΗ.

«Ἐπιγέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ· Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξελὼν Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν τοῖς ἀναῤῥήσεσιν ἔν τισι τῶν ἀγώνων (ὅρα Πυθ. Α.΄) Αἰτναῖον ἑαυτὸν εἶπεν· ταὐτὸν δὲ (φησὶν ὁ Δίδυμος) εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον ἑταίρῳ κεχρημένον αὐτῷ. Ἦν δὲ Χρόμιος ἡνίοχος Ἱέρωνος παιδόθεν· οὗτος ἅτε δὴ βασιλεῦσι συνὼν καὶ ἄριστος ὢν τὴν ἱππικὴν ἐπλούτησε, καὶ ἤρξατο ἀποστὰς τοῦ Ἱέρωνος καθ' ἑαυτὸν ἱπποτροφεῖν· νικᾷ δὲ νῦν ἵππων ἅρματι πρῶτον ἀγωνισάμενος». Π. Σ. Ἐνίκησε δὲ ὁ Χρόμιος τὴν παροῦσαν νίκην μετὰ τὴν κτίσιν τῆς Αἴτνης, ἧς πολίτης Αἰτναῖος γενόμενος, πρότερον Συρακούσιος ὤν, ἐνίκησεν ἴσως τὴν 76. Ὀλυμπ. ἡ δὲ ᾠδή, ὡς εἰκάζουσιν, ᾔσθη τὸ 4.ον τῆς 76. Ὀλυμπιάδος· ᾄδεται δὲ ἡ ᾠδὴ ἢ ἐν κώμῳ ἢ ἐν πομπῇ τελουμένῃ ἐν Ὀρτυγίᾳ πρὸς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, ᾧ θὰ ἀφιερώσῃ τὸν στέφανον· τοῦτο δὲ συμπεραίνεται ἐκ τοῦ προοιμίου, ἐν ᾧ ἀποτείνεται πρὸς τὴν Ὀρτυγίαν καλῶν αὐτὴν Δέμνιον Ἀρτέμιδος. Ὁ Χρόμιος καὶ ἰσχυρότατος τῷ σώματι καὶ ἀνδρειότατος ἐν ταῖς μάχαις ἐπεδείξατο μεγάλα ἔργα ἀρετῆς καὶ φρονήσεως ἐν αὐταῖς. Τὰς μεγάλας αὐτοῦ πολεμικὰς ἀρετὰς καὶ ἀνδραγαθίας καὶ ἐν τῇ παρούσῃ ᾠδῇ ἐπαινεῖ καὶ ἐν τῇ Θ.΄ τῶν Νεμέων· καὶ οἱ Π. Σ. πολλὰ ἀναφέρουσι περὶ τοῦ ἥρωος τούτου καὶ περὶ τῶν πρὸς τὴν πατρίδα ἐν τοῖς πολέμοις ὑπηρεσιῶν αὐτοῦ.

Σ. ά. Κ. ι.

ΑΜΠΝΕΥΜΑ σεμνὸν Ἀλφεοῦ,
Κλεινᾶν Συρακοσσᾶν θάλος, Ὀρτυγία,
Δέμνιον Ἀρτέμιδος,

— Στ. 1-7. Ἄμπνευμα . . . χάριν] «ὁ νοῦς· ὦ σεμνότατον ἀνάπαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἐνδιαίτημα καὶ τῆς Δήλου ἀδελφή· ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ὁ ἡδυεπὴς ὕμνος τὴν ὁρμὴν ἔχει, ὥστε θεῖναι καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ὀξυτάτων ἵππων Διὸς ἕνεκεν τοῦ ἐν Αἴτνῃ». Π. Σ. — ἄμπνευμα Ἀλφεοῦ] «ἡ δὲ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος εἶτα προσχωθεῖσα χεῤῥόνησος γέγονε» Π. Σ. (ὅρα Σημ. Ὀλυμ. ΣΤ'. 156.) Καλεῖ λοιπὸν τὴν χεῤῥόνησον ταύτην, τὴν Ὀρτυγίαν, ἀνάπαυμα τοῦ Ἀλφεοῦ, ἢ διότι ἐρασθεὶς ὁ Ἀλφειὸς τῆς Ἀρτέμιδος ἐδίωξε μέχρι Ὀρτυγίας, ὅπου καταλαβὼν αὐτὴν ἀνεπαύθη (παράβαλ. πρὸς Πυθ. Α'/Β'. 13.), διὸ λέγει κατ' εὐφημισμὸν σ ε μ ν ό ν· ἢ διότι ἐρασθεὶς τῆς Ἀρεθούσης καὶ μὴ ἀρεσκομένην γήμασθαι διώξας ἐπεραιώθη εἰς τὴν κατὰ τὰς Συρακούσας Ὀρτυγίαν (Παυσαν. Ε'. 7.), ὅπου ἀνεπαύθη μὲν, οὐκ ἔτυχε δὲ τῆς εὐνῆς, αὐτὸς μὲν μεταβληθεὶς εἰς ποταμὸν, τῆς δὲ Ἀρεθούσης εἰς πηγήν· διὸ καὶ τίθησι κατὰ τὴν κυρίαν σημασίαν τὴν λέξιν «σεμνὸν» Ὅθεν ὁ νοῦς διττὸς, ἢ «ὦ Ὀρτυγία, ἐν ᾗ ὁ Ἀλφειὸς ἀνεπαύθη συνευνασθεὶς σεμνῶς σὺν τῇ Ἀρτέμιδι»· ἢ «ὦ Ὀρτυγία, ἐν ᾗ ὁ Ἀλφειὸς ἀνεπαύθη μὲν, σεμνῶς δὲ, ἐπεὶ οὐ συνευνάσθη τῇ Ἀρεθούσῃ». — Δέμνιον Ἀρτέμιδος] «Ὁ μὲν Ἀρίσταρχος τὴν Ὀρτυγίαν ἀκούει διὰ τὸ κατ' ἐνίους αὐτόθι δοκεῖν αὐτὴν γεγεννῆσθαι· ἔνιοι δὲ

Δάλου κασιγνήτα· σέθεν ἁδυεπὴς
Ὕμνος ὁρμᾶται θέμεν
Αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίου χάριν·
Ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα
Θ', ἔργμασιν νικαφόροις
Ἐγκώμιον ζεῦξαι μέλος.

Ἀ. ά. Κ. ί.

Ἀρχαὶ δὲ βέβληνται θεῶν

ἱστορικώτερον ἀκούουσι· τὸν γὰρ Ἀλφειόν φασι ἔρωτι ἁλόντα τῆς Ἀρτέμιδος ἐπιδιῶξαι αὐτὴν ἄχρι τῆς Σικελίας· τοῦ δὲ τέλους τῆς διώξεως αὐτόθι γενέσθαι· διὰ τοῦτο δὲ καὶ τὴν Ἄρτεμιν Ἀλφειώαν προσαγορεύεσθαι, καὶ ἐν Ὀλυμπίᾳ δὲ ὁ Ἀλφειὸς τῇ Ἀρτέμιδι συναφίδρυται· καὶ τὴν ποταμίαν δὲ Ἄρτεμιν ἔνιοι παρὰ τῷ Πινδάρῳ ἀκούουσι διὰ τὸ ἐπ' αὐτῇ τοῦ Ἀλφειοῦ πάθος» Π. Σ. ἔστι δὲ καὶ ἱερὸν τῆς Ἀρτέμιδος ἐν Ὀρτυγίᾳ· ὥστε καλῶς λέγεται αὕτη δέμνιον Ἀρτέμιδος — Δάλου κασιγνήτα] «εἴωθεν ὁ Πίνδαρος μετάγειν τὰς ὁμωνυμίας, ὥστε τὸ λεχθὲν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας, τοῦτο ἐπὶ τῆς πρὸς Συρακούσαις μετήχθη· ἔνιοι δὲ κασιγνήτην ἀκούουσιν ἀντὶ τοῦ συγγενῆ διὰ τὴν ὁμοιότητα· κοινὰ γὰρ τὰ ἐφ' ἑκατέρας ἱστορούμενα· καὶ γὰρ ἡ νῆσος Δῆλος καὶ ἡ Ὀρτυγία ἡ ἐν Συρακούσαις, νῆσοι, καὶ ὑπεδέξαντο θεοὺς ἀμφότεραι· καὶ ἐν μὲν Δήλῳ ὁ Νεῖλος διὰ πελάγους φερόμενος ποιεῖ τὴν κρήνην Ἰνωπὸν, ἐν δὲ τῇ πρὸ τῶν Συρακουσῶν Ὀρτυγίᾳ ὡσαύτως ὁ Ἀλφειὸς ποιεῖ τὴν Ἀρέθουσαν». Π. Σ. — σέθεν . . . ἵππων] Ταῦτα ἐπιτείνουσιν ἔτι μᾶλλον τὴν εἰκασίαν, ὅτι ἡ νίκη αὕτη ἐγένετο τῷ Χρομίῳ πρὶν ἔτι μετοικήσῃ ἀπὸ Συρακουσῶν εἰς Αἴτνην, ἧς ἐγεγόνει ἤδη πολίτης· διότι τὸ νὰ προοιμιάζηται ἐκ τῆς Ὀρτυγίας, νὰ λέγῃ, ὅτι ἡ

Ὀρτυγία ἐστὶν ἡ πρώτη ἀρχὴ καὶ αἰτία τοῦ νὰ νικήσωσιν οἱ ἵπποι τοῦ Χρομίου, ταῦτα οὐδὲν ἄλλο σημαίνουσιν, ἢ ὅτι ὁ Χρόμιος οἰκῶν ἔτι ἐν Συρακούσαις εἶχε τὰ ἱπποτροφεῖα ἐν Ὀρτυγίᾳ, ὅπου καὶ ὁ Ἱέρων· ὁ νοῦς «ὁ ὕμνος ἀπὸ σοῦ ἄρχεται, ὦ Ὀρτυγία· διότι σὺ ἔχεις τὰ ἱπποτροφεῖα καὶ τρέφεις καλῶς τοὺς ἵππους καὶ καθιστάνεις αὐτοὺς ἀξίους νίκης· ἀπὸ σοῦ λοιπὸν ἄρχεται νὰ ἐπαινῇ τοὺς ἵππους τοῦ Χρομίου ἐπὶ τῇ νίκῃ». Τὸ δὲ ὕ μ ν ο ς ἄ ρ χ ε τ α ί ἐστι προσωποποιΐα ἀντὶ τοῦ ἐγὼ ὑμνῶν ἀπὸ σοῦ ἄρχομαι. — Ζηνὸς Αἰτναίου χάριν] Ὁ Π. Σ. ἑρμηνεύει «ἕνεκεν τοῦ ἐν Αἴτνῃ Διός» ἐννοῶν κατὰ τὸν παρὰ τοῖς Π. Σ. Δίδυμον οὕτως «θέμεν αἶνον (νὰ συνθέσῃ ἔπαινον), ἵνα ᾀσθῇ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διός»· διότι «ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἦγον οἱ περὶ τὸν Ἱέρωνα τοὺς ἐπὶ τοῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινίκους καὶ ᾖδον· πιθανὸν οὖν φησιν ὁ Δίδυμος καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως ᾀσθήσεσθαι». Π. Σ. Ὁ δὲ Heynius ἐκλαμβάνει τὸ «Διὸς Αἰτναίου» λίαν συνεκδοχικῶς ἀντὶ τῆς νεοκτισθείσης Αἴτνης, ἑρμηνεύων «Ζηνὸς Αἰτναίου χάριν, decus novae coloniae Aetnae». Ἴσως ὀρθοτέρα πασῶν τῶν ἐξηγήσεών ἐστιν αὕτη «Α ἶ ν ο ν (γενησόμενον) τέρψιν καὶ χαρὰν τοῦ Αἰτναίου Διός»· ἤτοι ἐπεὶ ἡ νέα πόλις Αἴτνη ἐστὶν ὑπὸ τὴν προστασίαν τοῦ Αἰτναίου Διός· ὁ δὲ Χρόμιος πολίτης ταύτης τῆς πόλεως· ὁ Ζεὺς ἔδωκε τὴν νίκην τῷ Χρομίῳ· δοὺς δὲ τὴν νίκην, εἰκὸς καὶ νὰ χαρῇ ἐπὶ τῷ αἴνῳ.

— Στ. 8-10. Ἅρμα . . . μέλος] «Τὸ ἅρμα δὲ τοῦ Χρομίου καὶ ἡ Νεμέα, ἐν ᾗ τοῦτο εἰργάσατο ἔργα, τὴν νίκην τῷ Χρομίῳ ἐπενεγκόντα, ὀτρύνει με νὰ συνθέσω αὐτῶν τούτων τῶν ἔργων ἐγκώμιον».

— Στ. 11-15. Ἀρχαὶ δὲ . . . φιλεῖ] κατασκευάζει, ἤτοι αἰτιολογεῖ τὴν ἡγουμένην πρότασιν. Ὅθεν τὸ πρῶτον

Κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
Ἔστι δ᾽ ἐν εὐτυχίᾳ
Πανδοξίας ἄκρον· μεγάλων δ᾽ ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
Νῦν ἔγειρ᾽ ἀγλαΐαν τινὰ νάσῳ,
Τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ· κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
ριστεύοισαν εὐκάρπου χθονὸς
Ἐ. ά. Κ. ή.
Σικελίαν πίειραν ὀρθώ-

δ έ ἐστιν ἀντὶ τοῦ γάρ. Ὁ νοῦς «διότι τῶν νικηφόρων τούτων ἐργμάτων, ὡς οἰκοδομῆς, κατέθεσαν τὰς ἀρχὰς καὶ τὰ θεμέλια οἱ θεοὶ ἕνεκα τῶν δαιμονίων ἀρετῶν ἐκείνου τοῦ ἀνδρὸς (τοῦ Χρομίου)· ἐν δὲ τῇ εὐτυχίᾳ ταύτῃ, ἤτοι ἐν τῇ οἰκοδομήσει τῶν νικηφόρων τούτων ἐργμάτων, δηλονότι ἐν τῇ νίκῃ, ὑπάρχει τὸ ἄκρον τῆς πανδοξίας· ἡ δὲ Μοῦσα ἀγαπᾷ νὰ ᾄδῃ μεγάλα ἄθλα, ἔργματα νικαφόρα. Τούτου λοιπὸν ἕνεκα τὸ ἅρμα τοῦ Χρομίου καὶ ἡ Νεμέα ἀναγκάζουσί με νὰ συνθέσω μέλος ἐγκώμιον τούτων». — ἀρχαὶ θεῶν βέβληνται] «ἀρχαὶ καὶ θεμέλια θεῶν ἐτέθησαν ἐν τῇ οἷον οἰκοδομήσει τῶν νικηφόρων ἐργμάτων». Τὸ θ ε ῶ ν ἐστι γενικὴ ὑποκειμενικὴ τοῦ ἀ ρ χ α ί. Τί δὲ ἦσαν αἱ ἀρχαὶ αὗται, ἃς οἱ θεοὶ κατέβαλον; ἡ εὔνοια αὐτῶν· διότι ἄνευ τῆς εὐνοίας τῶν θεῶν

στ. 16. Ν ῦ ν ἔ γ ε ι ρ᾽ ἐστὶν ἡ κοινὴ γραφή, ἣ καὶ πρὸς τὸ μέτρον καλῶς ἔχει· διότι ὁ πρῶτος ποῦς ἀντὶ δακτύλου ἐστὶν ἀμφίμακρος. Ἕτεροι τὴν γραφὴν ταύτην διώρθωσαν εἰς Ν ῦ ν ἔ γ ε ρ᾽ ἀντὶ τοῦ ἤ γ ε ι ρ ε, δηλονότι ὁ Χρόμιος. Ἐγένετο δὲ καὶ ἐξ ἁπλῆς εἰκασίας διόρθωσις Σ π ε ῖ ρ έ ν υ ν.

οὐδὲν δυνατὸν γενέσθαι. — σὺν ἀρεταῖς] Ἡ σ ὺ ν ἐνταῦθα μετέπεσεν εἰς τὴν σημασίαν τῆς δ ι ὰ μετὰ αἰτιατικῆς· διότι «οἱ θεοὶ ἔβαλον τὰς ἀρχὰς καὶ τὰς βάσεις τοῦ οἰκοδομήματος τῆς νίκης τῇ βοηθείᾳ τῶν δαιμονίων ἀρετῶν (σὺν . . . ἀρεταῖς)» σημαίνει συνεκδοχικῶς «ἔθεσαν τὰς ἀρχὰς ἐξ αἰτίας τῶν ἀρετῶν». — Ἔστι δὲ . . . ἄκρον] «ἐν δὲ τῇ εὐτυχίᾳ ταύτῃ, καθ' ἣν βέβληται ὡς θεμέλιον ἡ εὔνοια τῶν θεῶν, ἐφ' ἧς ἐπῳκοδομήθη ἡ νίκη, τὰ ν ι κ α φ ό ρ α ἔ ρ γ μ α τ α, ὑπάρχει, ἐγένετο ἡ μεγίστη δόξα. — μεγάλων . . . φιλεῖ] ταῦτα κατακλείουσι τὴν αἰτιολογίαν. «Ἐπειδὴ ἐκ τῆς εὐνοίας τῶν θεῶν συνέβη ἡ νίκη, καὶ ἐπειδὴ ἡ Μοῦσα φιλεῖ μεμνῆσθαι, νὰ ᾄδῃ μεγάλα ἆθλα, οἷά ἐστι τὰ νικηφόρα ἔργματα τοῦ Χρομίου· διὰ ταῦτα ὀτρύνομαι ζ ε ῦ ξ α ι ἐ γ κ ώ μ ι ο ν μ έ λ ο ς».

— Στ. 17-18. Τὰν . . . Φερσεφόνᾳ] «Λέγεται δὲ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς Δήμητρος καὶ Κόρης, τοῦ Διὸς οὕτως ἐξ ἀρχῆς βουληθέντος». Π. Σ. Ἕκαστος κατανοεῖ, ὅτι ὁ μῦθος οὗτος ὁ ὑπὸ τοῦ Π. Σ. μνημονευόμενος ἀναφέρεται εἰς τὴν (κατὰ Στράβωνα βιβ. στ'. 273.) ὑπὸ πάντων θρυλλουμένην ἀρετὴν τῆς Σικελικῆς χώρας.

— Στ. 19-22. κατένευσέν τε . . . ἀφνεαῖς] «καὶ κατένευσεν αὐτῇ τῇ Περσεφόνῃ ὁ Ζεὺς τὴν πίειραν καὶ παχύγειον Σικελίαν, ὥσπερ ἐστὶ ἀρίστη πάσης εὐκάρπου γῆς, οὕτω νὰ καταστήσῃ ἐπισημοτάτην ἐπὶ καλλίσταις καὶ πλουσίαις πόλεσιν». — ἀριστεύοισαν εὐκάρπου χθονός] ἴσον «ἔχουσαν χώραν ἀρίστην πασῶν τῶν λοιπῶν εὐκάρπων χωρῶν». — ὀρθώσειν] πολυθρύλλητον νὰ ποιήσῃ (ὁ Ζεὺς)». — κορυφαῖς . . . ἀφνεαῖς] «ἐπὶ τῷ ἐξόχῳ κάλλει τε καὶ πλούτῳ τῶν πόλεων». Ἡ γενικὴ π ο λ ί ω ν οὐ σημαίνει πόλεων τῶν ἐν τῇ Σικελίᾳ· ἀλλ' ἔστι γενικὴ παραθετικὴ «πασῶν τῶν ἁπανταχοῦ πόλεων» καὶ ὥσπερ τὸ κ ο ρ υ φ ὰ ς ἀ ρ ε τ ῶ ν (Ὀλυμπ. Α'.

σειν κορυφαῖς πολίων ἀφνεαῖς·
Ὤπασε δὲ Κρονίων
Πολέμου μναστῆρά οἱ χαλκεντέος
Λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
Χρυσέοις μιχθέντα· πολλῶν ἐπέβαν
Καιρὸν, οὐ ψεύδει βαλών.

Σ. β΄. Κ. ι΄.

Ἔσταν δ' ἐπ' αὐλείαις θύραις
Ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
Ἔνθα μοι ἁρμόδιον

22.) σημαίνει τὰς ἐξαιρέτους ἀρετὰς πασῶν τῶν ἀρετῶν, οὕτω καὶ ἐνταῦθα κορυφαῖς πολίων σημαίνει ταῖς ἐξαιρέτοις πασῶν τῶν πόλεων. Προστίθησι δὲ καὶ τὸ ἐπίθετον ἀφνειαῖς, ἵνα δείξῃ, ὅτι τὸ ἐξαίρετον καὶ ἔξοχον τοῦτο μέμικται καὶ τῷ πλούτῳ. Ὅθεν δύναται νὰ ἑρμηνευθῇ οὕτω πως «ἐπὶ τῷ ἐξόχῳ κάλλει καὶ πλούτῳ πόλεων, ἅπερ οὐδεμία τῶν ἄλλων ἀλλαχοῦ πόλεων ἔχει».

— Στ. 23-27. Ὤπασε . . . μιχθέντα] «ὁ νοῦς· παρέσχε δὲ πρὸς τοῖς εἰρημένοις ὁ Ζεὺς αὐτῇ γενναίων ἀνδρῶν καὶ πολεμικῶν πλῆθος, ὥστε δι' ὅπλων μεμνῆσθαι τῶν πολεμικῶν καὶ ἱππαιχμίαις εὐδοκιμεῖν». Π. Σ. «οὐ μόνον δὲ εἰς τὰ τοῦ πολέμου δραστηρίους ἀπέδειξε τοὺς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας» — πολέμου μναστῆρα] «οἷον μνήμονα πολέμου, ἐπιστήμονα, οὐκ ἀμελοῦντα τῶν πολεμικῶν, ἀλλὰ κατατιθέμενον ἐν τῷ νῷ, ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολεμικὰ διόλου· ὅμοιον τῷ Μήστωρες ἀϋτῆς. (Ἰλιάδ. δ. 328.)» Π. Σ.

στ. 29. Εὕρηται ἐν χειρογρ. καὶ ἐπαυλείαις ἀντὶ τῶν ἐπ' αὐλείαις.

— Στ. 28. Πολλῶν ἐπέβαν καιρὸν . . . βαλὼν] «πολλῶν ἐπέβην καὶ ἡψάμην ἐγκωμίων τῆς Σικελίας καιροῦ δοθέντος ἐκ τῆς νίκης τοῦ Σικελοῦ Χρομίου, πάντα δὲ ταῦτα εἶπον οὐ ψευδῶς, ἀλλὰ ἀληθῆ». — πολλῶν ἐπέβαν] «Πολλοὺς ἐπαίνους εἶπον περὶ Σικελίας». — καιρὸν] Ἀναπλήρου τὸν νοῦν τοῦ ποιητοῦ οὕτως «νοήσας τὸν καιρόν» (ὅρα Ὀλύμπ. ΙΓ.' 68. καὶ Σημ. Πυθ. Α.' 157. καὶ τὴν Σημ.), ἢ κατὰ τὸν Π. Σ. «κατὰ καιρόν». Τίς δέ ἐστιν ὁ καιρὸς, ὃν ἐννοήσας, (ἢ καθ' ὃν) εἶπον τοὺς πολλοὺς τούτους ἐπαίνους περὶ τῆς Σικελίας; ὁ καιρὸς, ὃν παρέχει ὁ νικητὴς Σικελὸς ὤν. — βαλὼν] τὴν Σικελίαν «ἐπαινέσας (αὐτὴν) οὐ μετὰ ψεύδους». Ἔστι δὲ τὸ οὐ ψεύδει βαλὼν (αὐτὴν), μεταποίησίς τις τοῦ (Ὀμ. Ὀδυσσ. ε. 479). ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν.

— Στ. 29-30. Ἔσταν δὲ . . . μελπόμενος] ἐῶν τοὺς ἐπαίνους τῆς Σικελίας ἔρχεται εἰς τοὺς προσωπικοὺς ἐπαίνους αὐτοῦ τοῦ Χρομίου· καὶ πρῶτον ἐπαινεῖ μέχρι στ. 35. τὴν φιλοξενίαν τοῦ ἀνδρός· εἶτα δὲ τὰς ἄλλας ἀρετὰς αὐτοῦ «Ἤδη ἂς ἐάσω τοὺς ἐπαίνους τῆς Σικελίας καὶ ἂς ᾄσω τὰ καλὰ τοῦ Χρομίου». Ἡ ᾠδὴ, ὡς εἴπομεν ἐν τῇ εἰσαγωγῇ, ᾄδεται ἢ ἐν κώμῳ τελουμένῳ ἐν τῇ οἰκίᾳ τοῦ Χρομίου, ἢ ἐν πομπῇ πρὸς τὸ ἱερὸν τῆς Ἀρτέμιδος· καὶ ἂν μὲν ἡ ᾠδὴ ᾄδηται ἐν κώμῳ, ἑρμηνευτέον τὸ χωρίον οὕτω «ἵσταμαι κωμάζων ἐν τῇ οἰκίᾳ τοῦ Χρομίου (ἔσταν ἐπ' αὐλείαις θύραις), ἵνα ᾄσω (μελπόμενος) τὰ καλὰ οὐχὶ μόνον τῆς Σικελίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ Χρομίου, ἀνδρὸς φιλοξένου». Ἐὰν δὲ ᾄδηται ἐν πομπῇ, ὑποθετέον, ὅτι διαβαίνουσα αὕτη τὴν περὶ τὴν θύραν τῆς αὐλῆς τῆς οἰκίας τοῦ Χρομίου ὁδὸν ἵσταται ἐπ' ὀλίγον· ᾄδοντος τοῦ χοροῦ ἔσταν δ' ἐπ' αὐλείαις κ. λ.

— Στ. 31-33. Ἔνθα μοι . . . [δόμοι ἐντί] Καλέσας τὸν Χρόμιον φιλόξενον περιγράφει ἐνταῦθα τὰ

Δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
Οὐκ ἀπείρατοι δόμοι
Ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσ-
λὸς ὕδωρ καπνῷ φέρειν
Ἀντίον· τέχναι δ' ἑτέρων ἕτεραι.
Χρὴ δ' ἐν εὐθείαις ὁδοῖς
Στείχοντα μάρνασθαι φυᾷ.

Ἀ. β'. Κ. ι'.

Πράσσει γὰρ ἔργῳ μὲν σθένος,
Βουλαῖσι δὲ φρήν, ἐσσόμενον προϊδεῖν,

ἔργα οὐ μόνον τῆς φιλοξενίας αὐτοῦ· ἀλλὰ καὶ τῆς πρὸς τοὺς πολίτας γενναιότητος, ἅπερ ἐστὶ τὸ εἶναι ἀεὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ δεῖπνον παρεσκευασμένον τοῖς τε πολίταις καὶ τοῖς ξένοις. — μοι κεκόσμηται] ταῦτα ὁ χορὸς λέγει ὡς ἀπὸ μέρους τῶν πολιτῶν. Ὅθεν τό *μοι* ἐστὶν «ἡμῖν τοῖς πολίταις»· *κεκόσμηται* δὲ οὐχὶ σήμερον, ὅτε ἄγεται κῶμος ἢ πομπή, ἀλλὰ καθ' ἑκάστην· ἢ τοὐλάχιστον τὸ *θαμὰ* συναπτέον οὐ μόνον τῷ *ἐντί*, ἀλλὰ καὶ τῷ *κεκόσμηται*. — ἀλλοδαπῶν οὐκ ἀπείρατοι ἐντί] «ὑποδέχονται ξένους».

— Στ. 34-35] λέλογχε . . . φέρει ἀντίον] Παρὰ τοῖς Π. Σ. ὑπάρχουσι πολλαὶ διάφοροι ἀλλήλων ἑρμηνεῖαι τοῦ χωρίου τούτου· οἱ νεώτεροι ὅμως ὀρθῶς ἡρμήνευσαν «Ἐπέτυχεν ὁ Χρόμιος διὰ τῆς πρός τε τοὺς πολίτας καὶ ξένους ἐλευθεριότητος ἀγαθῶν ἀνδρῶν φίλων, οἷς χρῆται κατὰ τῶν μεμφομένων αὐτῷ ὡς ὕδατι κατὰ τοῦ πυρός». — λέλογχε φέρειν] «ηὐνοήθη δὲ παρὰ τῆς τύχης (ἕνεκα τῆς εἰρημένης φιλοξενίας) ὁ Χρόμιος νὰ

στ. 34-35. *ἐσ-λῶς* γραφὴ παρὰ τοῖς Π. Σ. ἡ δὲ γραφὴ *ἐσλοὺς* ἐκ διορθώσεως.

φέρῃ». — ἐσλὸς] αἰτιατικὴ ἀντὶ ἐσλούς· ἔστι δὲ ἀντικείμενον τοῦ φέρειν· ἐσλοὺς δὲ οὐκ ἐννοεῖ μόνον τοὺς πολίτας καὶ ξένους, οὓς διὰ τῆς ἐλευθεριότητος ἐκτήσατο φίλους ὁ Χρόμιος, ἀλλὰ κυριώτατα αὐτὸν τὸν Ἱέρωνα, ὃς λίαν ηὐνόησεν αὐτὸν διὰ τὴν στρατιωτικὴν σύνεσιν καὶ ἀνδραγαθίαν, ἣν ἐν μάχαις ἐπεδείξατο· διότι ἐν τοῖς ἑπομένοις (ἀπὸ στ. 36-49) οὐκ ἐγκωμιάζει αὐτὸν μόνον ἐπὶ τῇ Νεμεακῇ νίκῃ, ἀλλὰ καὶ ἐπὶ ἀνδραγαθίαις καὶ συνέσει ἐν μάχαις πολεμικαῖς. — μεμφομένοις ἀντίον] «ἐναντίον τῶν μεμφομένων καὶ φθονούντων αὐτὸν, τὸν Χρόμιον». — ὕδωρ καπνῷ] Ἡ σύνταξις «ἀντίον τοῖς μεμφομένοις φέρειν ἐσλοὺς οὕτως, ὥσπερ ὕδωρ ἀντίον καπνῷ». Παραβάλλει λοιπὸν τὸν φθόνον τῶν μεμφομένων πρὸς τὸ πῦρ· καὶ ὥσπερ τὸ ὕδωρ σβεννύει τὸ πῦρ, οὕτω καὶ οἱ ἀγαθοὶ ἄνδρες, οὓς ὁ Χρόμιος ἐκτήσατο φίλους, σβεννύουσι τὸν φθόνον τῶν μεμφομένων αὐτῷ. Περὶ δὲ τῆς παραλείψεως τοῦ «οὕτως, ὥσπερ» ὁ παρὰ τοῖς Π. Σ. Ἀρίσταρχος λέγει «ταῖς δὲ τοιαύταις παραβολαῖς χρῆται (ὁ ποιητὴς) ἀποτόμως, οὐ λέγων τὸ καθάπερ». — καπνῷ] «χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ ἀντὶ πυρὸς, ἐκ τοῦ παρακολουθοῦντος τὸ πρῶτον σημαίνων». Π. Σ.

— Στ. 36-43. Τέχναι δὲ . . . χρήσιες] «Ἄλλοι ἄλλα φιλοτεχνοῦσι· πρέπει δὲ ἕκαστος, πρὸς ἃ ἐκ φύσεως ἔχει ἐπιτηδειότητα, ταῦτα ἀκολουθῶν τῇ ἑαυτοῦ φύσει νὰ φιλοτεχνῇ καὶ ταῦτα νὰ ἐπιτηδεύηται μὴ ἐξερχόμενος τῆς ὁδοῦ ἐκείνης, ἣ εὐθεῖα ἄγει πρὸς τὴν ἐκτέλεσιν τοῦ ἔργου. Δύο δὲ ἀπαιτοῦνται ἅμα εἰς τὸ εὑρίσκειν καὶ βαδίζειν τὴν εὐθεῖαν πρὸς τὴν ἐκτέλεσιν παντὸς ἔργου ὁδὸν, σῶμα ἐμφύτως ἔχον σθένος καὶ ἱκανότητα εἰς τὸ ἐργάζεσθαι καὶ ἐκτελεῖν, καὶ νοῦς ἐκ φύσεως δυνάμενος νὰ ἐξευρίσκῃ τὰ μέσα καὶ τὸν τρόπον τοῦ ἐργάζεσθαι καὶ ἐκτελεῖν τὸ σῶμα· διότι τὰ ἔργα ἐκτελοῦνται ἄριστα, ἐὰν τῷ τε σώματι τοῦ πράττοντος ἐνυπάρχῃ ἐμφύτως

Συγγενὲς οἷς ἕπεται.
Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
Τῶν τε καὶ τῶν χρήσιες.
Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
τον κατακρύψαις ἔχειν·
Ἀλλ' ἐόντων, εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι, φίλοις ἐξαρκέων.
Κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

σθένος καὶ ἱκανότης εἰς τὸ ἐργάζεσθαι καὶ ἐκτελεῖν, τῷ τε νῷ εἰς τὸ προορᾶν τὸ ἐσόμενον. Σὺ δὲ, ὦ παῖ τοῦ Ἀγησιδάμου Χρόμιε, ἀμφότερα κέκτησαι, καὶ σῶμα ἐκ φύσεως ἐπιτήδειον νὰ πράττῃ ἔργα, καὶ νοῦν ἐκ φύσεως νὰ προνοῇ». Ταῦτα δὲ οὐχ ἁρμόζουσι μόνον τῇ εἰς τὸ ἐν τοῖς ἱεροῖς ἀγῶσι νικᾶν ἀρετῇ, ἀλλὰ καὶ ταῖς εἰς τὰς πολεμικὰς μάχας ἀνδραγαθίαις. Ὅθεν ἐπαινεῖ αὐτὸν καὶ ὡς ἐν μάχαις ἀνδραγαθήσαντα. — τέχναι] ὑπὸ γενικωτέραν σημασίαν «ἐπιτήδευμα». — ἑτέρων ἕτεραι] «ἄλλος τῶν ἀνθρώπων ἔχει ἄλλο ἐπιτήδευμα καὶ ἄλλος ἄλλο». — ἐν εὐθείαις ὁδοῖς στείχοντα] «βαδίζοντα τὴν εὐθεῖαν ὁδὸν, ἤτοι χρώμενον καὶ τῷ σθένει καὶ τῇ ἐμφύτῳ δεξιότητι τοῦ σώματος καὶ τῇ τοῦ νοὸς εὐφυΐᾳ». — μάρνασθαι φυᾷ] «νὰ ἐπιτηδεύηται καὶ φιλοτεχνῇ, ὃ ἐπιτηδεύηται, οὐ μόνον διδαχθεὶς αὐτὸ καὶ μαθὼν, ἀλλ' ἐκ φύσεως ἔχων ταύτην τὴν ἐπιτηδειότητα». Ἀναπληρωτέον δὲ οὕτω· «φυᾷ μάρνασθαι πρὸς τὸ ἔργον τῆς τέχνης». τὸ πλῆρες (ἐν Ὀλυμ. Ε.' 35.) μάρναται πρὸς ἔργον. Ὅτι δὲ τὸ μάρναται ἔχει μεταφορικὴν σημασίαν «ἀγωνίζεται, σπουδάζει νὰ κατορθώσῃ τὸ ἔργον τῆς τέχνης» σαφές. — πράσσει . . . ἕπεται] ὅρα τὴν ἀντίθεσιν ἐν τοῖς «ἔργῳ μὲν, βουλαῖσι δὲ» καὶ ἐν τοῖς «σθένος, φρήν». Ὅθεν ἡ σύνταξις «πράσσει ἔργῳ μὲν (δι' ἔργου μὲν) τὸ σθένος ἐκείνων, οἷς ἕπεται τοῦτο (τὸ

σθένος) συγγενές, βουλαῖσι δὲ πράσσει ἡ φρὴν ἐκείνων, οἷς ἕπεται συγγενὲς τὸ προϊδεῖν διὰ τῆς φρενὸς τὸ ἐσόμενον». Ἀπαιτοῦνται λοιπὸν κατὰ τὴν σύνταξιν ταύτην δύο πρὸς ἀρίστην καὶ τελείαν κατόρθωσιν τῶν ἔργων οἵου δήποτε ἐπιτηδεύματος (τέχνης), σθένος καὶ φρήν· καὶ τὸ μὲν σθένος πράσσει δι᾽ ἔργου, ἡ δὲ φρὴν διὰ βουλῶν. Σθένος ἄρα σημαίνει τὴν τοῦ σώματος ἐπιτηδειότητα εἰς τὸ πράττειν. — πράσσει ἔργῳ μὲν] «κατορθοῖ ἄριστα καὶ ἐντελῶς δι᾽ ἔργου μὲν (καὶ οὐχὶ δηλονότι διὰ βουλῆς)». — σθένος, οἷς ἕπεται συγγενὲς] «ἡ σωματικὴ ἰσχὺς καὶ ἐπιτηδειότης ἐκείνων (οἷς ἕπεται συγγενὲς, ἔμφυτον), οἳ ἔχουσι ταύτην τὴν ἐπιτηδειότητα τοῦ σώματος ἔμφυτον καὶ οὐχὶ μόνον διδακτήν. — βουλαῖσι . . . ἕπεται] «πράσσει δὲ βουλαῖσιν ἡ φρὴν ἐκείνων, οἳ ἔχουσιν ἔμφυτον τὸ προορᾶν καὶ προειδέναι τὸ μέλλον». — σέο ἀμφὶ... χρήσιες] «ἐν σοὶ περὶ τὸν τρόπον τοῦ πράττειν καὶ βουλεύεσθαι ὑπάρχουσιν αἱ χρήσεις ἀμφοτέρων». — σέο ἀμφὶ τρόπῳ] «περὶ τὸν σὸν τρόπον τοῦ πράττειν καὶ βουλεύεσθαι». — τῶν καὶ τῶν] «καὶ τοῦ σώματος ἐκ φύσεως ἱκανοῦ καὶ φρενὸς ἐκ φύσεως προορατικῆς».

— Στ. 44-49. Οὐκ ἔραμαι . . . ἀνδρῶν] Ἐπιθυμῶ μὲν νὰ ἔχω πολὺν πλοῦτον οὐχὶ δὲ κατακεκρυμμένον, ἀλλὰ ἀναλίσκων αὐτὸν εἰς ἔργα φιλοτιμιῶν καὶ εἰς εὐεργεσίας τῶν ἐμαυτοῦ πολιτῶν, τῆς τε κατορθώσεως τῶν ἔργων νὰ ἐπιτυγχάνω καὶ τὸν ἔπαινον τῶν πολιτῶν νὰ ἀκούω· διότι ἐκ τῶν τοιούτων, οἵτινες πολλὰ πονοῦσιν εἰς κατόρθωσιν καὶ ἐπιτυχίαν ἔργων φιλοτιμίας, καὶ ἀγαπῶσι νὰ ἐπαινῶνται, ἐκ τῶν τοιούτων, λέγω, πάντες κοινῶς ἐλπίζουσιν ἀγαθὰ καὶ ὠφελοῦνται». — οὐκ ἔραμαι] ὅ,τι πραττόμενον ὑπὸ τοῦ νικηφόρου, ἀγαθὸν ὄν, ἐπιδοκιμάζει καὶ ἐπαινεῖ ὁ ποιητὴς, τοῦτο πολλάκις εἴωθε νὰ λέγῃ, ὅτι αὐτὸς ποιεῖ. — ἀλλ᾽ ἐόντων εὖ παθεῖν] «ἀλλ᾽ ἔραμαι, ὑπάρχοντος πλούτου ἐν τῷ ἐμῷ μεγάρῳ, νὰ εὐεργετῶμαι ὑπὸ τῆς τύχης καὶ τῶν

Ε. β'. Κ. η

Πολυπόνων ἀνδρῶν· ἐγὼ δ' Ἡ-
ρακλέος ἀντέχομαι προφρόνως,
Ἐν κορυφαῖς ἀρετᾶν

θεῶν»· ἐν τῷ ε ὖ π α θ ε ῖ ν ἐννοητέον τὸ ἀναλίσκων. Ἔστι δὲ τὸ ε ὖ π α θ ε ῖ ν οὐ μόνον τὸ εὐεργετεῖσθαι παρὰ τῆς τύχης καὶ τῶν θεῶν, ὥστε τυγχάνειν τῆς νίκης ἐν τοῖς ἱεροῖς ἀγῶσιν, ἀλλὰ καὶ τὸ κατορθοῦν καὶ εὐδοκιμεῖν ἐν πᾶσι τοῖς ἔργοις, ὅσα κατορθοῦνται μὲν τόλμῃ καὶ σθένει σώματος καὶ βουλαῖς φρενός, δέονται δὲ καὶ τῆς τῶν θεῶν καὶ τύχης εὐνοίας· οἷά εἰσι κυριώτατα τὰ τῶν μαχῶν. — εὖ ἀκοῦσαι φίλοις ἐξαρκέων] «νὰ ἐπαινῶμαι βοηθῶν τοῖς πολίταις (φ ί λ ο ι ς) καὶ ἄλλως, καὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις». — κοιναὶ . . . ἀνδρῶν] Διὰ τί ἔραμαι νὰ ἔχω τὰς ἀρετὰς ταύτας, ἃς ἔχει ὁ Χρόμιος, τοῦ μὴ κατακρύπτειν τὸν πλοῦτον, ἀλλὰ ἀναλίσκειν μὲν εἰς τὰς φιλοτιμίας, νικᾶν δὲ ἔν τε τοῖς ἱεροῖς ἀγῶσι καὶ ἐν ταῖς μάχαις; διότι λαὸς ὅλος, πόλις ὅλη ἔχει τὰς ἐλπίδας πρὸς τοὺς τοιούτους πολυπόνους ἄνδρας. — ἐλπίδες κοιναὶ] «ἐλπίδες οὐχὶ ἑνὸς καὶ δύο, ἀλλ' ὅλης πόλεως καὶ ὅλου λαοῦ. — ἀνδρῶν] «παρὰ ἀνδρῶν» Τὸ ὅλον λοιπὸν χωρίον ἐστὶν ἴσον τῷ «οἱ γὰρ πολύπονοι ἄνδρες παρέχουσιν ἐλπίδας κοινάς». Καλεῖ δὲ π ο λ υ π ό ν ο υ ς ἄ ν δ ρ α ς τοὺς ἔχοντας τὸν τρόπον τοῦ Χρομίου, ἤτοι τοῦ ζῆν φιλοτίμως καὶ πονεῖν ὑπὲρ τοῦ τυχεῖν νίκης ἔν τε τοῖς ἱεροῖς ἀγῶσι καὶ ἐν ταῖς μάχαις. Πολὺ ἀπέτυχον τοῦ νοῦ τοῦ ποιητοῦ ὅ τε Π. Σ. καὶ οἱ κατ' αὐτὸν ἑρμηνεύσαντες. Ὁ Π. Σ. νομίζει, ὅτι ὁ ποιητὴς διὰ τῆς προτάσεως ταύτης αἰτιολογεῖ ε ὖ ἀ κ ο ῦ σ α ι φ ί λ ο ι ς ἐ ξ α ρ κ έ ω ν. Ὅθεν ἑρμηνεύει «αἱ γὰρ ἐλπίδες καὶ αἱ μέλλουσαι προσδοκίαι κοιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν· εἴ τις οὖν (τῶν πολυπόνων ἀνδρῶν) τοῖς φίλοις

ἐπαρκέσει, οὗτος καὶ ἐλπίδος διαπεσὼν ποτε, τῆς ἴσης ἂν τύχοι ἀμοιβῆς· ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα». Heynius δὲ οὐκ ἠκολούθησε τῷ Π. Σ. ἑρμηνεύων «οἱ γὰρ πολύπονοι ἄνδρες ἅπαντες κοινῶς ἐλπίζουσι συμβήσεσθαι αὐτοῖς καὶ εὐτυχῶς τὰ τοῦ πολέμου διανύσαι καὶ ἐπαίνων τυχεῖν»· ἀλλ᾽ ἡ τοιαύτη αἰτιολογία οὐδέν ἐστι πρὸς τὸ αἰτιολογούμενον. Κατὰ δὲ τὴν ἐμὴν ἑρμηνείαν καὶ τὰ ἡγούμενα ἀληθῶς αἰτιολογοῦνται καὶ ἡ στενὴ σχέσις πρὸς τὰ ἑπόμενα περὶ Ἡρακλέους ἄριστα καταφαίνεται· διότι διὰ τῆς προτάσεως ταύτης ἐννοουμένης, ὡς ἐγὼ ἐνόησα αὐτήν, παρασκευάζεται πιθανώτατα ἡ παραβολὴ τοῦ Χρομίου πρὸς τὸν Ἡρακλέα. Διότι ἐν ταύτῃ μὲν τῇ προτάσει λέγει ὁ ποιητής, ὅτι ὁ Χρόμιος πολλὰ πονῶν καὶ μοχθῶν ἔν τε ταῖς ὑπὲρ πατρίδος μάχαις καὶ ἐν ταῖς ἄλλαις φιλοτιμίαις τοῦ ἐπαινεῖσθαι ἕνεκα, δίδωσιν ἀφορμὴν τῷ κοινῷ τῆς πατρίδος νὰ ἐλπίζῃ καὶ ἐν τῷ μέλλοντι πολλὰ καὶ μεγάλα παρ᾽ αὐτοῦ κοινὰ ἀγαθά. Τὸ αὐτὸ δὲ λέγει καὶ περὶ Ἡρακλέους· ὅτι φονεύσας τοὺς δύο δράκοντας ἔδωκεν ἀφορμὴν τῷ Τειρεσίᾳ νὰ μαντεύσηται ἐκ τοῦ φόνου τῶν δρακόντων, ὅσα θηρία βλαβερά, ὡς οἱ δράκοντες, ὅσους ἄνδρας ἀδίκους καὶ ἀχαρίστους, ὡς οἱ ὄφεις, θὰ φονεύσῃ, ὅσας εὐεργεσίας θὰ εὐεργετήσῃ τοὺς θεοὺς ἐν τῇ Γιγαντομαχίᾳ κ. λ.

— Στ. 50-52. Ἐγὼ δ᾽ Ἡρακλέος . . . λόγον] ὡς καλῶς μεταβαίνει εἰς τὴν παραβολήν. «Ἐγὼ δὲ ἐπαινῶν τὰς μεγάλας ἀρετὰς τοῦ Χρομίου ἀσμένως μέμνημαι τοῦ Ἡρακλέους διηγούμενος ἀρχαῖόν τινα λόγον, καθ᾽ ὃν ὁ Χρόμιος δύναται νὰ παραβληθῇ πρὸς αὐτόν». Μόνος τῶν Π. Σ. ὁ Δίδυμος κατενόησε, κατὰ τί παραβάλλει τὸν Χρόμιον πρὸς τὸν Ἡρακλέα, λέγων «ὃ περὶ τῆς Αἴτνης ἔφη, τοῦτο καὶ νῦν βούλεται δηλοῦν ὁ Πίνδαρος· Ν α υ σ ι φ ο ρ ή τ ο ι ς δ᾽ ἀ ν δ ρ ά σ ι π ρ ῶ τ α χ ά ρ ι ς ἐ ς π λ ό ο ν ἀ ρ χ ο μ έ ν ο ι ς π ο μ π α ῖ ο ν

Μεγάλαις, ἀρχαῖον ὀτρύνων λόγον·
Ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
Παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ
Σὺν κασιγνήτῳ μόλεν,

Σ. γ'. Κ. ι.

Ὥς τ' οὐ λαθὼν χρυσόθρονον

ἐλθεῖν οὖρον (Πυθ. Α.' 64). τοιοῦτο λέγοι ἄν τις καὶ ἐπὶ τοῦ Χρομίου· ἐπεὶ νῦν ἦρκται ἀγωνίζεσθαι καὶ ἀρξάμενος εὐθὺς ἐνίκησεν, ἐλπίς ἐστιν αὐτῷ καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων· πρὸς τί οὖν τὸ περὶ Ἡρακλέους ἐστὶν ὑπόδειγμα; ὅτι καὶ Ἡρακλῆς βρέφος ἔτι ὢν μεταχειρισάμενος τοὺς δράκοντας καὶ τοὺς αὖθις ἄθλους κατεπράξατο· καὶ ὥσπερ τούτου περὶ τὸν Ἡρακλέα γεγενημένου ὁ Ἀμφιτρύων Θηβαῖον ὄντα τὸν Τειρεσίαν προέκρινε περὶ τοῦ παιδὸς, ὁ δὲ προεμαντεύσατο τοὺς ἐσομένους αὐτῷ ἄθλους, οὕτω καὶ αὐτὸς ὁ Πίνδαρος ὑπὸ τῆς πρώτης τοῦ Χρομίου νίκης προμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται». Ταῦτα λέγει ὁ Δίδυμος ὀρθῶς μὲν, λίαν δὲ συνεπτυγμένως· διότι ὤφειλε νὰ εἴπῃ οὐχὶ μόνον, ὅτι ὁ Τειρεσίας ἐμαντεύσατο τοὺς ἄθλους, ἀλλὰ καὶ, ποίους ἄθλους ἐμαντεύσατο· ἀτελῶς δ' ἔτι εἶπεν, ὅτι ἐκ τῆς πρώτης νίκης τοῦ Χρομίου προμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται· διότι ὁ Πίνδαρος ἐπῄνεσεν ἐν τοῖς ἡγουμένοις τὸν Χρόμιον οὐχὶ μόνον ὡς Νεμεονίκην, ἀλλὰ καὶ ὡς ἀνδρεῖον πολεμιστὴν καὶ μεγάλα ἐν ταῖς πρὸς τοὺς πολεμίους τῆς πατρίδος μάχαις ἔργα κατορθώσαντα, οἷς λίαν εὐεργέτησε τὴν πατρίδα, καὶ ἐξ ὧν καὶ ἄλλας πολλὰς εἰς τὸ μέλλον εὐεργεσίας αὕτη ἐλπίζει (στ. 48, 49)· ὤφειλε λοιπὸν ὁ Δίδυμος νὰ προσθέσῃ ἔτι καὶ τοῦτο, ὅτι ὁ Πίνδαρος ἐκ τῶν ἐν ταῖς μάχαις μέχρι τοῦδε

ἔργων τοῦ Χρομίου μαντεύεται, οἵας πράξεις πολεμικὰς θὰ καταπράξῃ καὶ οἵας εὐεργεσίας θὰ ποιήσηται τῇ πατρίδι. — Ἡρακλέος ἀντέχομαι] «οὐκ ἀφίσταμαι τοῦ Ἡρακλέους, ἤτοι πρόφρων καὶ ἄσμενος θὰ παραβάλω τὸν Χρόμιον πρὸς τὸν Ἡρακλέα». — ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις] «προκειμένου τοῦ λόγου περὶ μεγάλων καὶ κορυφαίων ἀρετῶν, οἷαί εἰσιν αἱ τοῦ Χρομίου». — ἀρχαῖον λόγον] τὸν ἑξῆς, ὡς ἐπεὶ κ. λ. — ὀτρύνων] ἀνεγείρων· προσωποποιΐα ἀντὶ «διηγούμενος».

— Στ. 53-58. ὡς, ἐπεὶ . . . ἐγκατέβα] «ὅτι εὐθύς, ἅμα ὁ Ἡρακλῆς ἐκ τῶν σπλάγχνων τῆς μητρὸς εἶδε τὸ φῶς τοῦ ἡλίου, καὶ εἶδεν αὐτὸ οὐ διαλαθὼν τὴν Ἥραν, ἐνετέθη εἰς κροκοβαφὲς ὕφασμα σπαργανωθείς». — ὡς] Σύνταττε «ὡς κροκωτὸν σπάργανον ἐγκατέβη». — ἐπεὶ αὐτίκα] ἴσον «ἐπεὶ τάχιστα» εὐθὺς ἅμα. — σπλάγχνων] «ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς ἦλθε τὰς ἡλιακὰς ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς ἅμα τῷ ἀδελφῷ Ἰφικλεῖ διδύμῳ ὄντι, ἐκφυγὼν τὴν ὠδῖνα» Π. Σ. — συν διδύμῳ κασιγνήτῳ] «ἐναντίος ὁ Πίνδαρος Θεοκρίτῳ· ἐκεῖνος γάρ φησι (Εἰδ. ΚΔ.' 2). Καὶ νυκτὶ νεώτερον Ἰφικλέα» Π. Σ. — ὥς τ' οὐ . . . Ἥραν] Ἀναπλήρωσον τὴν σύνταξιν παραλαβὼν τὸ μόλεν. Τὸ δὲ «τ'» συμπλέκει τὸ ὡς μετὰ τοῦ ἐπεὶ καὶ οὐχὶ μετὰ τοῦ προηγουμένου ὡς. Τὸ ὥς τε λοιπὸν ἐνταῦθά ἐστιν ἴσον τῷ ἐπεί τε. Ἡ δὲ ἐπανάληψις τοῦ ἐπεὶ διὰ τοῦ ὡς ἐγένετο, ἵνα μὴ ταυτολογήσῃ. Ἡ δὲ παράλειψις τοῦ ῥήματος παρέχει μεγίστην ἔμφασιν ταῖς λέξεσιν οὐ λαθών, ὅπερ ἐβούλετο καὶ ὁ ποιητής. Ταῦτα οὐ κατιδόντες οἱ νεώτεροι σχολιασταὶ κατέφυγον κατὰ τὴν αὐτῶν συνήθειαν εἰς τὸ πρόχειρον, εἰς διόρθωσιν τοῦ κειμένου, διορθοῦντες ἄλλοι ἄλλως, ἕκαστος κατὰ τὸ δοκοῦν. Εἰ δέ τινι φαίνεται ἡ σύνταξις αὕτη δύσκολος ἢ βεβιασμένη, ἀποδότω τὸ ἐν στ. 53. ὡς ἐκθετικὸν τῷ ῥήματι ἔβαν, τῷ ἐν στ. 62. ἵνα αἱ τρεῖς ἐν τῷ μέσῳ

Ἥραν, κροκωτὸν σπάργανον ἐγκατέβα.
Ἀλλὰ θεῶν βασίλεια,
Σπερχθεῖσα θυμῷ, πέμπε δράκοντας ἄφαρ·
Τοὶ μὲν, οἰχθεισᾶν πυλᾶν,
Ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
Ἀμφελίξασθαι μεμαῶτες· ὁ δ᾽ ὀρ-
θὸν μὲν ἄντεινεν κάρα,
Πειρᾶτο δὲ πρῶτον μάχας,

Ἀ. γ'. Κ. ι.

Δισσαῖσι δοιοὺς αὐχένων
Μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
Ἀγχομένοις δὲ χρόνος
Ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.

προτάσεις ὦσι χρονικαί, τοῦ ἐν στ. 57. ὡς ὄντος χρονικοῦ καὶ συμπλεκομένου τῷ ἡγουμένῳ ἐπεὶ αὐτίκα Κατὰ ταύτην ὅμως τὴν σύνταξιν μεγάλη ἔμφασις τοῦ ἰσοχρόνου τῆς ἐν τοῖς σπαργάνοις θέσεως τῶν νεογνῶν καὶ τῆς ὑπὸ τῆς Ἥρας πέμψεως τῶν δρακόντων οὐχ ὑπάρχει. — κροκωτὸν ἐγκατέβα] «εἰς κροκοβαφὲς ὕφασμα ἐνετέθη σπαργανωθείς· κροκωτὸν δὲ, ἤτοι ἀπὸ τῆς χρόας, τὸ κροκοειδὲς, ἢ ἀπὸ τῆς κρόκης, τὸ ὑφαντόν» Π. Σ.

— Στ. 59-60. ἀλλὰ θεῶν . . . ἄφαρ] «ἡ δὲ βασίλισσα τῶν θεῶν εὐθὺς ταραχθεῖσα τῇ ψυχῇ ἔπεμπε δύο δράκοντας». Περὶ τοῦ ἀλλὰ ὀρθῶς παρατηρεῖ ὁ Π. Σ ὅτι κεῖται ἀντὶ τοῦ δέ· ἐκ δὲ τούτου εἰκάζω ἀδιστάκτως, ὅτι καὶ ὁ Π. Σ. τῷ προηγουμένῳ ὡς τ᾽

στ. 59. βασίλεια· αἱ τελευταῖαι δύο συλλαβαὶ ἀναγνωσθήτωσαν ὡς μία.

ἀποδέδωκε τὴν αὐτὴν σημασίαν καὶ σύνταξιν, οἵαν ἐγώ· διότι ἄλλως, οὐκ ἠδύνατο νὰ ποιήσῃ τὴν εἰρημένην παρατήρησιν.

— Στ. 61-64. Τοὶ μὲν . . . μεμαῶτες] «οἱ μὲν οὖν δράκοντες ἀνεῳχθεισῶν τῶν πυλῶν εἰς τὸ ἐσώτατον τῶν οἴκων παρεγένοντο, ὅπου κατέκειντο οἱ παῖδες». Π. Σ. — ἀμφελίξασθαι] «περιβαλεῖν» Σχ. Πάτμ.

— Στ. 65-68. Ὁ δ' ὀρθὸν μὲν . . . ὄφιας] «ὁ δὲ Ἡρακλῆς ὀρθώσας ἑαυτὸν πρώτης ταύτης τῆς μάχης πεῖραν ἐλάμβανε, καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο θῆρας ἐκ τῶν αὐχένων σφίξας οὕτως ἀφύκτως κατεῖχεν. Εἰσὶν οὖν, οἳ ὑπὸ Ἀμφιτρύωνος ἐπιπεμφθῆναι τοὺς ὄφεις φασὶν ἐπὶ διαπείρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διός, ὡς Φερεκύδης φησίν, ἐνιαυσίοις οὖσιν ἤδη· καὶ ὁ μὲν Ἰφικλῆς φεύγει, ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας ἀμφοτέρους ἀπέπνιξεν» Π. Σ. — Πειρᾶτο πρῶτον μάχης] «ταύτης πρώτης μάχης ἐπειρᾶτο». Πρὸς ταύτην λοιπὸν τὴν πρώτην μάχην τοῦ Ἡρακλέους παραβάλλει τὸν Νεμεακὸν ἀγῶνα καὶ μάλιστα τὰ ἐν ταῖς πρὸς τοὺς ἐχθροὺς τῆς ἑαυτοῦ πατρίδος μάχαις ἀριστεῖα τοῦ Χρομίου· διότι ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ συμμαχῶν Γέλωνι τῷ τυράννῳ ἐνίκησε Καρχηδονίους (ὅρα Νεμ. Θ.' 80-106. καὶ τὰς αὐτόθι σημειώσεις). Τὴν δὲ ἡλικίαν πρώτην (ὡς καλεῖ αὐτὴν αὐτὸς ὁ Πίνδαρος ἐν Νεμ. Θ.' 100.) τοῦ Χρομίου δικαίως παραβάλλει πρὸς τὴν βρεφικὴν ἡλικίαν τοῦ ἡμιθέου Ἡρακλέους.

— Στ. 69-70. ἀγχομένοις . . . ἀφάτων] «τούτους τοὺς δράκοντας στρεβλουμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον, καὶ νεκρὸν εἴασαν τὸ παμμέγεθες σῶμα· ἀφάτων μελέων γάρ φησι ἀντὶ τοῦ ἀρρήτων, οὐκ ἐπιδεχομένων τὸ φατισθῆναι διὰ τὸ μέγεθος». Π. Σ. — ἀγχομένοις] δοτικὴ ἀπόλυτος, «ἐν ᾧ ἤγχοντο». — ὁ χρόνος ἀπέπνευσεν] «ὁ χρόνος πολὺς γενόμενος ἐποίησεν ἐκπνεῦσαι τὰς ψυχάς.»

Ἐκ δ' ἄρ' ἄτλατον δέος
Πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμή-
νας ἀρήγοισαι λέχει.
Καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρού-
σαισ' ἀπὸ στρωμνᾶς, ὁμῶς
Ἄμυνεν ὕβριν κνωδάλων.

Ἐ. γ'. Κ. η.

Ταχὺ δὲ Καδμείων ἀγοὶ χαλ-
κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.
Ἐν χερὶ δ' Ἀμφιτρύων
Κολεοῦ γυμνὸν τινάσσων φάσγανον,
Ἵκετ', ὀξείαις ἀνίαισι τυπείς.
Τὸ γὰρ οἰκεῖον πιέζει
Πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία
Κᾶδος ἀμφ' ἀλλότριον.

Σ. δ'. Κ. ι.

Ἔστα δὲ θάμβει δυσφόρῳ
Τερπνῷ τε μιχθείς· εἶδε γὰρ ἐκνόμιον

— Στ. 71-73. Ἐκ δι' ἄρ' . . . λέχει] «κατέπτηξαν δὲ αἱ γυναῖκες τῷ δέει, ὅσαι ἔτυχον τὴν τῆς Ἀλκμήνης θεραπεύουσαι κοίτην» Δούκας. — ἄτλατον δέος] «μέγιστος καὶ ἀνυπομόνητος φόβος, μὴ οἱ δράκοντες καταφάγωσι τὰ βρέφη».

— Στ. 74-76. καὶ γὰρ αὐτὰ . . . κνωδάλων] «διότι οὐ μόνον αἱ θεραπεύουσαι τὸ λέχος γυναῖκες μέγα φοβηθεῖσαι περὶ τοῖς βρέφοις ἔδραμον εἰς βοήθειαν, ἀλλὰ καὶ αὐτὴ ἡ λεχὼ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης ἐβοήθει τοῖς παισὶ κατὰ τῆς ὕβρεως καὶ βλάβης, ἣν ἠπείλουν οἱ δράκοντες». — ποσσὶν ὀρούσαισ'] «αὐτοποδητὶ ἐκπηδήσασα» Π. Σ. — ἄπεπλος] «τὴν ἄπεπλον οὐ

δεκτέον γυμνήν· ἀπρεπὴς γὰρ ἡ εἰκών» Π. Σ. Νοητέον οὖν «ἄνευ πέπλου, ἀλλ᾽ ἐν χιτωνίσκῳ μόνον, ὡς εἶχε κειμένη ἐν τῇ στρωμνῇ νεότοκος οὖσα ἀνεπήδησεν». — ὁμῶς] «ὁμοῦ μετὰ τῶν περὶ αὐτὴν γυναικῶν» ἢ «ὁμοίως ταῖς γυναιξίν». — ἄμυνεν ὕβριν] ἤμυνε τοῖς παισὶ τὴν ὕβριν «ἀπεδίωκεν ἀπὸ τῶν παίδων τὴν αὐτοῖς παρὰ τῶν δρακόντων ἀπειλουμένην βλάβην». — κνωδάλων] «κνώδαλα κυρίως τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, καταχρηστικῶς δὲ καὶ πᾶν θηρίον, ὡς καὶ Ὅμηρος (Ὀδυσσ. ρ. 317.)

Κ ν ώ δ α λ ο ν , ὅ, τ τ ι δ ί ο ι τ ο· κ α ὶ ἴ χ ν ε σ ι γ ὰ ρ π ε ρ ι ή δ η » Π. Σ.

— Στ. 82-84. Τὸ γὰρ οἰκεῖον . . . ἀλλότριον] «ἕκαστος δάκνυται τῷ οἰκείῳ κακῷ, ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακά, εὐκόπως ὑπομένει» Π. Σ. — πάνθ᾽ ὁμῶς] «ὁμοίως πάντας, μηδενὸς ἐξαιρουμένου. — εὐθὺς . . . κραδία]. Σύνταττε ἀναπληρῶν «τὴν ἀρχὴν μὲν πιέζεται, εὐθὺς δὲ (παραχρῆμα) γίνεται ἀπήμων, (ἀβλαβὴς καὶ ἄλυπος).

— Στ. 85-87. Ἔστα δὲ . . . δύναμιν υἱοῦ] «ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βαρυτάτῃ καὶ τέρψει πολλῇ συγκραθείς· ἐθεάσατο γὰρ ἄηθες καὶ οὐ νομιζόμενον ἔργον δυνάμεως τοῦ υἱοῦ, τουτέστι τοῦ Ἡρακλέους» Π. Σ. — δυσφόρῳ τερπνῷ τε] «δυσυπομονήτῳ καὶ τερπνῷ. Πῶς δὲ ταὐτὸν δυσυπομόνητον καὶ τερπνόν; ὅτι μὲν δρακόντων ἦν ἔφοδος ἐπὶ νεογνὰ τὰ τέκνα, δύσελπις ἐγένετο· καθὸ δὲ εἶδεν αὐτοὺς ἀγχομένους ὑπὸ Ἡρακλέους, ἐτέρφθη· διὸ ἐξεπλάγη δυσφορῶν ἅμα τερπόμενος. Ὅμηρος (Ἰλιαδ. ζ. 484.) Δ α κ ρ υ ό ε ν γ ε λ ά σ α σ α· καὶ ἐν ἄλλοις (Ὀδυσσ. τ. 471). Τ ῇ δ᾽ ἅ μ α χ ά ρ μ α κ α ὶ ἄ λ γ ο ς ἕ λ ε φ ρ έ ν α » Π. Σ. — ἐκνόμιον] «ἐκνόμιον λῆμα, ἤτοι ἀπὸ τῶν παρὰ τοὺς νόμους τινὰ πραττόντων καὶ βιαζομένων, ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες» Π. Σ.

Λῆμά τε καὶ δύναμιν
Υἱοῦ· παλίγγλωσσον δέ οἱ ἀθάνατοι
Ἀγγέλων ῥῆσιν θέσαν.
Γείτονα δ᾽ ἐκκάλεσεν Διὸς ὑψί-
στου προφάταν ἔξοχον,
Ὀρθόμαντιν Τειρεσίαν· ὁ δέ οἱ
Φράζε καὶ παντὶ στρατῷ,
Ποίαις ὁμιλήσει τύχαις,

Ἀ. δ΄. Κ. ι.

Ὅσσους μὲν ἐν χέρσῳ κτανών,
Ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας,

Ἴσως ἡ δευτέρα μεταφορὰ κρείσσων «λῆμα καὶ δύναμιν, ἣ μακρὰν τῆς ἀγέλης τῶν λημάτων καὶ δυνάμεων τῶν ἄλλων παίδων νέμεται».

— Στ. 88-89. παλίγγλωσσον . . . θέσαν] ὅτε ἀνεῳχθεισῶν τῶν πυλῶν εἰσῆλθον οἱ δράκοντες εἰς τὸν μυχὸν τῶν θαλάμων (στ. 61-62), εὐθὺς ἐπέμφθη ἄγγελος εἰς τὴν ἀγοράν, ὅπου ἦν ὁ Ἀμφιτρύων μετὰ τῶν ἄλλων Καδμείων ἡγεμόνων, ἀγγέλων τὴν ὑπὸ τῶν δρακόντων κατάβρωσιν τῶν παίδων. Ἐλθὼν λοιπὸν εἰς τὸν οἶκον ὁ Ἀμφιτρύων εὗρε τὴν ῥῆσιν τοῦ ἀγγέλου ἐναντίαν τῷ πράγματι, ἢ ὡς λέγει ὁ Π. Σ. «εὗρε τοὺς παῖδας σώους καὶ ὑπ᾽ αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους· ἐναντίον οὖν ἐγένετο τοῖς ὁρωμένοις τὸ ἄγγελμα, ὅ ἐστιν ἐναντιόφημον». — οἱ ἀθάνατοι] καλῶς οἱ ἀθάνατοι, διότι τὸ συμβὰν καὶ ἦν καὶ ἐνομίσθη ὑπὸ τοῦ Ἀμφιτρύωνος ὑπὲρ φύσιν ἐκνόμιον.

— Στ. 90. γείτονα] τῇ αὐτοῦ οἰκίᾳ· «ἐκάλεσε δὲ τὸν ἔξοχον προφήτην τοῦ Διός, πλησίον ὄντα (οἰκοῦντα), τὸν ἀληθῆ μάντιν Τειρεσίαν» Π. Σ. — ἐκάλεσε τὸν προφάτην Διός] ὁ Ἀμφιτρύων ἀποδοὺς τὸ συμβὰν τοῖς

ἀθανάτοις (ἀ θ ά ν α τ ο ι θ έ σ α ν τ ὴ ν τ ῶ ν ἀ γ γ έ λ ω ν ῥ ῆ σ ι ν π α λ ί γ λ ω σ σ ο ν), εἰκὸς ἦν νὰ ἐρωτήσῃ τὸν μάντιν τὸν γινώσκοντα τὰς βουλὰς τοῦ Διός, τί βουλόμενοι οἱ θεοὶ ἐποίησαν τοῦτο τὸ θαῦμα.

— Στ. 93-112. Ὁ δὲ οἱ φράζε . . . δόμον] ὁ Τειρεσίας τοιαῦτα μόνον ἐκ τοῦ φόνου τῶν ὄφεων μαντεύεται περὶ τοῦ Ἡρακλέους, πρὸς οἷα δύναταί τις νὰ παραβάλῃ, ὅσα ἐκ τῶν μέχρι τοῦδε πράξεων τοῦ Χρομίου μαντεύσαιτ' ἄν τις καὶ περὶ τῶν μελλουσῶν· ἃ καθ' ἕκαστα θὰ ἐξετάσωμεν. — οἱ παντὶ στρατῷ] «αὐτῷ τῷ Ἀμφιτρύωνι καὶ πᾶσι τοῖς τε προὔχουσι Θηβαίοις καὶ τῷ λοιπῷ ὄχλῳ τῷ παραγενομένῳ ἐν τῇ οἰκίᾳ τοῦ Ἀμφιτρύωνος». — φράζε ποίαις . . . ἀϊδροδίκας] «ἔφραζεν ὁ Τειρεσίας, ὅσους μὲν θῆρας ἀϊδροδίκας ἐν χέρσῳ κτανών, ὅσους δ' ἐν πόντῳ, ποίαις ὁμιλήσει τύχαις». — ποίαις τύχαις ὁμιλήσει] «ποίους κινδύνους ὑποστήσεται καὶ ποίας πράξεις θὰ κατορθώσῃ». — ὅσσους . . . ἀϊδροδίκας] πρὸς τὰ ἀδικοῦντα τοὺς ἀνθρώπους θηρία, ἃ ὁ Τειρεσίας μαντεύεται, ὅτι καὶ ἐν χέρσῳ καὶ ἐν πόντῳ θὰ ἀποκτείνῃ ὁ Ἡρακλῆς, παραβάλλονται, ὅσους ἀλλοφύλους καὶ ἀδίκους ἐχθροὺς τῆς πατρίδος δύναται νὰ μαντεύσηταί τις, ὅτι καὶ ἐν πεζομαχίᾳ καὶ ἐν ναυμαχίᾳ ὁ Χρόμιος θὰ φονεύσῃ. — θῆρας ἀϊδροδίκας] «ἀπέκτεινε γὰρ καὶ τὸ κῆτος τὸ ἐν Τρωάδι· μέμνηται δὲ τούτου καὶ Ὅμηρος (Ἰλιαδ. υ. 146.)

Τ ὸ ῥ ά ο ἱ Τ ρ ῶ ε ς κ α ὶ Π α λ λ ὰ ς Ἀ θ ή ν η
Π ο ί ε ο ν, ὄ φ ρ α τ ὸ κ ῆ τ ο ς ὑ π ε κ π ρ ο φ υ γ ὼ ν
ἀ λ έ α ι τ ο» Π. Σ.

— καί τινα σὺν . . . μόρον] «Εἶπεν ὁ Τειρεσίας, ὅτι καί τις, ὁ ἐχθρότατος τῶν ἀνδρῶν, δόλιος καὶ κακοῦργος θὰ τιμωρηθῇ ὑπ' αὐτοῦ τοῦ Ἡρακλέους». Ἡ σύνταξις «φᾶσεν, ἔφη ὁ Τειρεσίας καί τινα σὺν πλαγίῳ κόρῳ στείχοντα, τὸν ἐχθρότατον ἀνδρῶν δώσειν μόρον νιν (αὐτῷ τῷ Ἡρακλεῖ)». Οἱ Π. Σ. λέγουσιν ὅτι «τείνει ὁ λόγος

Καί τινα σὺν πλαγίῳ
Ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
Φᾶσέ νιν δώσειν μόρον.

οὗτος ἐπὶ Βούσιριν καὶ Ἀνταῖον· οὗτοι γὰρ δι' ὕβριν ὑφ' Ἡρακλέους ἀπώλοντο ἑκάτεροι». Πρὸς τὸν ἀπάνθρωπον λοιπὸν τύραννον τῆς Αἰγύπτου τὸν φονεύοντα τοὺς ξένους, ἢ πρὸς ἄλλον ὅντινα δήποτε, ὅμοιον τούτῳ, ὃν μαντεύεται ἐνταῦθα ὁ Τειρεσίας, παραβάλλει ὁ ποιητὴς τύραννόν τινα ἢ ἐν Σικελίᾳ ἢ ἐν Ἰταλίᾳ ἄδικον πρὸς τοὺς ξένους, ὃν μαντεύεται, ὅτι ὁ Χρόμιος θὰ τιμωρήσηται. Τὸ χωρίον τοῦτο ἐθεωρήθη ἀεὶ ὑπὸ τῶν νεωτέρων λίαν δύσκολον· διό, ἐκτὸς τοῦ Heynii, ἅπαντες οἱ λοιποί, οὓς γινώσκω, ἐτράπησαν ἢ εἰς διορθώσεις, ἢ εἰς παραδοχὴν διορθώσεων, καίτοι τὰ χειρόγραφα οὐκ ἐπιτρέπουσι διόρθωσιν. Ὁ δὲ Heynius παραδέχεται μὲν τὴν ἑρμηνείαν τῶν Π. Σ. ἔχουσαν οὕτω «πρὸς τὸ ὀρθὸν τοῦ λόγου ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν ἀκουστέον, ἵν' ᾖ· καί τινι ἀδίκῳ ἀνδρὶ αὐτὸν τὸν Ἡρακλέα ἔφασκε δώσειν μόρον, ἀντὶ τοῦ, τοὺς ἀδίκους ἀνελεῖν»· παραδέχεται λοιπὸν ὁ Heynius τὴν ἑρμηνείαν ταύτην, τὰς λέξεις ὅμως τὸν ἐχθρότατον συνάπτων καὶ αὐτὸς τῷ μόρον εἰκότως εὑρίσκει ἀργούσας, λέγων «τὸν ἐχθρότατον μόρον, ne langueat, eritne dirissimum mortis genus?». Τὰ δὲ Πάτμια σχόλια ἔχοντα «ἐχθρότατον· ἤγουν ὑβριστὴν καὶ ἄδικον» συνάπτουσιν ὀρθότατα «τινα, τὸν ἐχθρότατον ἀνδρῶν». Ὁ δὲ Dissenius ἄνευ ἀνάγκης διορθῶν τὸ τὸν εἰς ποτὲ συνάπτει καὶ αὐτὸς «καί τινα στείχοντά ποτ' ἐχθρότατον»· οὐ παραδέχεται ὅμως τὴν τῶν Π. Σ. γνώμην ἀλλὰ διορθῶν καὶ τὸ μόρον εἰς μόρῳ ἑρμηνεύει «καί τινας ἀδίκους ἄνδρας εἶπεν ὁ Τειρεσίας (νιν δώσειν), ὅτι αὐτὸς ὁ Ἡρακλῆς θὰ δώσῃ (μόρῳ) εἰς τὸν θάνατον, θὰ ἀποκτείνῃ»· καίτοι καὶ αὕτη ἡ ἑρμηνεία εὕρηται μὲν παρὰ

τοῖς Π. Σ. διόρθωσις δὲ τοῦ κειμένου οὐδεμία. Οἱ δὲ συνάπτοντες «τὸν ἐχθρότατον μόρον» διορθοῦντες καὶ αὐτοὶ τρέπουσιν εἰς «τῷ ἐχθροτάτῳ μόρῳ». Ὁ δὲ Ἑρμᾶννος οὐδὲν διορθῶν ἢ μόνον τό νιν τρέπων εἰς ἵν (αὐτῷ) βούλεται νὰ ἐξαγάγῃ ταύτην τὴν ἔννοιαν «εἶπεν ὁ Τειρεσίας, ὅτι ἄδικός τις ἀνὴρ θὰ δώσῃ (ἵν) αὐτῷ τῷ Ἡρακλεῖ τὸν ἐχθρότατον μόρον, θάνατον»· δηλονότι κατὰ τὸν Ἑρμᾶννον μαντεύεται ὁ Τειρεσίας, καὶ ὑπὸ τίνος θὰ ἀπολεσθῇ ὁ Ἡρακλῆς. Ὁ Ἑρμᾶννος συνάψας τὸ τὸν ἐχθρότατον τῷ μόρον, εὑρὼν ὀρθὴν τὴν παρατήρησιν τοῦ Heynii, ὅτι τὸ τὸν ἐχθρότατον μόρον languet, ἐζήτει ἑτέραν ἐξήγησιν, καθ' ἣν νὰ μὴ μένῃ ἀργὸν καὶ τὸ τὸν ἐχθρότατον· ζητοῦντι λοιπὸν ἐπῆλθεν εἰς τὸν νοῦν ὁ ὀδυνηρότατος θάνατος τοῦ Ἡρακλέους, ὃν παρεσκεύασεν ὁ Κένταυρος Νέσσος, ὅστις τοξευθεὶς ὑπὸ τοῦ Ἡακλέους συνεβούλευσε τὴν Δηϊάνειραν τὴν γυναῖκα τοῦ Ἡρακλέους νὰ ἀλείψῃ ἓν τῶν ἐνδυμάτων αὐτοῦ τῷ ἐκ τῆς πληγῆς χυθέντι αἵματι, φαρμακερῷ ὄντι, ἵνα φορῶν αὐτὸ μηδέποτε παύσηται ἀγαπῶν αὐτήν. Τοῦτο λοιπὸν τὸ ἔνδυμα φορέσας ὁ Ἡρακλῆς ἔλαβε τὸν γνωστὸν ἐκεῖνον ὀδυνηρὸν θάνατον. Ἀλλ' ἡ ἐξήγησις αὕτη τοσοῦτον ἄτοπός ἐστιν, ὥστε, εἰ μὴ ἐγίνετο παρά τισι πολὺς περὶ αὐτῆς λόγος, οὐκ ἂν ἀνέφερον· διότι ἄτοπόν ἐστι νὰ μαντεύηται ὁ Τειρεσίας ἐκ τοῦ φόνου τῶν ὄφεων θάνατον ὀδυνηρότατον τῷ Ἡρακλεῖ· τὸ δὲ ἀτοπώτατον πάντων ἐστὶν, ὅτι δέον νὰ μαντεύηται ὁ Πίνδαρος τοιοῦτον θάνατον καὶ περὶ τοῦ Χρομίου, εἰς ὃν ὁ ἐπίνικος. — σὺν πλαγίῳ κόρῳ στείχοντα] «οὐ κατ' εὐθὺ ἰόντα, οὐκ ἀπὸ τοῦ δικαίου περιουσιαζόμενον· μετῆκται δὲ ἀπὸ τῶν κακούργων· οὐ γὰρ τὴν λεωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι τὰς ἐρήμους». Π. Σ. — νιν] αὐτῷ τῷ Ἡρακλεῖ. Ἐνταῦθα ἐκληπτέον τό νιν ἀντὶ δοτικῆς. — μόρον] «δίκην εἱμαρμένην». Ὅθεν, ὥσπερ διδόναι δίκην τινὶ σημαίνει «κολάζεσθαι ὑπό τινος

Καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
    γρας Γιγάντεσσιν μάχαν
Ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
    παῖσι κείνου φαιδίμαν
Γαίᾳ πεφύρσεσθαι κόμαν
    Ἑ. δ'. Κ. ή.
Ἔνεπεν, αὐτὸν μὰν ἐν εἰρά-
    νᾳ τὸν ἅπαντα χρόνον ἐν σχερῷ
Ἁσυχίαν, καμάτων
Μεγάλων ποινὰν λαχόντ᾿ ἐξαίρετον
Ὀλβίοις ἐν δώμασι δεξάμενον
Θαλερὰν Ἥβαν ἄκοιτιν

ἀξίως τῶν πεπραγμένων ἀδικημάτων»· οὕτω καὶ ἐνταῦθα «τινὰ τὸν ἐχθρότατον ἀνδρῶν δώσειν τὴν εἱμαρμένην δίκην (μόρον) νιν (αὐτῷ τῷ Ἡρακλεῖ)» σημαίνει «τίς ὁ ἐχθρότατος ἀνδρῶν (ὁ Βούσιρις καὶ ὁ Ἀνταῖος) θὰ κολασθῇ ὑπ᾿ αὐτοῦ κατὰ τὸ εἱμαρμένον ἀξίως, ὧν ἔπραξαν ἀδικημάτων». Οὕτως φαίνεται, ὅτι συντάσσει καὶ ὁ ἡμέτερος Δούκας παραφράζων «καὶ εἴ τις οὐκ ὀρθῷ, ἀλλὰ πλαγίῳ φρονήματι πρὸς ὕβριν βαίνει, τὴν ἐσχάτην δίκην ἔφη καὶ τοῦτον αὐτῷ δώσειν». — ἐν πεδίῳ Φλέγρας] «Φλέγρα τόπος ἐν Θράκῃ καὶ κώμη, ἔνθα οἱ Γίγαντες ἀνῃρέθησαν ὑπὸ τῶν θεῶν· τῶν δὲ ἐχόντων τὴν μάχην πρὸς τοὺς Γίγαντας καὶ μὴ περιγινομένων τῇ μάχῃ, φασὶν εἰρηκέναι τὴν Γῆν μὴ ἄλλως

στ. 106. χρόνον σχερῷ ἡ κοινὴ γραφή· ἐπειδὴ δὲ ἡ γραφὴ αὕτη οὐ συμβιβάζεται τῷ μέτρῳ αἰτοῦντι τὸν τρίτον πόδα δάκτυλον, τούτου ἕνεκα ἐξ εἰκασίας ἐγένοντο διορθώσεις σχεῖν ἀεὶ, τοῦ τρίτου ποδὸς γινομένου καὶ παλιμβακχείου· καὶ σχὲν ἀεὶ, ἵνα καὶ ὁ τρίτος ποὺς γένηται δάκτυλος. Ἐγὼ δὲ πέπεισμαι, ὅτι ἡ κοινὴ γραφὴ ἦν χρόνον ἐν σχερῷ, καίτοι ὁ τρίτος ποὺς γίνεται ἀμφίβραχυς.

ἁλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων. Ἡρακλέους τοίνυν καὶ Διονύσου συνελθόντων ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων» Π. Σ. — Γιγάντεσσι μάχαν ἀντιάζωσιν] «οἱ θεοὶ τοῖς Γίγασιν εἰς μάχην συνάπτωσιν· ἔξωθεν γὰρ τὴν ε ἰ ς πρόθεσιν παραληπτέον» Π. Σ. Ὁ δὲ Σχολιαστὴς Πατμίων σχολ. «κατὰ τὴν μάχην». — βελέων ὑπὸ ῥιπαῖσι κείνου] «ὑπὸ τῶν ῥιπτομένων βελῶν ἐκείνου, τοῦ Ἡρακλέους». — φαιδίμαν . . . ἔνεπεν] «Εἶπεν ὁ Τειρεσίας, ὅτι ἡ λαμπρὰ κόμη τῶν Γιγάντων θὰ ἀναμιχθῇ τῇ γῇ, θὰ κονιωθῇ· ἤτοι οἱ Γίγαντες θὰ ἀπολεσθῶσιν». Ἀναμφιβόλως ὁ Πίνδαρος ἐνταῦθα παραβάλλει πρὸς μὲν τοὺς θεοὺς τὸν Ἱέρωνα, πρὸς δὲ τοὺς Γίγαντας βάρβαρόν τι ἔθνος, πρὸς ὃ θὰ ἔλθῃ ποτὲ εἰς μάχην ὁ Ἱέρων, ἐν ᾗ ὁ Χρόμιος θὰ ἐκτελέσῃ ἔργα Ἡράκλεια. — αὐτὸν μὰν ἐν εἰράνᾳ . . . δόμον] «καὶ τοῦτο δὲ προεῖπεν ὁ μάντις, ὅτι καὶ τοῦ λοιποῦ αὐτὸς ὁ Ἡρακλῆς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διατελέσει, ταύτην ἀμοιβὴν τῶν ἑαυτῶν πόνων λαβών, καὶ ὅτι λήψεται μὲν γυναῖκα τὴν θαυμασίαν Ἥβην παρ' αὐτῷ τῷ Διῒ τελουμένης τῆς εὐωχίας τοῦ γάμου, οὗτινος Διὸς καὶ θαυμάσει τὴν σύνοδον, εἷς δὲ ἐκ τῶν θεῶν γενόμενος, σύννομος ἔσται τοῖς οὐρανίοις θεοῖς». Π. Σ. Διὰ τῆς παραβολῆς ταύτης πρὸς τὴν ὀλβιότητα καὶ ἀποθέωσιν τοῦ Ἡρακλέους ὑπαινίσσεται προμαντεύων τὴν ἐν γήρᾳ μακαριότητα τοῦ Χρομίου, περὶ ἧς ὅρα Νεμ. Θ'. 104-113. — αὐτὸν μὲν . . . ἐν δώμασιν] Ἡ σύνταξις «αὐτὸν μὲν ἐν ὀλβίοις δώμασιν ἁσυχίαν ἐν εἰράνᾳ τὸν ἅπαντα ἐν σχερῷ χρόνον λαχόντα (ὡς) ἐξαίρετον ποινὰν μεγάλων καμάτων». Θὰ λάβῃ λοιπὸν ὁ Ἡρακλῆς τὴν ἐν εἰρήνῃ ἡσυχίαν ὡς ἐξαίρετον βραβεῖον τῶν μεγάλων καμάτων· ποία δὲ θὰ ᾖ ἡ ἐν τοῖς ὀλβίοις δώμασιν αὕτη ἐν εἰρήνῃ ἡσυχία, ἐξηγεῖται ἐν τοῖς ἑπομένοις διὰ τῶν μετοχῶν δ ε ξ ά μ ε ν ο ν . . . κ α ὶ δ α ί σ α ν τ α. — ποινὴν καμάτων] ὡς π ο ι ν ὰ ν τ ε θ ρ ί π π ω ν (Πυθ.

Καὶ γάμον δαίσαντα παρ' Διῒ Κρονίδᾳ
Σεμνὸν αἰνήσειν δόμον.

Α'. 113.) — ἐν δώμασι] τοῦ Διός. — παρὰ Διΐ] «ἐν τοῖς δώμασι τοῦ Διός, ἃ ἀνωτέρω ἐκάλεσεν ὄλβια δώματα. — σεμνὸν δόμον αἰνήσειν] «θὰ ἐπαινῇ καὶ θαυμάζῃ τὰ σεμνὰ δώματα τοῦ Διὸς διαιτώμενος ἐν αὐτοῖς, ὅπου ἅπαντες οἱ οὐράνιοι θεοί.

ΜΕΤΑΦΡΑΣΙΣ.

Σεμνὸν ἀνάπαυμα τοῦ Ἀλφειοῦ, θάλος τῶν κλεινῶν Συρακουσῶν, Ὀρτυγία, στρωμνὴ τῆς Ἀρτέμιδος, ἀδελφὴ τῆς Δήλου· ἀπὸ σοῦ ὁ ἡδυεπὴς ὕμνος ἄρχεται μεγάλως νὰ ἐπαινέσῃ τούς, ὡς ἄνεμος, ταχύποδας ἵππους, χαριζόμενος τῷ Αἰτναίῳ Διΐ· τοῦ Χρομίου δὲ τὸ ἅρμα καὶ ἡ Νεμέα παροτρύνει νὰ συζεύξω τοῖς νικηφόροις ἔργοις ἐγκώμιον μέλος· διότι θεμέλια μὲν τῶν ἔργων τούτων εἰσὶ τεθειμένα ἡ τῶν θεῶν εὔνοια ἕνεκα τῶν δαιμονίων ἀρετῶν ἐκείνου τοῦ ἀνδρός· καὶ ἐν ταύτῃ τῇ εὐτυχίᾳ κεῖται τὸ ἄκρον τῆς πανδοξίας· ἡ δὲ Μοῦσα φιλεῖ μεγάλα ἆθλα νὰ ᾄδῃ. Ἔγειρε λοιπόν, ὦ Μοῦσα, λαμπρότητά τινα ἐν τῇ νήσῳ, ἣν ὁ δεσπότης τοῦ Ὀλύμπου Ζεὺς ἔδωκε δῶρον τῇ Περσεφόνῃ, καὶ κατένευσεν αὐτῇ ταῖς χαίταις, τὴν παχύγειον Σικελίαν τὴν ἀρίστην πάσης εὐκάρπου χθονὸς νὰ ὀρθώσῃ κάλλει καὶ πλούτῳ πόλεων

ἐξόχῳ· παρέσχε δὲ ὁ Κρονίων αὐτῇ καὶ λαὸν ἱππόμαχον μνήμονα τοῦ χαλκενδύτου πολέμου, ὅστις δὴ θαμὰ καὶ φύλλοις πολυτίμοις Ὀλυμπιάδων ἐλαιῶν ἐστιν ἐστεμμένος. Ἑπόμενος τῷ καιρῷ πολλὰ εἶπον περὶ Σικελίας οὐ ψευδέσιν ἐπαίνοις χρησάμενος. Ἐστάθην δὲ παρὰ τὴν θύραν τῆς αὐλῆς ἀνδρὸς φιλοξένου ᾄδων ἀρετάς, ἔνθα θαμὰ μὲν ἐμοὶ κεκόσμηται ἁρμόδιον δεῖπνον, θαμὰ δὲ οἱ δόμοι ἀλλοδαποὺς ξενίζουσιν· ἔλαχε δὲ (ὁ ἀνὴρ οὗτος) νὰ φέρῃ ἐσθλοὺς ἐναντίον τῶν (ἕνεκα φθόνου) μεμφομένων, ὡς ὕδωρ ἐναντίον πυρός. Τέχνας δὲ ἕτερος ἑτέρας ἔχει· πρέπει δὲ ἕκαστος τὴν ὁδόν, ἣν παρὰ τῆς φύσεως πρὸς τὸ ἐκτελεῖν ἔλαβεν, εὐθεῖαν ταύτην πορευόμενος νὰ ἐπιτηδεύηται τὸ πρὸς ὃ πέφυκε· διότι πράσσει μὲν δι᾽ ἔργου τὸ σθένος (ἐκείνων, οἳ ἐκ φύσεως ἔχουσιν αὐτὸ), διὰ βουλῶν δὲ ὁ νοῦς ἐκείνων, οἳ φύσει κέκτηνται τὸ προορᾶν τὸ ἐσόμενον. Παῖ Ἀγησιδάμου, περὶ τὸν σὸν τρόπον ὑπάρχουσιν αἱ χρήσεις ἀμφοτέρων ἐμφύτως. Οὐκ ἐπιθυμῶ νὰ ἔχω ἐν τῷ οἴκῳ πολὺν πλοῦτον κατακεκρυμμένον· ἀλλὰ νὰ ἔχω μὲν, πράττων δὲ δι᾽ αὐτοῦ ἔργα φιλοτιμίας καὶ ἀνδρείας νὰ εὐεργετῶμαι ὑπὸ τῆς εὐνοίας τῆς τύχης καὶ νὰ ἐπαινῶμαι βοηθῶν τοῖς φίλοις καὶ πολίταις· διότι παρὰ τῶν πολυπόνων ἀνδρῶν ἅπαν τὸ κοινὸν τῆς πόλεως ἐλπίζει. Ἐγὼ δὲ διηγούμενος τὸ ἄνθος μεγάλων ἀρετῶν προφρόνως μέμνημαι τοῦ Ἡρακλέους, ἀρχαῖον ἀνεγείρων λόγον, ὅτι ἄρα, ἐπεὶ τάχιστα ὁ παῖς τοῦ Διὸς ἐκ τῶν σπλάγχνων τῆς μητρὸς ἦλθε μετὰ

τοῦ διδύμου ἀδελφοῦ εἰς τὴν λαμπρὰν ἀκτῖνα τοῦ ἡλίου φεύγων τὴν ὠδῖνα, καὶ ἦλθεν οὐκ ἀγνοούσης τῆς χρυσοθρόνου Ἥρας, ἐνετέθη εἰς κροκοειδὲς σπάργανον· ἡ δὲ βασίλισσα τῶν θεῶν ταραχθεῖσα τὴν ψυχὴν αὐτίκα ἔπεμψε δράκοντας. Οὗτοι δὲ ἀνοίξαντες τὰς πύλας ἔβησαν εἰς τὸν εὐρὺν μυχὸν τοῦ θαλάμου προθυμούμενοι νὰ περιβάλωσι τοῖς τέκνοις τὰς ταχείας αὐτῶν γνάθους. Ὁ δὲ Ἡρακλῆς ὤρθωσε μὲν ἑαυτὸν, ἐπειρᾶτο δὲ τότε πρῶτον μάχης, τοὺς δύο ὄφεις ταῖς δυσὶν ἀφύκτοις αὐτοῦ χερσὶν ἐκ τῶν αὐχένων ἁρπάσας· ἐπὶ πολὺν δὲ χρόνον πνιγομένων αἱ ψυχαὶ κατέλιπον τὰ τερατώδη σώματα· μέγιστος δὲ φόβος (περὶ τοῖς παισὶ) κατέπληξε τὰς γυναῖκας, ὅσαι ἔτυχον θεραπεύουσαι τὸ λέχος τῆς Ἀλκμήνης· καὶ οὐ μόνον ἐκεῖναι, ἀλλὰ καὶ αὐτὴ ἀναπηδήσασα ἀπὸ τῆς στρωμνῆς εἰς τοὺς πόδας ἄπεπλος, ὁμοίως (ταῖς λοιπαῖς) ἐβοήθει κατὰ τῆς ὕβρεως τῶν κνωδάλων. Ταχέως δὲ οἱ ἡγεμόνες τῶν Καδμείων ἔδραμον σὺν χαλκοῖς ὅπλοις ἠθροισμένοι. Ἀμφιτρύων δὲ τινάσσων ἐκ τοῦ κολεοῦ τῇ χειρὶ γυμνὸν φάσγανον ἀφίκετο ὀξείαις ἀνίαις δηχθείς· διότι τὸ οἰκεῖον κακὸν πάντα ὁμοίως δάκνει· ἐπὶ δὲ ἀλλοτρίῳ κακῷ εὐθὺς ἡ καρδία καθίσταται ἀπαθής· ἐστάθη δὲ συγκραθεὶς ἐκπλήξει βαρείᾳ ἅμα καὶ τερπνῇ· διότι εἶδε φρόνημα καὶ δύναμιν τοῦ υἱοῦ ἀσυνήθη· οἱ δὲ ἀθάνατοι κατέστησαν τὰ ὑπὸ τῶν ἀγγέλων λεχθέντα ἐναντιόφημα· ἐκάλεσε δὲ τὸν ὀρθόμαντιν Τειρεσίαν, τὸν ἔξοχον προφήτην

τοῦ ὑψίστου Διὸς, γείτονα ὄντα· ἐκεῖνος δὲ ἔφραζεν αὐτῷ καὶ παντὶ τῷ ὁμίλῳ, ποίους κινδύνους θὰ ὑποστῇ, πόσα δὲ θηρία ἄδικα ἐν χέρσῳ, πόσα δὲ ἐν πόντῳ θὰ ἀποκτείνῃ· εἶπε δὲ, ὅτι καί τις σὺν δόλῳ βαδίζων, ὁ ἐχθρότατος τῶν ἀνδρῶν θὰ δώσῃ αὐτῷ κατὰ τὸ εἱμαρμένον ποινὰς, ὧν ἐκακούργησεν· καὶ ὅταν οἱ θεοὶ ἐν τῷ πεδίῳ τῆς Φλέγρας συνάψωσι μάχην πρὸς τοὺς Γίγαντας, εἶπεν ὁ Τειρεσίας, ὅτι ἡ μὲν λαμπρὰ αὐτῶν κόμη ὑπὸ τῶν βελῶν ἐκείνου θὰ κονιωθῇ· αὐτὸς δὲ λαχὼν ἐξαίρετον ἀμοιβὴν τῶν μεγάλων καμάτων τὴν εἰς ἅπαντα τὸν χρόνον συνεχῆ ἐν εἰρήνῃ ἡσυχίαν δεξάμενος ἐν τοῖς ὀλβίοις δόμοις σύζυγον τὴν θαλερὰν Ἥβην καὶ τοὺς γάμους ἑστιάσας παρὰ τῷ Διῒ Κρονίδῃ, θὰ θαυμάζῃ τὴν ἐν τῷ δόμῳ αὐτοῦ σεμνὴν σύνοδον τῶν θεῶν·

ΝΕΜΕΑ

ΕΙΔΟΣ Β'.

ΤΙΜΟΔΗΜΩι ΑΘΗΝΑΙΩι

ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

Μέτρα κατὰ τοὺς Π. Σ. τοῦ εἴδους.

Ἡ παροῦσα ᾠδὴ μονόστροφός ἐστι κατ' ὀγδοάδας διῃρημένη· ἑκάστης δὲ ὀγδοάδος κῶλά εἰσιν ὀκτώ.

Κῶλον 1. ⏑ — — ⏑ | ⏑ ∸ ⏑ ∸ | Ἀντισπαστικὸν δίμετρον ἐξ ἀντισπαστικῆς συζυγίας καὶ ἰαμβικῆς, τὸ καλούμενον Γλυκώνειον.

„ 2. — — ⏑ ⏑ | ∸ ⏑ ∸ ⏑ | — ⏒ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ τῶν καλουμένων Πραξιλλείων· ἡ μὲν πρώτη συζυγία Ἰωνικὴ ἀπὸ μείζονος, ἡ δὲ δευτέρα τροχαϊκή.

„ 3. ∸ ⏓ | ∸ ⏑ ⏑ | ∸ ⏑ ∸ ⏑ Λογαϊδικὸν δακτυλικόν· διαφέρει δὲ τοῦ καλουμένου Ἀλκαϊκοῦ δεκασυλλάβου, καθὸ ἐκεῖνο μὲν ἔχει καὶ τὸν πρῶτον πόδα δάκτυλον, τοῦτο δὲ ἔχει αὐτὸν κατὰ τὰ Αἰολικὰ καλούμενα δακτυλικὰ ἕνα τῶν δισυλλάβων.

„ 4. ∸ ⏑ ⏑ | ∸ — Δίμετρον δακτυλικόν.

„ 5. ⏒⏒ ⏑ — ⏑ ⏑ | — ⏑ — ⏒ | Δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

„ 6. — — ⏑ ⏑ | ∸ ⏑ ∸ — | — Δίμετρον Ἰωνικὸν ἀπὸ μείζονος ὑπερκατάληκτον· ἡ πρώτη διποδία Ἰωνική, ἡ δευτέρα τροχαϊκή.

Κῶλον 7. – ⏑ ⏑ – | ⏓ Χοριαμβικὸν πενθημιμερές.
„ 8. – ⏑ ⏑ | – – | – ⏑ ⏑ | – – Δακτυλικὸν τετράμετρον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ὁ Τιμόδημος ἤρξατο τῶν ἱερῶν ἀγώνων ἀπὸ τῶν ἐν Νεμέᾳ τῶν Διΐ ἀφιερωμένων· ὀφείλει λοιπὸν συχνὰ καὶ Ἴσθμια καὶ Πύθια νὰ νικᾷ, καὶ μάλιστα εἰ ἀκολουθεῖ τὰ ἴχνη τῶν προγόνων αὐτοῦ πρὸς κόσμον τῶν μεγάλων Ἀθηνῶν· διότι καὶ ὁ Ὠρίων πορεύεται οὐχὶ μακρὰν τῶν Πλειάδων (ἀπὸ στ. 1-18). Ὥσπερ δὲ ἡ Σαλαμὶς δύναται νὰ τρέφῃ πρὸς δόξαν τῶν Ἀθηνῶν ἄνδρας μαχητάς, οὕτω καὶ αἱ Ἀχαρναὶ ἔκπαλαί εἰσιν εὔανδροι· καὶ τῆς μὲν Σαλαμῖνος τὴν ἀρετὴν ἔγνω ἐν Τροίᾳ ὁ ἀντίπαλος τοῦ Αἴαντος Ἕκτωρ· τὴν δὲ εὐανδρίαν τῶν Ἀχαρνῶν ἔγνωσαν καὶ νῦν ἐν Νεμέᾳ οἱ ἀντίπαλοι τοῦ Τιμοδήμου, καὶ πάλαι ἐν ἀναριθμήτοις ἱεροῖς ἀγῶσιν οἱ ἀντίπαλοι τῶν προγόνων τοῦ Τιμοδήμου (ἀπὸ στ. 19-37). Ὑμνήσατε λοιπόν, ὦ πολῖται, τὴν νίκην ταύτην, ἣν ἄγει ὁ Τιμόδημος ἐκ Νεμέας (38- τέλος).

ΕΙΣΑΓΩΓΗ.

Τιμόδημος Ἀθηναῖος Ἀχαρνεὺς τὸν δῆμον, υἱὸς Τιμονόου ἐκ τοῦ γένους τῶν Τιμοδημιδῶν περιφήμων γε-

νομένων ἐπὶ ταῖς πολλαῖς νικηφορίαις. Οὐ κατανοήσαντες ὀρθῶς τὸ χωρίον (στ. 19.) ἐνόμισαν οἱ ἑρμηνευταὶ τοῦ Πινδάρου, ὅτι ὁ Τιμόδημος ἐτράφη μὲν ἐν Σαλαμῖνι, ᾤκει δὲ ἐν Ἀθήναις. Ἡ ᾠδὴ προσδιώρισται νὰ ᾀσθῇ ἐν κώμῳ, ἐν Ἀθήναις, ὅπου εἶχε τὴν οἴκησιν. Εἰς δύο μόνον Ἀθηναίους σώζονται ὕμνοι τοῦ Πινδάρου, εἰς Μεγακλέα (Πύθ. ΣΤ.΄) καὶ εἰς τὸν Τιμόδημον· ἀμφότεροι δὲ συντομώτατοί εἰσιν

Ὀγδοὰς α΄.

ΟΘΕΝ περ καὶ Ὁμηρίδαι
Ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ

— Στ. 1-8. Ὅθεν περ . . . ἄλσει] «ὁ νοῦς· ὅθεν δὴ καὶ οἱ Ὁμηρίδαι λεγόμενοι ἀοιδοὶ τὴν ἀρχὴν τοῦ λέγειν ὡς ἐπιτοπολὺ ποιοῦνται ἐκ Διὸς προοιμιαζόμενοι, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ τὴν καταβολήν, τουτέστι τὴν ἀρχὴν καὶ τὸν θεμέλιον τῶν ἱερῶν ἀγώνων ἀπὸ τοῦ Διὸς πεποίηται, Νέμεα νικήσας πρῶτον. Διΐ δὲ ἀνάκειται ὁ Νεμεακὸς ἀγών» Π. Σ. — Ὁμηρίδαι] «Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα (ἐλέγοντο Ὁμηρίδαι) καὶ οἱ ῥαψῳδοὶ οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες· ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὕς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν· ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται πεποιηκέναι· οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐρραψῴδησε τὰ Ὁμήρου ἔπη κατὰ τὴν ἑξηκοστὴν ἐννάτην Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν» Π. Σ. — ῥαπτῶν ἐπέων] «Τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι· Καλλίμαχος

Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον
Ἠνεκὲς ἀείδω δεδεγμένος·

οἱ δέ φασι τῆς Ὁμήρου ποιήσεως μὴ εἰς ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτήν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν εἰς ἓν αὐτὴν ἄγοντας· οὕτω καὶ ὁ Πίνδαρος

Ἄρχονται Διὸς ἐκ προοιμί-
ου· καὶ ὅδ᾽ ἀνὴρ
Καταβολὰν ἱερῶν ἀγώνων
Νικαφορίας δέδεκται πρῶ-

εἰσδέδεκται· οἱ δὲ, ὅτι κατὰ μέρη πρότερον τῆς ποιήσεως διαδεδομένης τῶν ἀγωνιστῶν ἕκαστος, ὅ,τι βούλοιτο μέρος ᾖδε· τοῦ δὲ ἄθλου τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένου, προσαγορευθῆναι τότε μὲν ἀρνῳδοὺς, αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης, τοὺς ἀγωνιστὰς οἷον ἀκουμένους πρὸς ἄλληλα τὰ μέρη καὶ τὴν σύμπασαν ποίησιν ἐπιόντας ῥαψῳδοὺς προσαγορευθῆναι. Ταῦτά φησι Διονύσιος ὁ Ἀργεῖος. Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
Μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥήψαντες ἀοιδὴν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ·

ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς. Μέναιχμος δὲ ἱστορεῖ τοὺς ῥαψῳδοὺς στιχῳδοὺς καλεῖσθαι διὰ τὸ τοὺς στίχους ῥάβδους λέγεσθαι ὑπό τινων» Π. Σ. Ὅθεν ῥαπτὰ ἔπη σημαίνουσι οὐχὶ τὰ ὑπὸ ποιητοῦ τινος συντεθειμένα καὶ ἐρραμένα ποιήματα, ὡς ἐν τοῖς Ἡσιόδου ἀναφερομένοις στίχοις ἡ λέξις ῥάψαντες σημαίνει· ἀλλὰ ῥαπτὰ ἔπη λέγει ὁ Πίνδαρος τὰ ὑπὸ τῶν ῥαψῳδῶν συνηγμένα καὶ συνερραμμένα ποιήμα-

---

στ. 5. Ἡ παλαιὰ γραφὴ ἦν ἱερᾶν· ἀλλ᾽ ἐπειδή ἐστι ἀναπόδεικτον, ὅτι τὸ ἀρσενικὸν ἐπίθετον εἰς ος ἐλέγετο Δωρικῶς ἐν τῇ γεν. πληθυντ. εἰς ᾶν· διὰ τοῦτο ἔγραψαν ἱερῶν.

στ. 6-7. πρῶταν ἐξ εἰκασίας.

τα τοῦ Ὁμήρου, ἃ πρότερον μὲν ἔκειντο σποράδην καὶ κατὰ μέρη διῄρηντο, ὅτε δὲ ἔμελλον νὰ ᾄσωσιν αὐτὰ ἢ ἐν ἀγῶνι ἢ ὅπου δήποτε, συνῆγον καὶ συνέῤῥαπτον. — τὰ πολλὰ ἄρχονται ἐκ Διὸς ἐκ προοιμίου] «ὅλοι γὰρ οὗτοι εἰς τὸν Δία προοιμιασάμενοι τοὐντεῦθεν ἤδη τῆς ἐποποιΐας ἥπτοντο· τῷ δὲ μὴ διὰ παντὸς ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς προοιμιαζομένους, ἀλλ' ἐνίοτε καὶ ἀπὸ τῶν Μουσῶν, προσέθηκεν ὁ Πίνδαρος τ ὰ π ο λ-λ ά, ἵν' ᾖ, ὡς ἐπιτοπλέον» Π. Σ. — καταβολὰν . . . ἀγώνων δέδεκται] «ἐδέξατο παρὰ τοῦ Διὸς θεμέλιον λίθον, ἐφ' οὗ οἰκοδομήσει τὸ οἰκοδόμημα τῶν ἀγώνων, καὶ κατέβαλεν ἐν τῷ ἄλσει τοῦ Νεμεαίου Διός»· ἤτοι, ἐν τῷ ἄλσει τοῦ Νεμεαίου Διὸς κατὰ βούλησιν αὐτοῦ τοῦ Διὸς ἤρξατο πρῶτον τῶν ἱερῶν ἀγώνων. Τοὺς ἱεροὺς ἀγῶνας, οὓς μέλλει νὰ ἀγωνίσηται ὁ Τιμόδημος, παραβάλλει πρὸς οἰκοδόμημα· καὶ τὸν πρῶτον τοῦτον ἀγῶνα, πρὸς θεμέλιον λίθον· διὸ καλεῖ αὐτὸν καταβολήν· οὐκ ἐχρήσατο δὲ ῥήματι καταβέβληκεν, ἢ τοιοῦτόν τι εὔχρηστον ἐπὶ τῆς καταβολῆς τοῦ θεμελίου λίθου, ἀλλὰ τῷ δ έ δ ε κ τ α ι ἐξυπονοουμένου ἐκ τοῦ ὅ θ ε ν τοῦ «ἐ ν-τ ε ῦ θ ε ν» ἤτοι «παρὰ τοῦ Διὸς» ἵνα σημαίνῃ, ὅτι τῇ βουλήσει τοῦ Διὸς ἤρξατο τῶν ἱερῶν ἀγώνων. Ἔτι δηλοτέραν ποιεῖ τὴν σημασίαν τοῦ δ έ δ ε κ τ α ι διὰ τῆς προσθήκης τοῦ ν ι κ α φ ο ρ ί α ς· διότι εἰ μὴ ἐδέχετο παρὰ τοῦ Διὸς τὴν καταβολήν, οὐκ ἂν ἐνίκα· ἕτερος λόγος τῆς προσθήκης τοῦ ν ι κ α φ ο ρ ί α ς οὐχ ὑπάρχει· διότι ἐν ταῖς λέξεσιν ἱ ε ρ ῶ ν ἀ γ ώ ν ω ν ἐννοεῖται ἀφ' ἑαυτῆς ἡ λέξις ν ι κ α φ ο ρ ί α ς· διότι ἄτοπον ἂν εἴη, εἰ ὁ ποιητὴς λέγων ἱ ε ρ ῶ ν ἀ γ ώ ν ω ν μὴ ἐνόει «ἀγώνων τῶν παρεχόντων νικηφορίαν» — καταβολὰν] «μετῆκται ἡ λέξις ἀπὸ τῶν τὰς οἰκίας κατασκευαζόντων καὶ βαλλόντων τοὺς θεμελίους· ἐλπὶς οὖν, φησίν, ἐστιν ἀπὸ Διὸς ἀρξάμενον αὐτὸν τῶν ἀγώνων καὶ μετὰ ταῦτα νικήσειν· ὃ καὶ ἐγένετο εὐθέως· μετὰ γὰρ τὴν Νεμεακὴν νίκην

τον, Νεμεαίου
Ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

Ὀ. β'.

Ὀφείλει δ' ἔτι, πατρίαν
Εἴπερ καθ' ὁδόν νιν εὐθύπομπος
Αἰὼν ταῖς μεγάλαις δέδωκεν
Κόσμον Ἀθάναις,
Θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι
Κάλλιστον ἄωτον, ἐν Πυθί-
οισί τε νικᾶν
Τιμονόου παῖδ'· ἔστι δ' ἐοικός,

ἐστεφανοῦτο τὰ Ὀλύμπια» Π. Σ. — ἄλσει Διὸς] «ἐν δὲ αὐτῇ (τῇ περὶ τὴν Νεμέαν χώρᾳ) Νεμεῖόν τε, Διὸς ναός ἐστι θέας ἄξιος . . . κυπαρίσσων τε ἄλσος ἐστὶ περὶ τὸν ναόν» (Παυσαν. Β.' κ. 15, 2). «Ἐνταῦθα δὲ καὶ ἡ Νεμέα μεταξὺ Κλεωνῶν καὶ Φλιοῦντος, καὶ τὸ ἄλσος, ἐν ᾧ καὶ τὰ Νέμεα συντελεῖν ἔθος τοῖς Ἀργείοις» (Στραβ. Η.' 377. περὶ τὰ τέλη).

— Στ. 9-16. ὀφείλει . . . Τιμονόου παῖδ'] «ὀφειλόμενον δὲ, τουτέστιν ἀναγκαῖόν ἐστι νικᾶν τὸν Τιμονόου παῖδα καὶ Πύθια καὶ Ἴσθμια, εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων ὁ εὐθυπομπὸς αἰὼν δέδωκεν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις· ἀναγκαῖον οὖν νικᾶν αὐτὸν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νέμεα· ὡς τῶν πατέρων ἱερωνικῶν γεγονότων» Π. Σ. — ὀφείλει] ἀπροσώπως· «ὀφείλει (ὀφειλόμενόν ἐστι) δρέπεσθαι, νικᾶν τε». — δ' ἔτι] τὸ δ' ἐστὶν αἰτιολογικόν. «Διότι ἐκτὸς ὅτι ἐνίκησεν ἐν Νεμέᾳ, ὀφείλει ἔτι νὰ νικήσῃ καὶ Ἰσθμοῖ κ. λ.» —

στ. 9. δέ τι γραφὴ τοῦ Π. Σ. καὶ χειρογράφων πολλῶν· ἡ δὲ ἐν τῷ κειμένῳ καὶ αὕτη ἐστὶν ἐκ χειρογρ.

πατρίαν καθ' ὁδὸν εὐθύπομπος αἰὼν] «ὁ βίος αὐτοῦ πέμπων καὶ διευθύνων αὐτὸν εὐθέως κατὰ τὴν ὁδὸν, ἣν ἐβάδισαν οἱ πατέρες αὐτοῦ»· οἵαν δὲ ὁδὸν ἐβάδισαν οἱ πατέρες αὐτοῦ, περιγράφει ἐν στ. 26-37. Ὁ Δούκας παραφράζει «ὁ πρὸς τὴν πατρῴαν ἀρετὴν διευθύνων αὐτὸν χρόνος». — Ἰσθμιάδων κάλλιστον ἄωτον] «τὸ κάλλιστον ἄνθος τῶν Ἰσθμιάδων ἑορτῶν, ἤτοι τὴν νίκην». Τιμονόου παῖδα] εἰπὼν ἐν ἀρχῇ πατρίαν καθ' ὁδὸν ὡς ἄριστα ἔθηκεν ἐν τέλει Τιμονόου παῖδα.

— Στ. 16-18. ἔστι δ' ἐοικὸς . . . νεῖσθαι] «ὥσπερ γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὕτω καὶ τοῦτον πάρεδρον ἔσεσθαι τῇ νίκῃ εἰκός ἐστι· ὁτὲ μὲν Πλειάδας καλεῖ πληθυντικῶς, ὁτὲ δὲ Πληϊόνην ὡς μίαν. Τρεχέτω δὲ μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων· δοκεῖ γὰρ κατ' αὐτὸν τὸν Πίνδαρον ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις» Π. Σ. Ὁ δὲ παρὰ τοῖς Π. Σ. Ἀρίσταρχος λέγει «θέλοι δ' ἂν (ὁ Πίνδαρος) δηλοῦν τοῦτο, ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν καὶ Πυθικὴν καὶ οὕτως ἀκολουθεῖν, ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται». Πιθανὴ δέ ἐστι καὶ ἡ εἰκασία τοῦ Dissenii «ὥσπερ αἱ ἐν Νεμέᾳ νῖκαι τῶν Τιμοδημῶν ἦσαν ἑπτὰ, ὡς οἱ ἀστέρες τῆς Πλειάδος, οὕτω καὶ ὁ ἀριθμὸς τῶν νικῶν τοῦ Τιμοδήμου θὰ ὑπάρξῃ οὐχὶ ἐλάσσων, ἀλλὰ μείζων τοῦ ἀριθμοῦ τούτου, ὡς καὶ ὁ Ὠρίων ἐστὶ μείζων τῆς Πλειάδος». Περὶ τῆς ὀρθοτέρας παρομοιώσεως ὅρα κατωτέρω (ἐν τέλει τοῦδε τοῦ κεφ.). — Ὀρειᾶν Πελειάδων] «Ζητεῖται, διὰ τί ὀρείας εἶπε τὰς Πλειάδας· καί τινες μὲν ἔφασαν, ὅτι Νύμφαι ἦσαν (ἑπτὰ), ὡς οἱ ἀστέρες οὗτοι.

Τηϋγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις,
Ἀλκυόνη τε καὶ Ἀστερόπη, δίη τε Κελαινὼ,

Ὀ. γ'.

Ὀρειᾶν γε Πελειάδων
Μὴ τηλόθεν Ὠρίωνα νεῖσθαι.
Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι
Φῶτα μαχατὰν
Δυνατός· ἐν Τροΐᾳ μὲν Ἕκτωρ
Αἴαντος ἄκουσεν· ὦ Τιμό-

Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας.

Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων, Μαῖαν, ὀρείαν προσηγόρευσε, Μαιάδος οὐρείας ἑλικοβλεφάρου· κατὰ λόγον· αὕτη γὰρ

Κυλλήνης ἐν ὄρεσσι θεὸν κήρυκα τέχ' Ἑρμῆν.

Τινὲς δὲ ἐπὶ τὴν τῶν ὁμωνύμων ὕλην ἀποχωροῦντες Ἄτλαντός φασι λεγομένας θυγατέρας, κατὰ τὴν τοῦ πατρὸς ὁμωνυμίαν, ὡς ἐξ ὄρους γεγεννημένας, ὀρείας προσηγορεῦσθαι· εἴωθε δὲ ὁ Πίνδαρος ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι. Οἱ δὲ, καθὸ Πελειάδας αὐτὰς εἶπε, καὶ ὀρείας· αἱ γὰρ περιστεραὶ ὄρειαί εἰσιν· ἔνιοι δὲ διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ υ, ὡς καὶ τὸ Κλεὸς ἕκατι (Πινδαρικὸν ἀπόσπασμα), ἀντὶ τοῦ Κλειοῦς. Εἶπε δ' ἂν οὐραίας, ὡς καὶ παρ' Ὁμήρῳ (Ἰλιαδ. φ. 519).

Τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
Οὐραῖαι·

εἰ μὴ καθὸ ἀπόγειον ἄνεμον λέγομεν, οὕτω καὶ οὐρείας τὰς οὐραίας ἀκουστέον. Βέλτιον οὖν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον οὕτως εἰρηκέναι, ἢ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἐτράφη (ἡ μία τῶν

Πλειάδων, ἡ Μαῖα)» Π. Σ. Ὅθεν κατὰ τὸν Π. Σ. ὀνομάζονται ὀ ρ ε ῖ α ι ἢ ἀπὸ τῆς μιᾶς, τῆς Μαίας, ἅπασαι, ἢ ἀπὸ τοῦ ὄρους Ἄτλαντος, τοῦ πατρὸς αὐτῶν. — μὴ τηλόθεν Ὠρίωνα νεῖσθαι] Ἡ ὀρθοτέρα παρομοίωσίς ἐστιν ἥδε. Παραβάλλει ὁ ποιητὴς τὰς Πλειάδας τὰς ἐρωμένας τοῦ Ὠρίωνος πρὸς τοὺς πατέρας, ἤτοι τοὺς προγόνους τοῦ Τιμοδήμου, τοὺς Τιμοδημίδας· αὐτὸν δὲ τὸν Τιμόδημον, ὅστις, οἷον ἐρῶν, ζηλοῖ καὶ μιμεῖται τὴν δόξαν αὐτῶν, πρὸς τὸν Ὠρίωνα· ὥσπερ λοιπὸν ὁ Ὠρίων ἐρῶν τῆς Πλειάδος ἕπεται αὐτῇ καὶ οὐ μακρὰν αὐτῆς ἐστιν. οὕτω καὶ ὁ Τιμόδημος ζηλῶν τοὺς προγόνους εἰκός ἐστι νὰ ἕπηται αὐτοῖς, ἤτοι τῇ ἐπὶ ταῖς νίκαις δόξῃ αὐτῶν, καὶ οὐ μακρὰν νὰ ᾖ. Ὁ ποιητὴς ποιῶν ταύτην τὴν παραβολὴν ἔχει ἐν τῷ νῷ, ὃ εἴρηκε π α τ ρ ί α ν ε ἴ π ε ρ κ α θ' ὁ δ ὸ ν ε ὐ θ ύ π ο μ π ο ς α ἰ ώ ν.

— Στ. 19-26. Καὶ μὰν ἁ Σαλαμὶς . . . εὐάνορες] ὁ Π. Σ. λέγει «Ζητεῖται, διὰ τί δήποτε τὰ περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προσῆκται· οὐ γὰρ δήπου Σαλαμίνιος ἦν· ἄντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τὸν δῆμον». Ἡ δὲ ἐξήγησις τοῦ παρὰ τοῖς Π. Σ. Ἀσκληπιάδου, ἣν καὶ Heynius καὶ ἄλλοι παραδέχονται, ἔμοι γε οὐκ ὀρθὴ δοκεῖ· ἔστι δὲ ἥδε «εἰκός ἐστιν αὐτὸν (τὸν Τιμόδημον) εἶναι τῶν τὴν Σαλαμῖνα κατακληρουχησάντων Ἀθηναίων· εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι». Ταύτην τὴν γνώμην παραδεξάμενοι οἱ περὶ τὸν Heynium ἀνέπτυξαν ὧδε «ὁ πατὴρ τοῦ Τιμοδήμου Ἀθηναῖος, τὸν δῆμον Ἀχαρνεύς, τῶν τὴν Σαλαμῖνα κληρουχησάντων· διὸ ὁ Τιμόδημος ἐτράφη ἐν Σαλαμῖνι». Ἡ ἑξῆς ἐξήγησις τοῦ Π. Σ. ἐστι κατ' ἐμὲ λίαν ὀρθή. «Διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα, ὡς μὴ μόνον Αἰαντίδα φυλὴν ἀποδεῖξαι, ἀλλὰ καὶ κλίνην αὐτῷ μετὰ πανοπλίας κατακοσμεῖν· λόγον τε ἔχειν παγκρατιαστὴν ὄντα τὸν Τιμόδημον τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδρειοτάτῳ παραβεβλῆσθαι».

δημε, σὲ δ' ἀλκὰ
Παγκρατίου τλάθυμος ἀέξει.
Ὀ. δ'.
Ἀχάρναι δὲ παλαίφατον
Εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις

Κατὰ ταύτην τὴν γνώμην τοῦ Π. Σ. ὁ ἡμέτερος Δούκας παρέφρασεν. «Ἡ μὲν οὖν Σαλαμὶς οἵά τε ἦν ἐκθρέψαι Αἴαντα τὸν μέγαν ἐκεῖνον σακεσφόρον, οὗ Ἕκτωρ ᾔσθετο τῆς δυνάμεως ἐκ πείρας. Σὲ δέ, ὦ Τιμόδημε, ἰσχὺς ἀνεκήρυξε νικητὴν ἐν παγκρατίῳ, ὡς ἄξιον βλαστὸν τῶν Ἀχαρνῶν, ἐξ ὧν ὁ λόγος πολὺς ἀρχαῖος πολλοὺς ἀρίστους ἄνδρας ἀναφῦναι». Τῷ ὄντι τί ἐστι μείζων ἔπαινος τῷ Τιμοδήμῳ ἢ νὰ παραβάλῃ τὰς Ἀχαρνάς, τὸν δῆμον αὐτοῦ, δι' αὐτόν τε καὶ τοὺς αὐτοῦ προγόνους καὶ τοὺς λοιποὺς ἀρίστους ἄνδρας τοῦ δήμου τούτου πρὸς τὴν Σαλαμῖνα διὰ τὸν Αἴαντα, ὃν οἱ Ἀθηναῖοι τὰ μέγιστα ἐτίμων; Ὁ Τιμόδημος λοιπὸν ᾤκει ἐν Ἀθήναις Ἀχαρνεὺς τὸν δῆμον, παραβάλλεται δὲ κατὰ τὴν δύναμιν πρὸς Αἴαντα τὸν Σαλαμίνιον· καὶ τούτου ἕνεκα *τὰ περὶ Σαλαμῖνα προσῆκται εἰς τοὺς περὶ Τιμόδημον λόγους*. Ἡ δὲ παραβολὴ δύναται νὰ ἐκφρασθῇ οὕτως «Καὶ μὴν ὥσπερ ἡ Σαλαμίς ἐστι δυνατὴ ἐκθρέψαι φῶτα μαχητήν, οἷος ἦν ὁ Αἴας, οὗ ἐν Τροίᾳ Ἕκτωρ ἤκουσεν, οὕτω καὶ αἱ Ἀχαρναὶ ἀπ' ἀρχῆς ὡς εὔανδροί τε ὑμνοῦνται καὶ δυναταί εἰσι νὰ ἐκθρέψωσιν ἀθλητάς, οἷος εἶσαι σύ, ὦ Τιμόδημε, καὶ οἱ σοὶ προπάτορες, ὧν τῆς δυνάμεως ᾔσθοντο ἐν τοῖς ἀγῶσιν οἱ ἀντίπαλοι». Τὸ χωρίον τοῦτο παρέσχε πράγματα τοῖς τε παλαιοῖς καὶ νεωτέροις Σχ. διότι οὐδεὶς κατεῖδεν, ὅτι ὁ Πίνδαρος μιμούμενος τοὺς ἐνθουσιῶντας χρησμῳδοὺς ῥίπτει σποράδην καὶ ἀτάκτως τὰς αὐτοῦ ἰδέας, ἃς ὁ ἀναγνώστης ὀφείλει νὰ τακτοποιήσῃ καὶ συῤῥάψῃ οὕτω, ὥστε νὰ παραχθῇ αὐτὴ ἡ

ἔννοια τοῦ ποιητοῦ. Συῤῥαφήτωσαν οὖν οὕτω πως. «Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι (τοῖς Ἀθηναίοις νὰ θρέψῃ, πρὸς τιμὴν καὶ δόξαν τῶν Ἀθηναίων) φῶτα μαχητὰν δυνατός· Ἀχάρναι δὲ παλαίφατον εὐάνορες (Ἀθηναίοις, πρὸς δόξαν τῶν Ἀθηναίων)· ἐν Τροίᾳ μὲν Ἕκτωρ Αἴαντος ἤκουσεν· (ἐν ἀγῶσι) δὲ σέ, Τιμόδημε, ἀλκὰ παγκρατίου τλάθυμος ἀέξει· ὅσσα δ᾽ ἀμφ᾽ ἀέθλοις Τιμοδημίδαι κ. ἑξῆς». Τί ἁπλούστερον τούτου; τί περιεκτικώτερον πολλῶν καὶ μεγάλων ἐπαίνων καὶ τοῦ ἐγκωμιαζομένου καὶ τοῦ γένους αὐτοῦ καὶ τῶν Ἀχαρνῶν καὶ τῆς Σαλαμῖνος καὶ ἁπάσης τῆς Ἀττικῆς; — θρέψαι] Τὸ ἐν στ. 12. Ἀθάναις παραληπτέον καὶ ἐνταῦθα, ὡς καὶ ἐν τῇ λέξει εὐάνορες (στ. 26). ἔστι δὲ ἡ ἐξυπακουομένη αὕτη δοτικὴ ἡ δοτικὴ χαριστικὴ λεγομένη. Λέγων ὁ Πίνδαρος τὴν λέξιν θρέψαι ἀναμφιβόλως εἶχεν ἐν τῷ νῷ τὸ τοῦ Ὁμήρου (Ἰλιάδος η. 198), τὸ παρὰ τοῖς Π. Σ. ἀναφερόμενον

Ἐπεὶ οὐδ᾽ ἐμὲ νήϊδά γ᾽ οὕτως
Ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.

— Ἕκτωρ Αἴαντος ἄκουσεν] «ὁ Ἕκτωρ ἔμαθε παρὰ τοῦ Αἴαντος, ἤτοι ἐν τῇ μονομαχίᾳ ἥττων τοῦ Αἴαντος γενόμενος κατενόησε καὶ ἐπείσθη, ὅτι ἡ Σαλαμὶς τρέφει φῶτας μαχητάς». Ὅρα τὴν μονομαχίαν τῶν δύο τούτων ἡρώων ἐν Ἰλιαδ. η. ἀπὸ στ. 161. — ὦ Τιμόδημε, . . . ἀέξει] ἵνα καταστῇ σαφὴς ἡ ἀντίθεσις τῆς ἐννοίας τοῦ χωρίου τούτου πρὸς τὴν ἔννοιαν τοῦ ἡγουμένου ἐν Τροίᾳ μὲν . . . ἄκουσεν, ἀναλυθήτω οὕτως «ἐν δὲ Νεμέᾳ, ὅπου τλάθυμος ἀλκὴ παγκρατίου νικητήν σε κατέστησε, σοῦ, ὦ Τιμόδημε, ἤκουσαν οἱ ἀνταγωνισταί, ὅτι Ἀχάρναι εὐάνορές εἰσιν». — παλαίφατον] «παλαιφάτως, κατὰ παλαιὰν φάτιν, ὡς ἔκπαλαι φημίζεται».

Τιμοδημίδαι ἐξοχώτα-
τοι προλέγονται.
Παρὰ μὲν ὑψιμέδοντι Παρνασ-
σῷ, τέσσαρας ἐξ ἀέθλων νί-
κας ἐκόμιξαν.
Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν
Ὀ. ἑ.
Ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς
Ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
Ἑπτὰ δ' ἐν Νεμέᾳ· τὰ δ' οἴκοι
Μάσσον' ἀριθμῷ,
Διὸς ἀγῶνι. Τὸν, ὦ πολῖται,
Κωμάξατε, Τιμοδήμῳ σὺν
Εὐκλέϊ νόστῳ·
Ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

— Στ. 26-28. ὅσσα . . . προλέγονται] Θαυμασίως μιμεῖται ὁ ποιητὴς τὸν ἐνθουσιῶντα· μιμούμενος ὅμως, ἢ ἀληθῶς ἐνθουσιῶν οὐκ ἐξέρχεται τῆς ὑποθέσεως, ἀλλὰ μεμνημένος, ὅτι δέον ἔτι νὰ ἐπαινέσῃ καὶ τοὺς προγόνους τοῦ ὑμνουμένου, εὐχερῶς ἐν τῷ ἐνθουσιασμῷ ποιεῖται εἴσοδον εἰς αὐτούς. — ὅσσα ἐξοχώτατοι] «ὅσον ἐξοχώτατοι, πόσον ἐξοχώτατοι». — προλέγονται] «ἀντὶ τοῦ προκέκρινται· Ὅμηρος (Ἰλιαδ. ν. 689). Οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἢ οὕτως· ἐν τοῖς πρὸ τούτου χρόνοις λέγονται» Π. Σ. — Τιμοδημίδαι] «φατρία, ὅθεν οἱ πρόγονοι τοῦ Τιμοδήμου» Π. Σ.

στ. 32. Κορινθίων. Ἡ παραλήγουσα φαίνεται, ὅτι μηκύνεται.

στ. 38. Τιμοδήμῳ, γραφὴ τοῦ Π. Σ. ἡ δὲ γραφὴ Τιμοδήμω κατὰ γενικὴν ἔχει κάλλιστα.

— Στ. 29. παρὰ . . . Παρνασσῷ] «ἐν Πυθῶνι». — Παρνασσῷ] «ὄρει τῆς Φωκίδος» Π. Σ. — ὑψιμέδοντι] «καταχρηστικῶς ἀντὶ τοῦ ὑ ψ η λ ῷ » Π. Σ.

— Στ. 32-34. ἀλλὰ Κορινθίων . . . ἤδη] «ὁ ἀ λ λ ὰ σύνδεσμος ἀντὶ τοῦ δ έ , καὶ ἡ ὑ π ὸ ἀντὶ τῆς π α ρ ὰ , ἵν' ᾖ· παρὰ δὲ Κορινθίων ἐν ταῖς πτυχαῖς τοῦ Πέλοπος, τουτέστιν ἐν Πελοποννήσῳ, ἔλαβον ὀκτὼ νίκας, ἐπεὶ Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα» Π. Σ.

— Στ. 35-37. τὰ δ' οἴκοι . . . ἀγῶνι] «τὰ δὲ οἴκοι, ἐν ταῖς Ἀθήναις μείζονά ἐστιν ἢ ἀριθμεῖσθαι, οἷον ὑπερβαίνει πάντα ἀριθμόν, ἃ ἐνίκησαν οἴκοι· τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγών, τουτέστι τὰ Ὀλύμπια» Π. Σ.

— Στ. 37-39. Τόν, ὦ πολῖται . . . νόστῳ] Καταριθμήσας τοὺς ἀγῶνας τῶν προπατόρων τοῦ Τιμοδήμου προστίθησιν αὐτοῖς καὶ τὸν νῦν τελευταῖον γενόμενον τὸν τοῦ Τιμοδήμου. — τὸν] τοῦτον, τὸν Δία, ἢ ὃν Δία. — σὺν εὐκλέϊ νόστῳ] «σὺν τῇ ἀπὸ τῆς Νεμέας ἀπονοστήσει τοῦ Τιμοδήμου». Παρακαλεῖ λοιπὸν τοὺς πολίτας νὰ ὑμνήσωσι τὸν Δία, τὸν προστάτην τῶν ἐν Νεμέᾳ ἀγώνων, καὶ τὴν νίκην τοῦ Τιμοδήμου, ἣν τῇ εὐνοίᾳ τοῦ Διὸς ἐνίκησεν ἐν Νεμέᾳ. Πρόσεχε, μὴ ἐκλάβῃς τὴν πρόθεσιν σ ὺ ν ἀντὶ τῆς ἐ ν · εἶπε δὲ σ ὺ ν ε ὐ κ λ έ ϊ ν ό σ τ ῳ ἀντὶ τοῦ σ ὺ ν τ ῇ ν ί κ ῃ . — Τιμοδήμῳ σὺν νόστῳ] «σὺν τῇ ἀπὸ τῆς Νεμέας ἀπονοστήσει τοῦ Τιμοδήμου».

— Στ. 40. «Ἐξάρχετε τοῦ κωμάζειν, τοῦ ὑμνεῖν ἡδυμελεῖ φωνῇ τὸν Δία μετὰ τῆς νίκης». Κακῶς ὑποτίθησί τις, ὅτι ἡ παροῦσα ᾠδή ἐστι προοίμιον τρόπον τινὰ ἑτέρας ᾠδῆς μείζονος, ἣν ὁ χορὸς ἐξάρχει νῦν νὰ ᾄδῃ· διότι αἱ προστακτικαὶ κ ω μ ά ξ α τ ε καὶ ἐ ξ ά ρ χ ε τ ε ἐτέθησαν ποιητικῶς ἀντὶ ὁριστικῶν, οὕτως «τ ὸ ν (νῦν), ὦ π ο λ ῖ τ α ι , κ ω μ ά ζ ε τ ε . . . ἐ ξ ά ρ χ ε τ ε δ ὲ φ ω ν ῇ ».

ΜΕΤΑΦΡΑΣΙΣ.

Ὅθεν καὶ οἱ Ὁμηρίδαι ἀοιδοὶ ῥαπτῶν ἐπῶν προοιμιαζόμενοι ἄρχονται ὡς ἐπὶ τὸ πολὺ ἐκ τοῦ Διός, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ ἐδέξατο πρῶτον ἐν τῷ πολυϋμνήτῳ ἄλσει τοῦ Νεμεαίου Διὸς τὴν καταβολὴν νικηφόρων ἱερῶν ἀγώνων. Διότι ἀναγκαῖον ἔτι ἐστὶν ὁ υἱὸς τοῦ Τιμονόου, εἰ ὁ βίος (τῶν παίδων) ὁ βαίνων εὐθέως τὴν ὁδὸν τῶν πατέρων ἔδωκεν αὐτὸν κόσμον ταῖς μεγάλαις Ἀθήναις, συχνάκις μὲν νὰ δρέπηται τὸ κάλλιστον ἄνθος τῶν Ἰσθμιάδων, συχνάκις δὲ νὰ νικᾷ ἐν Πυθῶνι· εἰκὸς δέ ἐστι ὁ Ὠρίων μὴ μακρὰν τῶν ὀρεινῶν Πλειάδων νὰ πορεύηται. Ἔτι δὲ ἡ μὲν Σαλαμίς ἐστι δυνατὴ νὰ θρέψῃ ἄνδρας μαχητάς· τοῦτο δὲ ἔμαθεν ἐν Τροίᾳ ὁ Ἕκτωρ παρὰ τοῦ Αἴαντος. Σὲ δὲ, ὦ Τιμόδημε, ἡ ἐν παγκρατίῳ καρτερικὴ ἀλκὴ ἔνδοξον καθίστησι· διότι αἱ Ἀχαρναί, ὡς ἔκπαλαι φημίζονταί, εἰσιν εὔανδροι. Πόσον προκρίνονται ἐξοχώτατοι ἐν τοῖς ἀγῶσιν οἱ Τιμοδημίδαι· παρὰ μὲν τῷ ὑψηλῷ Παρνασσῷ τέσσαρας ἐξ ἀγώνων νίκας ἐκόμισαν· παρὰ δὲ Κορινθίων ἀνδρῶν ἐν ταῖς πτυχαῖς τοῦ ἀνδρείου Πέλοπος ὀκτὼ ἤδη στεφάνους ἔλαβον· ἑπτὰ δὲ ἐν Νεμέᾳ· ἀναρίθμητα δέ εἰσι τὰ ἐν τῇ πατρίδι κατὰ τὸν ἀγῶνα τοῦ Διὸς βραβεῖα. Ὑμνήσατε λοιπὸν, ὦ πολῖται, νῦν τὸν Δία μετὰ τοῦ εὐκλεοῦς νόστου τοῦ Τιμοδήμου· ἐξάρχετε τῶν ὕμνων σὺν ἡδυμελεῖ φωνῇ.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Γ'.

ΑΡΙΣΤΟΚΛΕΙΔΗι ΑΙΓΙΝΗΤΗι

ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων δέκα καὶ τριῶν.

Κῶλον 1. – –́ ⏑ ⏑ –́ | ⏑ –́ ⏑ Ἰαμβικὸν δίμετρον καταληκτικόν.

„ 2. –́ ⏑ ⏑ –́ | – ⏑ ⏓ Δίμετρον χοριαμβικὸν καταληκτικόν.

„ 3. – ⏑ – ⏑ | – ⏑ Τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἰθυφαλλικόν.

„ 4. ⏖́ ⏑ –́ ⏑ | –́ ⏑ ⏖́ ⏑ Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

„ 5. ⏖́ ⏑ –́ ⏑ ⏑ | –́ ⏑ –́ ⏑ Τροχαϊκὸν δίμετρον διαφέρον τοῦ ἡγουμένου κατὰ τὸν δεύτερον πόδα τῆς πρώτης καὶ δευτέρας συζυγίας.

„ 6. ⏑ ⏖́ ⏑ –́ | ⏑ –́ ⏑ ⏑ –́ | ⏑ –́ / ⏑ ⏖ ⏑ –́ | ⏑ –́ ⏑ –́ | – ⏑ ⏑ } Ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον.

„ 7. ⏑ ⏑ –́ ⏑ –́ | –́ ⏑ ⏑ Ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

„ 8. – –́ ⏑ – | ⏑ –́ ⏑ Ἰαμβικὸν δίμετρον καταληκτικόν.

„ 9. ⏖́ ⏕ –́ ⏑ ⏑ | – Τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον.

Κῶλον 10. – –́ ⏑ –́ | ⏓ –́ ⏑ ⏑ –́ | – Ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τῆς Β′. ἀντιστροφῆς ἡ δευτέρα συζυγία ἔχει τὸν Β′. πόδα τρίβραχυν ⏑ ⏑́⏑ ἡ δὲ τελευταία συλλαβὴ τοῦ κώλου διῃρέθη εἰς δύο βραχέα.

„ 11. –́ ⏑ –́ ⏓ | –́ ⏑ ⏑ –́ | ⏑ – ⏓ Ἐπιχοριαμβικὸν τὸ καλούμενον Σαπφικὸν ἑνδεκασύλλαβον.

„ 12. ⏑ –́ ⏑ ⏑ –́ | ⏑ ⏑ –́ ⏑ Ἰαμβικὸν δίμετρον καταληκτικόν. Ἐν τῇ Γ′. ἀντιστροφῇ τῆς πρώτης διποδίας ὁ πρῶτος πους τ α τ ο ν ἐκληπτέος ὡς ἴαμβος.

„ 13. – ⏑ – ⏑ | – ⏑ – ⏑ Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. – ⏑ ⏑ – | ⏑ – ⏓ Χοριαμβικὸν δίμετρον καταληκτικόν.

„ 2. ⏑ –́ ⏑ –́ | ⏑ –́ – Ἰαμβικὸν ἐφθημιμερές.

„ 3. ⏑ ⏑́⏑ ⏑ –́ | ⏑ – Ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

„ 4. ⏑ ⏑⏑ ⏑ –́ | ⏑ ⏑ –́ Ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

„ 5. ⏑ –́ ⏑ –́ | – ⏑ ⏑ Ὡσαύτως.

„ 6. –́ ⏑ –́ ⏑ | – Ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον.

„ 7. ⏓ –́ ⏑ –́ | ⏑ ⏑ –́ ⏓ Ἰαμβικὸν δίμετρον καταληκτικόν.

„ 8. – ⏑ ⏑ – ⏑ | – ⏑ – ⏑ ⏑ | –́ Τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον.

„ 9. – ⏑ – ⏑ | ⏑ – – ⏑ | ⏓ ⏑ ⏓ Ἀντισπαστικὸν τρίμετρον καταληκτικόν· τοῦ πρώτου ἀντισπαστικοῦ ὁ ἴαμβος μετεβλήθη εἰς τροχαῖον· τὸ

Κῶλον 9. δεύτερον μακρὸν τῆς καταλήξεως ἔν τισι κώλοις διῃρέθη εἰς δύο βραχέα.

„ 10. ⏑ ⏑ ⏗ ⏑ | ⏑ ⏗ ⏑ ⏗ Ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον· ἐν τῇ πρώτῃ συζυγίᾳ ὁ πρῶτος ποῦς τοῦ ἀντισπάστου μετεβλήθη εἰς πυῤῥίχιον, ὁ δὲ δεύτερος ἀντίσπαστος μετεβλήθη εἰς ἰαμβικὴν συζυγίαν.

„ 11. ⏑ ⏑ ⏗ ⏑ ⏑ ⏗ | ⏑ ⏗ – ⏑ ⏑ | Ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· ἡ δευτέρα συζυγία σύγκειται ἐξ ἰάμβου καὶ δακτύλου.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἐν τῷ προοιμίῳ (ἀπὸ στ. 1-19) ἐπικαλεῖται τὴν Μοῦσαν νὰ ἐμπνεύσῃ αὐτῷ ὕμνον, ἵνα διδάξας αὐτὸν ὁ ποιητὴς τὸν χορὸν φθὰς πέμψῃ μετὰ τοῦ ὕμνου εἰς Αἴγιναν ἐγκαίρως κατὰ τὰς ἑορτὰς τῆς Νεμεάδος. Ἄρχεται λοιπὸν τοῦ ὕμνου (ἀπὸ στ. 20) ἐμπνεόμενος ὑπὸ τῆς Μούσης. Ὑμνήσας ἐν ὀλίγοις (στ. 20-25) τὴν Αἴγιναν ἔρχεται εἰς τοὺς ἐπαίνους αὐτοῦ τοῦ νικηφόρου, λέγων, ὅτι εἰς τὸ ἄκρον τῶν ἀρετῶν ἀφίκετο, καὶ ὅστις βούλεται νὰ ἐπιδείξῃ μείζονας ἀρετὰς τῶν τοῦ Ἀριστοκλείδα, οὗτος βούλεται νὰ περάσῃ τὴν ἄβατον θάλασσαν ὑπὲρ τὰς στήλας τοῦ Ἡρακλέους (26-45). Ἐντεῦθεν μεταβαίνει ἐπιδεξιώτατα εἰς τοὺς ἐκ τῆς Αἰγίνης ἥρωας, τοὺς Αἰακίδας (στ. 46-55). Ὑμνεῖ πρῶτον τὸν Πηλέα (ἀπὸ στ. 56-60)· εἶτα τὸν Τελαμῶνα (ἀπὸ στ. 61-68). Ἐπαινεῖ ἀμφοτέρους φιλοσοφῶν (ἀπὸ στ. 69-74). Ἔρχεται εἰς τὸν

Ἀχιλλέα, ὃν ὑπερεπαινεῖ διηγούμενος πρῶτον τὴν παρὰ Χείρωνι ἀνατροφὴν αὐτοῦ (ἀπὸ στ. 65-100)· εἶτα τὰ ὑπὸ Τροίαν ἀνδραγαθήματα (ἀπὸ στ. 101-114). Ἐντεῦθεν ἐπανέρχεται εἰς τὸν νικηφόρον· ὃν ἐπαινεῖ διά τε τὴν νίκην καὶ διότι ἑορτάζει αὐτὴν παρέχων ἑστιάσεις καὶ θεάματα τῷ λαῷ (στ. 115-122). Ἐπαινεῖ αὐτὸν ὡς ἔχοντα τὸ ἄνθος τῶν νεανικῶν ἀρετῶν, τῶν ἀνδρικῶν καὶ τῶν γεροντικῶν, ἔτι δὲ καὶ τὴν ἀρετὴν τοῦ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι (123-132). Ὁμολογεῖ μὲν, ὅτι βραδύτερον τοῦ δέοντος ἤρξατο νὰ συνθέσῃ τὸν ἐπίνικον· παραβάλλων δὲ αὐτὸν πρὸς μέλι μεμιγμένον γάλακτι καὶ οἴνῳ εὖ κεκραμένῳ βεβαιοῖ, ὅτι οὐδὲν τῶν ἀξίων ἐπαίνου εἴασεν· ἀλλ' ἅπαντα ὑψηλότατα ἐξύμνησεν (στ. 135-144). Ἐν τῷ ἐπιλόγῳ (στ. 145 μέχρι τέλους) ἀναφέρων, ὅτι πρὸς τῇ ἐν Νεμέᾳ νίκῃ ὁ Ἀριστοκλείδης ἤρατο καὶ ἑτέρας δύο, τὴν μὲν ἐν Ἐπιδαύρῳ, τὴν δὲ ἐν Μεγάροις, λέγει, ὅτι τὴν ἐξ αὐτῶν δόξαν ἐποίησαν νὰ λάμψῃ αὐτῷ αἱ Μοῦσαι.

ΕΙΣΑΓΩΓΗ.

Ἡ ᾠδὴ αὕτη ἐγράφη, ἵνα ᾀσθῇ ἐν Αἰγίνῃ κατὰ τὰς Νεμεάδας ἑορτάς· ζητητέον λοιπὸν κατὰ ποίας Νεμεάδας, καθ' ἃς ὁ Ἀριστοκλείδης ἐνίκησεν, ἢ κατὰ ἑπομένας, ἤτοι μετὰ τρία ἔτη ἢ μετὰ ἕξ· διότι «ὁ Νεμεαῖος

ἀγών ἐστι τριετὴς τελούμενος μηνὶ Πανέμῳ δωδεκάτῃ» Π. Σ. Ἐξ αὐτοῦ δὲ τοῦ προοιμίου καταφαίνεται, ὅτι ὁ ποιητὴς σπεύδει εἰς τὴν ποίησιν τῆς ᾠδῆς, ἵνα ᾀσθῇ ἡ νίκη πρὸ τοῦ τέλους τῶν ἑορτῶν· ἐκ δὲ τῶν ἐν στ. 138. λέξεων ὀ ψ έ π ε ρ εἰκάζεται ἀδιστάκτως, ὅτι ὁ ποιητὴς παρηγγέλθη πολὺν ἤδη χρόνον πρότερον νὰ γράφῃ τὸν ἐπίνικον. Δῆλον ἄρα, ὅτι ἡ παροῦσα ᾠδὴ οὐχ ὑμνεῖ νίκην συμβᾶσαν κατὰ τὰς αὐτὰς Νεμεάδας, καθ' ἃς ὑμνεῖ, ἀλλὰ κατὰ προγενεστέρας· διότι πῶς ἠδύνατο ὁ Ἀριστοκλείδης νὰ παραγγείλῃ ἐπίνικον, πρὶν νικήσῃ; Σκοπῶν λοιπόν τις, οὐδένα ἕτερον λόγον εὑρίσκει, ἢ ὅτι ὁ Ἀριστοκλείδης θέλων νὰ ἑορτάσῃ τὴν ἑαυτοῦ Νεμεακὴν νίκην, συμβᾶσαν ἐν ἀγνώστῳ χρόνῳ, οὐχὶ καθ' ἣν Νεμεάδα ἐνίκησεν, ἀλλὰ κατὰ ἄλλην, παρήγγειλε τῷ ποιητῇ νὰ γράφῃ ἐπίνικον, ἵνα ἑορτάσῃ τὴν νίκην αὐτὸν τὸν μῆνα, καθ' ὃν ἐτελοῦντο οἱ Νεμεακοὶ ἀγῶνες· ὁ δὲ ποιητὴς βραδύνας δι' οἵαν δήποτε αἰτίαν, ἤδη τῶν ἑορτῶν τελουμένων, μετὰ σπουδῆς ποιεῖ τὴν ᾠδήν, ἵνα γυμνάσας τὸν χορὸν εἰς τὸ ᾄδειν πέμψῃ αὐτὴν μετὰ τοῦ χοροῦ εἰς Αἴγιναν. Τοιοῦτός τις λόγος ἠνάγκασε, φαίνεται, καὶ τὸν Dissenium νὰ ποιήσῃ ὁμοίαν τινὰ ὑπόθεσιν. Ἦν δὲ ὁ Ἀριστοκλείδης υἱὸς Ἀριστοφάνους (στ. 35).

Σ. ά. Κ. ιγ'.

Ω ΠΟΤΝΙΑ Μοῖσα, μᾶτερ
Ἁμετέρα, λίσσομαι,
Τὰν πολυξέναν ἐν
Ἱερομηνίᾳ Νεμεάδι
Ἵκεο Δωρίδα νᾶσον Αἴγι-
ναν· ὕδατι γὰρ μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ

— Στ. 1-9. Ὦ πότνια . . . μαιόμενοι] «ἱκετεύω σε, ὦ ἐντιμοτάτη Μοῦσα, ἡμετέρα μῆτερ, παραγενοῦ μοι εἰς τὴν πολύξενον νῆσον, τὴν τῶν Δωριέων, τῶν Ἀργείων ἄποικον, ἐν τῇδε τῇ ἱερομηνίᾳ τῆς Νεμεάδος· ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ, τουτέστιν ἐν ταῖς Θήβαις, προσμένουσιν οἱ νεανίαι, οἱ τῶν ἡδυτάτων ὕμνων τέκτονες καὶ χορευταί, τὴν σὴν φωνήν, ὦ Μοῦσα, ἐπιζητοῦντες» Π. Σ. Ὁ χορὸς οὐκ ἦλθεν ἐξ Αἰγίνης, ἢ ἐκ Νεμέας εἰς Θήβας, ἀλλὰ συνίσταται ἐκ νέων, οὓς αὐτὸς ὁ ποιητὴς διὰ τοῦ αὐτοῦ χοροδιδασκάλου Αἰνέα (ὅρα Ὀλ. ΣΤ.' 149. καὶ τὴν αὐτόθι Σημ.) καὶ ἐκ Θηβῶν καὶ ἐξ ἄλλων μερῶν τῆς Ἑλλάδος ἐξέλεξεν. — λίσσομαι, ἵκεο τὰν νᾶσον] Ἀρχόμενος ὁ Πίνδαρος τοῦ ὕμνου παρακαλεῖ τὴν Μοῦσαν νὰ ἔλθῃ εἰς Αἴγιναν· οὐ λαλεῖ ὅμως κυριολεκτικῶς, ἀλλὰ τροπικῶς, τοῦτο βουλόμενος νὰ εἴπῃ «ὦ Μοῦσα, παῦσον κατὰ τὸ παρὸν ᾄδουσα, ἤτοι ἐμπνέουσά μοι ὕμνον εἰς νικηφόρους ἄλλων πόλεων· ἤδη δὲ ἔμπνευσόν μοι ὕμνον εἰς Ἀριστοκλείδην τὸν πολίτην Αἰγινήτην, ἵνα φθὰς ὁ ὕμνος οὗτος ᾀσθῇ ἐν Αἰγίνῃ ἐν τῇ ἱερομηνίᾳ Νεμεάδι». — μᾶτερ ἁμετέρα] ὡς ὁ ποιητὴς καλῶς δύναται νὰ ὀνομασθῇ τέκνον τῶν Μουσῶν· οὕτω

καὶ ἡ Μοῦσα μήτηρ τοῦ ποιητοῦ. «Μητέρα ἑαυτοῦ εἶπε τὴν Μοῦσαν ὁ Πίνδαρος, ὡς ἂν ἐπιπνεόμενος ὑπὸ Μουσῶν

Ἐκ γάρ τοι Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν (Ὁμηρ. ὕμν. 24. 2).

ἢ ὅτι προσενὴς ἦν αὐτῷ ἡ Μοῦσα, ὥσπερ Ὀδυσσεῖ ἡ Ἀθηνᾶ

Μήτηρ ὡς Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει·

(Ἰλιαδ. ψ. 783)» Π. Σ. — πολυξέναν] παράβαλε πρὸς Ὀλ. Η'. 33-36. — ἐν ἱερομηνίᾳ Νεμεάδι] οὐχὶ ἐν ἐκείνῃ, καθ' ἣν ἐνίκησεν, ἀλλ' ἐν ἑτέρᾳ, ὡς εἴπομεν ἐν τῇ εἰσαγωγῇ. «Ἱερὸν μῆνα καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται· τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον ψηφίσασθαι τοὺς Ἀθηναίους ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν» Π. Σ. — Δωρίδα] ὅρα Σημ. εἰς Ὀλ. Η.' 33-40. — ὕδατι μένοντ' ἐπ' Ἀσωπίῳ] «περιμένουσιν ἐπὶ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ». Τρεῖς ἐξηγήσεις ἀναφέρονται παρὰ τοῖς Π. Σ. τῶν δὲ μεταγενεστέρων προήρηται ἄλλος ἄλλην τῶν τριῶν. Ὁ μὲν παρὰ τοῖς Π. Σ. Ἀρίσταρχος συντάσσει «νεανίαι τέκτονες ἐπ' Ἀσωπίῳ ὕδατι μελιγαρύων ὕμνων μένουσιν ἐν Αἰγίνῃ»· ἐκλαμβάνει δὲ, ὅτι ὁ ποιητὴς ἐννοεῖ διὰ τοῦ Ἀσωπίῳ ὕδατι τὸν Ἀσωπὸν ποταμὸν τὸν περὶ Φλιοῦντα καὶ Νεμέαν. Ὅθεν κατὰ τὸν Ἀρίσταρχον ὁ Πίνδαρος τοῦτο βούλεται νὰ εἴπῃ «οἱ ἐπὶ τῷ Ἀσωπῷ τῷ περὶ τὴν Νεμέαν· ἤτοι οἱ ἐν Νεμέᾳ αὐτοσχέδιόν τινα ὕμνον τεκτηνάμενοι νεανίαι χορευταὶ νικήσαντι τῷ Ἀριστοκλείδῃ, ἐπανελθόντες ἤδη μετὰ τοῦ νικηφόρου εἰς Αἴγιναν ἀναμένουσιν αὐτόθι τὸν ἐπίνικον, ὅνπερ αὐτὸς ὁ Πίνδαρος θὰ ποιήσῃ, ἵνα αὐτὸν νῦν ᾄσωσιν». Ὁ δὲ παρὰ τοῖς αὐτοῖς Π. Σ. Δίδυμος ἀποφαίνεται, ὅτι πολλοί εἰσιν Ἀσωποὶ, ὧν εἷς ἐστι καὶ ἐν

Μελιγαρύων τέκτονες
Κώμων νεανίαι, σέ-
θεν ὄπα μαιόμενοι.
Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου.
Ἀεθλονικίας δέ, μάλιστ' ἀοιδὰν
Φιλεῖ, στεφάνων ἀρετᾶν τε
Δεξιωτάταν ὀπαδόν.

Ἀ. ά. Κ. ιγ'.

Τᾶς ἀφθονίαν ὄπαζε
Μήτιος ἁμᾶς ἄπο·
Ἄρχε δ' ουρανῶ πο-

Αἰγίνῃ. Ἐπὶ τούτῳ λοιπὸν τῷ ποταμῷ, τῷ ἐν Αἰγίνῃ Ἀσωπῷ περιμένει κατὰ τὸν Δίδυμον ὁ χορὸς τὴν ᾠδὴν τοῦ Πινδάρου. Ἡ δὲ τρίτη ἐξήγησις τῶν Π. Σ. ἐστιν ἐκείνη, ἣν ἐν ἀρχῇ τούτου τοῦ κεφαλαίου ἔγραψα· ἤτοι νομίζουσιν, ὅτι ὁ Πίνδαρος διὰ τοῦ ὕδωρ Ἀσώπιον ἐννοεῖ τὸν ἐν Θήβαις Ἀσωπόν. Καὶ κατ' ἐμὲ ἡ τελευταία τῶν Π. Σ. γνώμη ἐστὶν ἡ ὀρθοτέρα. Ὁ δὲ χορὸς θὰ πεμφθῇ εἰς Αἴγιναν παρ' αὐτοῦ τοῦ ποιητοῦ παρεσκευασμένος ὑπὸ τοῦ Αἰνέα τοῦ χοροδιδασκάλου τοῦ Πινδάρου· ἴσως θὰ συνακολουθήσῃ τῷ χορῷ καὶ αὐτὸς ὁ Αἰνέας. Ὅθεν ὕδατι . . . Ἀσωπίῳ σημαίνει συνεκδοχικῶς «ἐν Θήβαις»· ἤτοι οἱ χορευταὶ μένοντες ἐν Θήβαις περιμένουσι νὰ τελειώσῃ ὁ Πίνδαρος τὴν ποίησιν τοῦ ὕμνου, ἵνα γυμνασθέντες εἰς τὸ ᾄδειν αὐτόν, αὐτίκα ἀπέλθωσιν εἰς Αἴγιναν. — μελιγαρύων . . . κώμων] Ἐπειδὴ ὁ κῶμος, ἤτοι ὁ ὕμνος τότε ἐστὶ μελί-

---

στ. 11. ἀεθλονικία καὶ ἀθλονεικία ἔν τισι χειρογρ.
στ. 15. ἁμᾶς ἔν τινι χειρογρ.
στ. 16. οὐρανῶα ἔν τινι χειρογρ.

γαρυς, μελίφωνος, ὅτε ᾄδεται· διὰ τοῦτο τέκτονες μελιγαρύων κώμων εἰσὶν οὐχὶ οἱ ποιηταί, ἀλλὰ ὁ χορός, ὅτε ᾄδει τοὺς κώμους. — σέθεν ὄπα] «σοῦ τὴν φωνὴν» ἤτοι τὴν ᾠδήν, ἣν γράφω καὶ μελῳδῶ ὑπὸ σοῦ ἐμπνεόμενος. — μαιόμενοι] δεόμενοι καὶ ζητοῦντες μετὰ πόθου».

— Στ. 10-15. Διψῇ . . . ἀμᾶς ἄπο] «διψῇ δὲ καὶ ἐπιθυμεῖ καὶ ἔχει ἀνάγκην ἄλλο μὲν ἄλλου πράγματος· ἡ δὲ ἀθλονικία μάλιστα ἔχει ἀνάγκην ᾠδῆς, ἥτις ἐστὶν ἐπιδεξιωτάτη ὀπαδὸς τῶν στεφάνων καὶ ἀρετῶν. Ταύτην λοιπὸν τὴν ᾠδὴν ἔμπνευσον ἄφθονον τῷ ἐμῷ νῷ, ἵνα ἐξ αὐτοῦ ὑμνήσω τὸν Ἀριστοκλείδην». — Διψῇ . . . ἄλλου] ὁ μὲν πλοῦς διψῇ ἀνέμων, ἡ δὲ γεωργία διψῇ ὄμβρου κ. τ. λ. Παράβαλε πρὸς Ὀλ. ΙΑ.' στ. 1. κ. ἑξῆς. — ἀεθλονικίας δὲ] τὸ δὲ πρᾶγος τῆς ἀεθλονικίας, ἡ ἀεθλονικία, ἡ ἐν τοῖς ἱεροῖς ἀγῶσι νικηφορία. — δεξιωτάτην ὀπαδὸν] καλεῖ οὕτω τὴν ᾠδήν· διότι ἡ ᾠδὴ δεξιώτατα πάντων τῶν ἄλλων ποιεῖ τοὺς στεφάνους καὶ τὰς ἀρετὰς γνωστὰς καὶ τοῖς συγχρόνοις καὶ τοῖς μεταγενεστέροις, ἢ ὡς ὁ αὐτὸς ποιητὴς λέγει ἐν τῷ ἀνωτέρω μνημονευθέντι Ὀλυμ. εἴδει στ. 3. μ ε λ υ γ ά ρ υ ε ς ὕ μ ν ο ι . . . ἀ ρ ε τ α ῖ ς». — τᾶς] ἧς ᾠδῆς. — ἀφθονίαν . . . ἄπο] Ἡ σύνταξις καὶ ἡ ἀναπλήρωσις τῆς βραχυλογίας ἐστὶν π ά ρ ε χ ε, ὦ Μ ο ῦ σ α, ἐ ξ ε λ θ ε ῖ ν ἀ φ θ ο ν ί α ν ἀ π ὸ τ ῆ ς ἐ μ ῆ ς μ ή τ ι ο ς. Τὴν αὐτὴν ἔννοιαν ἐξέφρασεν ἄλλῳ τρόπῳ καὶ ἄλλαις λέξεσιν ἐν τῷ ἀνωτέρω Ὀλ. εἴδει 9. 10.

— Στ. 16-19. Ἄρχε . . . κοινώσομαι] «Πάρεχε, ὦ Μοῦσα, ὕμνον ἀρεστὸν τῷ Διῒ τῷ ἄρχοντι τοῦ πολυνεφέλου οὐρανοῦ, ἐγὼ δὲ θὰ ἀνακοινώσω αὐτὸν ἐκείνοις τοῖς νεανίαις, οἵτινες μαίονται καὶ ἐπιζητοῦσι τὴν σὴν φωνήν». — οὐρανῶ πολυνεφέλα] γενικὴ Δωρικὴ ἐξηρτημένη ἐκ τοῦ κ ρ έ ο ν τ ι. — κρέοντι] τῷ Διῒ τῷ ἄρχοντι. Οἱ Π. Σ. τὴν δοτικὴν ταύτην θεωροῦσιν ὡς ἀντίπτωσιν ἀντὶ γενικῆς ἑρμηνεύοντες «ὦ θύγατερ τοῦ Διὸς

λυνεφέλα κρέοντι, θύγατερ,
Δόκιμον ὕμνον· ἐγὼ δ' ἐκείνων
Τέ μιν ὀάροις λύρᾳ τε κοινώσομαι.
Χαρίεντα δ' ἕξει πόνον
Χώρας ἄγαλμα, Μυρμι-
δόνες ἵνα πρότεροι

τοῦ κρέοντος (τοῦ ἄρχοντος) τοῦ πολυνεφέλα οὐρανοῦ»· ἀλλὰ κάλλιον ἡ δοτικὴ κ ρ έ ο ν τ ι νὰ ἐξαρτηθῇ ἐκ τοῦ δ ό κ ι μ ο ν, ἵνα ᾖ «ὕμνον δόκιμον (ἀρεστὸν) τῷ Διῒ τῷ κρέοντι». — θύγατερ] αὐτοῦ τοῦ κρέοντος. — δόκιμον] Παρακαλεῖ τὴν Μοῦσαν νὰ ἐμπνεύσῃ αὐτῷ ὕμνον δόκιμον καὶ ἀρεστὸν τῷ Διΐ. Δόκιμος δὲ ἔσεται ὁ ὕμνος τῷ Διΐ, πρῶτον, διότι θὰ ὑμνηθῇ ὁ Ἀριστοκλείδης ἐπὶ νίκῃ, ἣν ἐνίκησεν ἐν Νεμεακοῖς ἀγῶσιν, ὧν προστάτης ἐστὶν ὁ Ζεύς· δεύτερον, διότι θὰ ὑμνηθῶσιν οἱ Αἰακίδαι, οἵτινές εἰσιν αἷμα τοῦ Διὸς (ὅρα στ. 112. καὶ ἑξῆς). — ὀάροις τε λύρᾳ τε ἐκείνων κοινώσομαι] «θὰ γυμνάσω τὰς φωνὰς καὶ τὴν λύραν ἐκείνων εἰς τὸ ᾄδειν μ ι ν, αὐτὸν τὸν ὕμνον». — ὀάροις λύρᾳ] «μετ' ᾠδῆς γὰρ καὶ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι» Π. Σ.

— Στ. 20-31. Χαρίεντα . . . φέρει] Ἐνταῦθα κυρίως ἐμβαίνει εἰς τὴν ὑπόθεσιν «Τερπνὸν δὲ πόνον θὰ ἔχῃ ἡ πόλις τῆς Αἰγίνης, ὅπου πρότεροι ᾤκησαν Μυρμιδόνες, ὧν τὴν παλαίφατον ἀγορὰν οὐ κατήσχυνεν Ἀριστοκλείδης ἐναντίον τῆς παρὰ τῶν θεῶν δοθείσης αὐτῇ ἀξίας· διότι οὐκ ἐμαλακύνθη ἐν τῷ εὐσθενεστάτῳ ἀγῶνι τοῦ παγκρατίου· τῶν δὲ κοπωδῶν πληγῶν λήθην καὶ ἰατρικὸν ὑγιεινὸν ἔχει αὐτὸς τὴν ἐν Νεμέᾳ ἔνδοξον νίκην». Ταῦτα λέγονται ὡς ἀπὸ τῆς Μούσης διὰ στόματος τοῦ Πινδάρου· καὶ ὁ σύνδεσμος δ έ, ὁ ἐν ἀρχῇ, οὐδὲν κωλύει νὰ ὑποθῶμεν ταύτην τὴν ὑπόθεσιν, ὅτι δηλαδὴ καὶ ἡ Μοῦσα ἄ ρ χ ε ι ἐντεῦθεν τὸν δ ό κ ι μ ο ν

τῷ Διῒ ὕμνον· διότι ἄρχεται συνεχίζουσα τὸν ἑαυτῆς λόγον τῇ παρακλήσει καὶ τοῖς λόγοις τοῦ ποιητοῦ. — ἕξει] Πολὺ ἀποπλανᾶται τῆς ἐννοίας τοῦ ποιητοῦ ὁ Hermannus καὶ οἱ ἑπόμενοι αὐτῷ νομίζοντες, ὅτι ὑποκείμενόν ἐστιν ὁ Ζεύς· διότι ὑποκείμενόν ἐστι τὸ χώρας ἄγαλμα, ὡς οἱ Π. Σ. συντάττουσι καὶ ὁ ἡμέτερος Δούκας παραδέχεται. — χαρίεντα πόνον] οὐ λέγει τὸν ὕμνον χαρίεντα πόνον, ἀλλὰ τὴν τῶν πολιτῶν ἐνασχόλησιν περὶ τὰς θυσίας καὶ ἑστιάσεις καὶ θεάματα, οἷς ὁ Ἀριστοκλείδης θὰ ἑορτάσῃ τὴν ἱερομηνίαν Νεμεάδα, ἤτοι τὴν ἐν Νεμέᾳ νίκην αὐτοῦ· καὶ τῷ ὄντι οὗτος ὁ πόνος ἐστὶ χαρίεις καὶ ἐπιτερπής. — χώρας ἄγαλμα] οὐ καλεῖ τὸν ὕμνον οὕτως· ἀλλὰ τὴν πόλιν τῆς Αἰγίνης ἕνεκα τοῦ κάλλους καλεῖ ἄγαλμα χώρας, ἐφ᾽ ᾧ ἡ χώρα, ἤτοι ἡ νῆσος τῆς Αἰγίνης ὡς πρόσωπον ἀγάλλεται. — ἵνα] χώρας, ὅπου. — Μυρμιδόνες] «Περὶ τῶν Μυρμιδόνων Ἡσίοδος

Ἡ δ᾽ ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην·
Αὐτὰρ ἐπεὶ ῥ᾽ ἥβης πολυκράτου ἵκετο μέτρον,
Μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ᾽ ἀνδρῶν τε θεῶν τε,
Ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
Τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας·
Οἱ δ᾽ ἤτοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.

Θεαγένης δὲ ἐν τῷ περὶ Αἰγίνης οὕτω γράφει. Ἄλλοι δὲ πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. Ὀλιγανθρωπούσης γὰρ τῆς νήσου φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι παντελῶς ἀκατασκεύους

Ὤικησαν, ὧν παλαίφατον ἀγορὰν
Οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας
Ἑὰν ἐμίανε κατ' αἶσαν,
Ἐν περισθενεῖ μαλαχθεὶς

Ἐ. ά. Κ. ια'.

Παγκρατίου στόλῳ· κα-
μματωδέων δὲ πλαγᾶν
Ἄκος ὑγιηρὸν ἐν
Βαθυπεδίῳ Νεμέᾳ
Τὸ καλλίνικον φέρει.
Εἰ δ' ἐὼν καλὸς,

ὄντας, καὶ τοὺς μὲν γινομένους καρποὺς εἰς ταῦτα καταφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γεώργια ἀναφέρειν, οὔσης ἐπιεικῶς ὑπάντρου καὶ ὑποπέτρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς· διόπερ ἀφομοιούντων αὐτούς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι· μεθ' ὧν συνοικισαντα τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγενομένους, ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικήν, ᾗ χρησαμένους αὐ-

---

στ. 25. τεάν ἡ κοινὴ γραφή. Ἡ κατὰ τὴν γραφὴν ταύτην ἔννοιά ἐστι «κατὰ καλὴν τύχην σοῦ, ὦ Μοῦσα θύγατερ τοῦ Διός, κατὰ τὴν σὴν ἐπιθυμίαν»· ἤτοι ἡ Μοῦσα ἀγαπᾷ καὶ ἐπιθυμεῖ νὰ ὑμνῇ τὸν Ἀριστοκλείδην· καὶ κατὰ καλὴν αὐτῆς τύχην ἐνίκησεν ὁ Ἀριστοκλείδης (οὐκ ἐμίανεν ἐλεγχέεσσιν ἀγοράν), καὶ οὕτως ἐγένετο ἡ αὐτῆς ἐπιθυμία. Ἀλλ' ἡ γραφὴ ἐάν, ἣ καὶ αὐτὴ φαίνεται ληφθεῖσα ἐκ χειρογράφων μὴ σωζομένων, ἐστὶ γνησιωτέρα· διότι ἡ ἐξ αὐτῆς ἔννοιά ἐστιν ἀρίστη καὶ καλλίστη· (ὅρα Σημειωσ.)

στ. 27. Τὰς ἐπῳδοὺς τοῦ εἴδους τούτου οἱ μὲν τῶν μετρικῶν διαιροῦσιν εἰς ὀκτὼ κῶλα, οἱ δὲ εἰς ἕνδεκα.

τοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους» Π. Σ. παλαίφατον ἀγορὰν] «τὴν πάλαι πεφατισμένην, τουτέστιν ὑμνουμένην ἀγορὰν καὶ σύνοδον» Π. Σ. — οὐκ ἐλεγχέεσσιν ἐμίανε] διότι εἰ ὁ Ἀριστοκλείδης ἐνικᾶτο ἐν τῷ ἀγῶνι, ἤθελον ἐλέγχῃ αὐτὸν καὶ ὀνειδίζῃ κατὰ τὴν ἀγορὰν οἱ ἄνθρωποι πρὸς ἀλλήλους διαλεγόμενοι, καὶ οὕτως ἡ ἀγορὰ ἤθελε μιαίνεσθαι ἐλέγχεσιν καὶ ὕβρεσιν καὶ γέλωσιν. — ἐὰν κατ' αἶσαν] «οὐκ ἐμίανε σύμφωνα τῇ ἑαυτῆς μοίρᾳ»· διότι οὐδὲ ἄξιον τῆς ἀγορᾶς ταύτης, οὐδὲ εἱμαρμένον αὐτῇ ἐστι νὰ ἐλέγχωνται καὶ περιπαίζωνται ἐν αὐτῇ οἱ πολῖται ὡς ἡττώμενοι ἐν τοῖς ἱεροῖς ἀγῶσιν. Δυνατὸν δὲ νὰ σημαίνῃ καὶ τὸ «σύμφωνα τῇ ἑαυτοῦ (τοῦ Ἀριστοκλείδου) μοίρᾳ»· ἤτοι οὐκ ἐμίανε· διότι τοιαύτη ἦν ἡ μοῖρα αὐτοῦ, νὰ μὴ μιάνῃ. — μαλαχθεὶς] Τὸ ἐμίανε σὺν τῷ μαλαχθεὶς θεωροῦνται ὡς ἀποτελοῦντα μίαν καὶ τὴν αὐτὴν ἔννοιαν. Ὅθεν τὸ οὐκ συναπτέον οὐ μόνον τῷ ἐμίανεν, ἀλλὰ καὶ τῷ μαλαχθείς· «οὐκ ἐμίανεν· οὐ γὰρ ἐμαλάχθη, ἐξησθένησεν. — ἐν περισθενεῖ στόλῳ παγκρατίου] Ὀρθῶς ὁ Heynius «ἐν τῷ περισθενεῖ στρατῷ τῶν ἀγωνιζομένων παγκράτιον, ἤτοι ἐν τοῖς περισθενέσιν ἀνταγωνισταῖς αὐτοῦ»· ἡ γοῦν ἀντίθεσις τοῦ περισθενεῖ πρὸς τὸ μαλαχθεὶς δείκνυσι τὸ ὀρθὸν τῆς ἐξηγήσεως τοῦ Heynii. — καματωδέων . . . φέρει] «τῶν δὲ ἐπιπόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων τῶν κατὰ τὴν μεγάλην Νεμέαν βοήθημα καὶ ἴαμα ὑγιεινὸν φέρει (ὁ Ἀριστοκλείδης) τὴν νίκην· ταύτην γὰρ φάρμακον ἔσχε τῶν πληγῶν· οἱ γὰρ νικήσαντες οὐδέ, εἰ τραύματα ἔχουσιν, αἰσθάνονται διὰ τὸ ἥδεσθαι» Π. Σ. — ἐν βαθυπέδῳ Νεμέᾳ] συναπτέον καὶ τῷ πλαγᾶν καὶ τὸ καλλίνικον.

— Στ. 32-37. Εἰ δ' ἐὼν . . . εὐμαρὲς] «ἀρκείσθω, φησὶ, τούτοις τοῖς ἀγαθοῖς, καὶ τῷ κάλλει καὶ τῷ νικᾶν, καὶ μὴ ζητείτω ἔτι πλείονα ἀγαθά· ὡς γὰρ οὐ

Ἔρδων τ' ἐοικότα μορφᾷ,
Ἀνορέαις ὑπερτάταις ἐπέβα
Παῖς Ἀριστοφάνευς, οὐκέτι πρόσω
Ἀβάταν ἅλα κιόνων
Ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρὲς,

Σ. β'. Κ. ιγ'.

Ἥρως θεὸς ἃς ἔθηκεν
Ναυτιλίας ἐσχάτας
Μάρτυρας κλυτὰς, δά-
μασε δὲ θῆρας ἐν πελάγεϊ
Ὑπερόχως, ἰδίᾳ τ' ἐρεύνα-

δυνατὸν ὑπερθέσθαι τὰς Ἡρακλείους στήλας, οὕτως, οὐδὲ τὴν ἀπὸ τούτου δόξαν» Π. Σ. — ἐοικότα μορφᾷ] Ταὐτὸ τῷ «ἔργῳ οὐ κατ' εἶδος ἐλέγχων» Ὀλυμπ. Η.' 25. Τῇ λέξει ἐ ο ι κ ό τ α οὐκ ἐννοεῖ μόνον τὴν ἐν Νεμέᾳ νίκην, ἀλλὰ καὶ τὰς ἀρετὰς, ἃς διηγεῖται ἐν στ. 122 κ. ἑξῆς. — ἀνορέαις ὑπερτάταις] «ἀρεταῖς πρεπούσαις ἀνδρὶ, ἀνδρείαις ὑπερτάταις». — οὐκέτι . . . εὐμαρὲς] Ἡ σύνταξις ο ὐ κ ἔ τ ι ε ὐ μ α ρ ἐ ς ἐ σ τ ι π ε ρ ᾶ ν ἅ λ α ὑ π ὲ ρ κ ι ό ν ω ν Ἡ ρ α κ λ έ ο υ ς ἄ β α τ ο ν (οὖσαν). Ὁ δὲ νοῦς «ὥσπερ οὐκ ἔστι δυνατὸν νὰ πλεύσῃ τις πέραν τῶν Ἡρακλείων στηλῶν, οὕτω καὶ ὁ παῖς τοῦ Ἀριστοφάνους οὐκ ἔστι δυνατὸν νὰ ὑπερβῇ τὰς ἀρετὰς ταύτας». Ἕκαστος δὲ κατανοεῖ, ὅτι ταῦτά ἐστιν ὑπερβολὴ κατὰ ποιητικὴν ἄδειαν· καὶ οὐκ ἔστιν, ὅπου ἐν τοιαύτῃ παραβολῇ ἐχρήσατο τοσαύτῃ ἀδείᾳ, πλὴν ἐὰν ὑποθῇς, ὅτι ὁ Ἀριστοκλείδης κατώρθωσεν ἀνδραγαθήματα καὶ ἐν μάχαις ὑπὲρ πατρίδος, ἃ ὁ ποιητὴς διὰ λόγους αὐτῷ γνωστοὺς οὐκ ἀναφέρει. Τῇ παραβολῇ ταύτῃ ἐχρήσατο ὁ ποιητὴς καὶ ἐν τοῖς ἐπαίνοις τοῦ Θήρωνος (Ὀλ. Γ.' 77 κ. ἑξῆς)· τῇ αὐτῇ ἐν ἄλλαις λέξεσιν ἐχρήσατο καὶ Νεμ. Θ'. 111. κ. ἑξῆς.

— Στ. 38-40. ἥρως θεὸς . . . κλυτὰς] «ἃς κίονας ὁ Ἡρακλῆς ἔστησε πολυθρυλλήτους ὅρους, μέχρις ὧν πρέπει νὰ γίνηται τὸ τέλος τοῦ πλοῦ καὶ τῆς κατὰ γῆν πορείας». — ἥρως θεὸς] «ὁ Ἡρακλῆς· διὰ τί αὐτὸν ἥρωα καὶ θεὸν εἶπεν; λέγεται γάρ, ὅτι τῆς Ἑλλάδος προσελθούσης τῷ Ἀπόλλωνι καὶ ἐρωτώσης, ὅπως δεῖ τιμᾶν τὸν Ἡρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ θεός· νῦν μὲν ὡς ἥρωα, τῇ δὲ ἐπιούσῃ ὡς θεόν» Π. Σ. — ναυτιλίας ἐσχάτας μάρτυρας] «αἱ κίονες νὰ ὦσι μάρτυρες, νὰ σημαίνωσιν, ὅτι αὗταί εἰσι τὸ ὅριον τοῦ ἐσχάτου πλοῦ καὶ τῆς ἐσχάτης κατὰ γῆν πορείας». Μετὰ τὴν λέξιν ν α υ τ ι λ ί α ς παραλείπεται βραχυλογικῶς καὶ ἐννοεῖται ἐκ τῶν (στ. 44-45) λέξεων γ ᾶ ν φ ρ ά δ α σ σ ε ν ἡ λέξις π ο ρ ε ί α ς. — κλυτὰς] κρεῖσσον κατ' αἰτιατικὴν, ἵνα ἁρμόζῃ τῷ μ ά ρ τ υ ρ α ς, ἢ κατὰ γενικὴν, ἵνα ἁρμόζῃ τῷ ν α υ τ ι λ ί α ς ἐ σ χ ά τ α ς.

— Στ. 41-45. δάμασε δὲ . . . φράδασσε] Ταῦτα οὐκ ἔστι παρέκβασις, ἀλλ' ἐπέκτασις τοῦ δευτέρου μέρους τῆς παρομοιώσεως. Ἵνα δὲ δικαιολογήσῃ τὸ μέγεθος τῆς ἐπεκτάσεως ταύτης, ὑποκρίνεται τὸν δῆθεν ἐνθουσιῶντα καὶ τεθαμβημένον ἐπελθουσῶν τῇ μνήμῃ αὐτοῦ πασῶν συνάμα τῶν θαυμαστῶν πράξεων τοῦ Ἡρακλέους· διὸ δὴ καὶ τὰς ἐννοίας κατὰ τὸ ἐν τοιαύτῃ περιπτώσει σύνηθες αὐτοῦ ἀτάκτως, ὡς χρησμῳδὸς, ῥίπτει, παραλείπων, ὡς εἴπομεν ἀνωτέρω, τὴν λέξιν π ο ρ ε ί α ς καὶ συνδέων τὰ ἑπόμενα διὰ τοῦ δ ὲ (δ ά μ α σ ε δ ὲ), δέον νὰ συνδέσῃ διὰ τοῦ χρονικοῦ ἐ π ε ί. — δάμασε δὲ θῆρας ὑπερόχως] «ἀφ' οὗ ἐδάμασε θηρία ὑπέροχα». Τὸ δ ὲ ἀντὶ τοῦ «ἐπεί». Ὑ π ε ρ ό χ ω ς αἰτιατικὴ Δωρικὴ, ἀντὶ ὑπερόχους. Παράβ. πρὸς Νεμ. Α.' 96· κα Ἰσθμ. Δ.' (Γ.') 98. Ἐννοεῖ δὲ διὰ τῶν λέξεων τούτων τὸν Γηρυόνην καὶ τὸν κύνα αὐτοῦ κ. τ. λ. — ἐν πελάγει] συνεκδοχικῶς ἀντὶ τοῦ «ἐν ταῖς νήσοις», ὡς π. χ. ἐν Ἐρυθείᾳ. — ἰδίᾳ] «ἀντὶ τοῦ ἀ φ' ἑ α υ τ ο ῦ,

σε τεναγέων ῥοάς· ὅπα πόμπιμον,
Κατέβαινε· νόστου τέλος
Καὶ γᾶν φράδασσε. Θυμέ,
Τίνα πρὸς ἀλλοδαπὰν
Ἄκραν ἐμὸν πλόον παραμείβῃ;
Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν
Φέρειν· ἕπεται δὲ λόγῳ δί-

οὐκ ἐπιτάξαντος Εὐρυσθέως, ἀλλὰ κατὰ τὸ φιλόπονον αὐτὸς δι' ἑαυτοῦ ἠρεύνησεν. Καλλίμαχος

Χαῖρε βαρυσκίπων, ἐπίτακτα μὲν ἑξάκι δοιά,
Ἐκ δ' αὐταγρεσίης πολλάκι πολλὰ καμών» Π. Σ.

— τεναγέων ῥοὰς ἐρεύνασε] Παράβ. πρὸς τὸ (Ἴσθμ. Δ.' (Γ.') 96. 97) πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ· «Τέναγος, γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα ἢ πηλῶδες ὕδωρ. Τενάγη, πηλώδη πελάγη. Τέναγος, ἢ ἀπὸ τοῦ τείνεσθαι παρατεταμένη τις γῆ, ἢ ἀπὸ τοῦ τέγγεσθαι, τουτέστι βρέχεσθαι, γῆ βεβρεγμένη καὶ δίυγρος» Π. Σ. Ῥοὰς δὲ συνεκδοχικῶς ἀντὶ τοῦ ὕδατα. Ὅθεν ὁ νοῦς «πλέων πρὸς Ὠκεανὸν ἠρεύνησε τὰ ὕδατα τῶν τεναγῶν, τὰ ῥηχὰ τῆς θαλάσσης. — ὅπα . . . κατέβαινε] ὅπου ἡ θάλασσα ἦν πλεύσιμος, οὐκ ἦν τέναγος, κατέπλεεν. Ἄριστα ὁ ἡμέτερος Δούκας παραφράζει «ἐπλωΐζετο, ἔνθα ἦν διάπλευστον πλωϊζομένοις». Τὸ ὅπα πόμπιμον (ἦν) ἐστὶν ἀντίθετον τῷ ῥοαὶ τεναγέων. Ὅθεν καὶ τὸ κατέβαινεν ἴσον τῷ «ἠρεύνα, ἠρεύνησεν». — νόστου τέλος φράδασσε· «ἐποίησε γνωστὸν τὸ τέλος, ἀφ' οὗ ὁ πλέων ἔδει νὰ ἀπονοστήσῃ». — καὶ γᾶν φράδασσε] «καὶ τὴν γῆν ἐποίησε γνωστὴν» ἤτοι ἔδειξε, ποῦ ἐστι τὸ τέλος αὐτῆς, μέχρι τίνος ἐστὶ πορευτή.

— Στ. 46-47. Θυμὲ, τίνα . . . παραμείβῃ;] ἐνταῦθα προσποιεῖται, ὅτι συνέρχεται ἑαυτῷ ἐκ τοῦ ἐνθουσιασμοῦ καὶ κατανοεῖ, ὅτι πολὺ ἐξετάθη διηγούμενος ἐν τῇ παρομοιώσει τὰ τοῦ Ἡρακλέους. Ἀνακαλεῖ δὲ ἑαυτὸν ἐκ τῆς διηγήσεως τῶν πράξεων τοῦ Ἡρακλέους δι' ἑτέρας παραβολῆς. Παραβάλλει λοιπὸν τὴν διήγησιν τῶν ἐπαίνων τοῦ νικηφόρου πρὸς πλοῦν· καὶ τὰ μὲν πρόσωπα ἢ πράγματα, ἃ παρέχουσιν ἀφορμὴν ἐπαίνων, παραβάλλει πρὸς ἄκρας, ἀκρωτήρια· καὶ ἂν μὲν τὰ πρόσωπα ταῦτα ἢ πράγματα προσήκωσι τῇ πατρίδι ἢ τῷ γένει τοῦ νικηφόρου, παραβάλλει πρὸς ἀκρωτήρια ἡμεδαπὰ, ἃ παραπλέων ὁ ὕμνος ἀφικνεῖται εἰς τὸν πρὸς ὃν κατευθύνεται οἰκεῖον λιμένα· ἐὰν δὲ ταῦτα μηδεμίαν ἔχωσι σχέσιν οὔτε πρὸς τὴν πατρίδα, οὔτε πρὸς τοὺς προγόνους τοῦ νικηφόρου, οὔτε πρὸς αὐτὸν τὸν νικηφόρον, παραβάλλει πρὸς ἀκρωτήρια ἀλλοδαπὰ, ἃ παραπλέων ὁ ὕμνος οὐδέποτε ἀφίξεται πρὸς τὸν οἰκεῖον λιμένα. — ἀλλοδαπὰν ἄκραν] καλεῖ τὸν Ἡρακλέα, ὅς οὐκ ἦν Αἰγινήτης, ἀλλὰ Θηβαῖος· διὸ αἱ πράξεις αὐτοῦ οὐδένα ἔπαινον προσεποίουν ἴδιον τῇ Αἰγίνῃ, ὃν οὐ καὶ πάσῃ ἄλλῃ Ἑλληνικῇ πόλει. Ἃ δέ φησιν ὁ Dissenius περὶ τῆς σχέσεως τοῦ Ἡρακλέους πρὸς τοὺς Αἰγινήτας οὐδαμῶς ἐνταῦθα ἁρμόζουσιν. — ἐμὸν πλόον] τὸν πλοῦν τοῦ ἐμοῦ ὕμνου. — παραμείβῃ] ὁ νοῦς τοῦ ὅλου «θυμὲ, διὰ τί ἐᾷς τὸν ἐμὸν ὕμνον, τὴν ἐμὴν Μοῦσαν, νὰ παραπλέῃ ξένον ἀκρωτήριον, νὰ ἐπαινῇ ἥρωας οὐκ Αἰγινήτας, οὐδὲ ἄλλως προσήκοντας τῷ Ἀριστοκλείδῃ;

— Στ. 48. Αἰακῷ . . . φέρειν] «κελεύω νὰ ἐνέγκῃς τὴν Μοῦσαν καὶ τὸν ὕμνον εἰς Αἰακὸν καὶ εἰς τὸ γένος αὐτοῦ· διότι καὶ ὁ Αἰακὸς καὶ ὁ ὑμνούμενος Ἀριστοκλείδης Αἰγινῆταί εἰσιν». — Μοῖσαν] καλῶς· διότι ἡ Μοῦσα διηγεῖται ἀπὸ στόματος τοῦ ποιητοῦ (ὅρ. στ. 15).

— Στ. 49-55. ἕπεται δὲ . . . γαρυέμεν] «ἔνεστι δὲ τῷ λόγῳ τούτῳ, ὅν φημι, νὰ ὑμνήσῃς δηλονότι τὸν

κας ἄωτος, ἐσλὸς αἰνεῖν·
'Α. β'. Κ. ιγ'.
Οὐδ' ἀλλοτρίων ἔρωτες
Ἀνδρὶ φέρειν κρέσσονες.
Οἴκοθεν μάτευε.
Ποτίφορον δὲ κόσμον ἔλαβες
Γλυκύ τι γαρυέμεν· παλαιαῖ-

Αἰακὸν καὶ τοὺς ἐκ τοῦ γένους αὐτοῦ, τὸ ἄκρον ἄωτον τῆς δικαιοσύνης, ὅπερ ἐστὶ τὸ ἐπαινεῖν τοὺς ἀγαθούς· εἶτα δὲ οὐδὲ προσήκει ἀνδρί, τέκνῳ τῆς Μούσης, νὰ ἔχῃ ἔρωτας ἀλλοτρίων τοῦ νικηφόρου ἐπαίνων. Ὅθεν οἰκεῖα τῷ Ἀριστοκλείδῃ ἐπιζήτει, ὦ θυμέ, καὶ οὐχὶ ἀλλότρια· πρόσφορον δὲ καὶ ἁρμόζοντα αὐτῷ κόσμον ἔλαβες παρ' ἐμοῦ τὸ αἰνεῖν τὸν Αἰακὸν καὶ τοὺς Αἰακίδας, ἵνα γαρύῃς καὶ ᾄδῃς λίαν τερπνῶς». Ταῦτα δὲ πάντα ἀποτείνει πρὸς τὸν θυμόν. — ἕπεται . . . αἰνεῖν] Ἡ τοῦ Heynii ἐξήγησις «τῷ ἀρχαίῳ ἐκείνῳ λόγῳ (τοῦ ἁ λ ί ο ι ο γ έ ρ ο ν τ ο ς Πυθ. Θ.' 167) πάρεστι τὸ ἄωτον τῆς δικαιοσύνης, ὅπερ ἐστὶ τοὺς ἐσθλοὺς ἐπαινεῖν»· ἡ ἐξήγησις, λέγω, αὕτη οὐ φαίνεται ἔχουσα θέσιν ἐνταῦθα. — ἐσλὸς] αἰτιατικὴ Δωρική. — ἀλλοτρίων] «ἐπαίνων, οἳ κατ' οὐδένα τρόπον, ἀναφέρονται τῷ νικηφόρῳ, οἷοί εἰσι τοῦ Ἡρακλέους». — ἔρωτες οὐ κρέσσονές εἰσιν ἀνδρὶ φέρειν] ἴσον «οὐ κρεῖσσόν ἐστιν ἀνδρὶ φέρειν ἔρωτας ἀλλοτρίων ἢ ἔρωτας οἰκείων». — ἀνδρὶ] ποιητῇ. — φέρειν] «νὰ φέρῃ ὁ ἀνὴρ οὗτος, ὁ ποιητής, ἔρωτας, νὰ ἐρᾷ, νὰ ἐπιθυμῇ νὰ διηγῆται ξένα τῆς ὑποθέσεως, ἐπαίνους, ὧν οὐδαμῶς μετέχει ὁ νικηφόρος. — οἴκοθεν μάτευε] «ἐκ τῶν οἰκείων τῷ ὑμνουμένῳ νικηφόρῳ, ἐκ τῶν ἐπαίνων, ὧν μετέχει ὁ νικηφόρος, ζήτει τοὺς προσφορωτέρους». Ἐκ τοῦ ἑπομένου π ρ ό σ φ ο ρ ο ν κ ό σ μ ο ν ἐννόει ἀντικείμενον τοῦ μ ά τ ε υ ε «τὰ προσφο-

ρώτερα.» — ποτίφορον κόσμον] δευτέρα αἰτιατικὴ τοῦ ἔλαβες· διότι πρώτη ἐστὶν, ὡς ἐξηγησάμεθα ἀνωτέρω (στ. 48) τὸ αἰνεῖν τοὺς Αἰακίδας, ὅς ἐστι κόσμος τῷ νικηφόρῳ πρόσφορος. — ἔλαβες] παρ' ἐμοῦ. — γαρυέμεν] ὥστε γαρύειν.

— Στ. 56-57. παλαιαῖσι δ' ἐν . . . ταμών] Ἐπειδὴ διέταξεν ἀνωτέρω τὸν θυμὸν νὰ αἰνῇ τὸν Αἰακὸν καὶ τὸ γένος αὐτοῦ· διὰ τοῦτο ὤφειλεν ἐνταῦθα νὰ ἄρξηται ἀπὸ τοῦ Αἰακοῦ· παρέλιπεν ὅμως τὸν Αἰακὸν οὐκ ἐγκρίνας νὰ ἐπαναλάβῃ ἐν ἐπινίκῳ Αἰγινήτου, ἃ εἶπεν ἐν ἑτέρου Αἰγινήτου ἐπινίκῳ (Ὀλ. Η.' 40 κ. ἑξῆς). Διὸ ἀναπλήρου· «εἰ δὲ μὴ βούλει αἰνεῖν τὸν Αἰακὸν παλαιαῖσιν ἐν ἀρεταῖς κ. λ.» Ὁ νοῦς· «εἰ δὲ μὴ βούλει νὰ ἐπαινῇς τὸν Αἰακὸν, ἀλλὰ τοὺς Αἰακίδας, ὁ Πηλεὺς μεταξὺ τῶν ἀρετῶν, ἃς εἶχε τὸ πάλαι, ἐτέρπετο καὶ ἐπὶ τῇ ἀρετῇ τοῦ ταμεῖν καὶ φέρειν αἰχμὴν ἐξαίρετον. Ἐπαίνει λοιπὸν τοῦτον, ὦ θυμὲ, ὦ Μοῦσα». Οἷον μέγεθος δυνάμεως καὶ ἀνδρείας τοῦ Πηλέως περιγράφει ὁ Πίνδαρος ταῖς ὀλίγαις ταύταις λέξεσι, κατανοήσεις, ἢν ἀναγνῷς τοὺς Ὁμηρικοὺς (Ἰλ. τ. 387-391) πέντε στίχους, οὓς ἐν μόναις ταῖς λέξεσι «γ έ γ α θ ε ν ὑ π έ ρ α λ λ ο ν α ἰ χ μ ὰ ν τ α μ ὼ ν» παρῴδησεν ὁ ἀθάνατος Πίνδαρος. — παλαιαῖσιν] ἀρεταῖς, «ἃς εἶχε τὸ πάλαι πρὶν ἀφικέσθαι αὐτῷ τὸ στυγερὸν γῆρας». — γέγαθε ταμὼν] «ἀγάλλεται καὶ ἐπὶ τῷ ταμεῖν, καὶ ἐπὶ τῇ ἀρετῇ τοῦ ταμεῖν καὶ φέρειν καὶ πάλλειν»· διότι ἐν τῇ λέξει τ α μ ὼ ν καὶ αἱ τρεῖς αὗται σημασίαι συνεκδοχικῶς περιέχονται· καίτοι ὁ Ὅμηρος ἐν τοῖς μνημονευθεῖσι στίχοις λέγει, ὅτι ὁ Χείρων ἔδωκεν αὐτῷ ἐκ τῆς κορυφῆς τοῦ Πηλίου·

Ἐ κ δ' ἄ ρ α σ ύ ρ ι γ γ ο ς π α τ ρ ώ ϊ ο ν ἐ σ π ά-
σ α τ' (Ἀχιλλεὺς) ἔ γ χ ο ς . . . ,
Π η λ ι ά δ α μ ε λ ί η ν , τ ὴ ν π α τ ρ ὶ φ ί λ ῳ π ό ρ ε
Χ ε ί ρ ω ν

σι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ,
Ὑπέραλλον αἰχμὰν ταμών.
Ὃς καὶ Ἰωλκὸν εἷλεν
Μόνος ἄνευ στρατιᾶς·
Καὶ ποντίαν Θέτιν κατέμαρψεν
Ἐγκονητί. Λαομέδοντα δ' εὐρυ-
σθενὴς Τελαμών, Ἰόλᾳ πα-

Πηλίου ἐκ κορυφῆς.

— ὑπέραλλον] «ἐξαίρετον, ἐξέχουσαν καὶ ὑπερβάλλουσαν» Π. Σ. Διὰ τῆς λέξεως ταύτης ὁ Πίνδαρος συμπεριέλαβε τὰς τοῦ Ὁμήρου λέξεις ἔγχος βριθύ, στιβαρόν· τὸ οὐ δύνατ' ἄλλος Ἀχαιῶν πάλλειν, μελίην, τὴν Χείρων πόρε Πηλεῖ φόνον ἔμμεναι ἡρώεσσιν.

— Στ. 58-59. ὃς καὶ Ἰωλκὸν . . . στρατιᾶς] ὅτι ὁ Πηλεὺς μόνος ἄνευ στρατιᾶς ἐκυρίευσε τὴν Ἰωλκὸν, τοῦτο οὐκ ἔστι ὑπερβολὴ κατὰ Πίνδαρον, ἑπόμενον τῷ Ὁμήρῳ, ὅστις φαίνεται, ὅτι ἐθεώρει τὸν Πηλέα τοσοῦτον ῥωμαλέον καὶ ἀνδρεῖον, ὥστε νὰ δύναται νὰ κατορθώσῃ τὸ τοιοῦτον. Ὁ δὲ παρὰ τοῖς Π. Σ. Φερεκύδης ἱστορεῖ, ὅτι «οὐ μόνος εἷλε τὴν Ἰωλκὸν, ἀλλὰ μετὰ Ἰάσονος καὶ τῶν Τυνδαριδῶν». Διὰ τί δὲ εἷλεν ὁ Πηλεὺς τὴν Ἰωλκὸν κ. λ., ὅρα Νεμ. Δ.' 88 κ. ἑξῆς καὶ τὰς αὐτόθι σημειώσεις.

— Στ. 60-61. καὶ ποντίαν . . . ἐγκονητὶ] καὶ τὴν Θέτιδα τὴν ποντίαν, τὴν θυγατέρα τοῦ Νηρέως μετὰ πολλοῦ πόνου κατέλαβε καὶ εἰς γάμον ὑπηγάγετο· «διωκομένη γὰρ ὑπ' αὐτοῦ μετέβαλλε τὰς μορφὰς, ὁτὲ μὲν εἰς

στ. 59. ἄνευ στρατιᾶς. Τὴν γραφὴν ταύτην θεωρήσαντές τινες ὡς ὑπερβολὴν λίαν ἐξωγκωμένην ἐκφράζουσαν ἐτράπησαν εἰς διορθώσεις τοιαύτας «μόνος ἀγεστρατιᾷ»· «μόνος ἀνὰ στρατιάν» «μόνος ἄγων στρατιάν«.

πῦρ, ὁτὲ δὲ εἰς θηρία· ὁ δὲ καρτερήσας περιγέγονεν. Περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Τρωΐλῳ·

Ἔγημεν, ὡς ἔγημεν, ἀφθόγγους γάμους,
Τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε·

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς·

Τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων
Δράκων, πῦρ, ὕδωρ·

ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπέκλεπτε τοὺς πρὸς τὸν Πηλέα γάμους, δημώδης ὁ λόγος· ὥσπερ καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβεν». Π. Σ. Ὅρα Νεμ. Δ.' 101. κ. ἑξῆς.

— Στ. 61-63. Λαομέδοντα . . . ἔπερσεν] «Τὴν δὲ Τροίαν, ἧς βασιλεὺς ἦν Λαομέδων, συμπαραστάτης ὢν μετὰ τοῦ Ἰολάου τῷ Ἡρακλεῖ στρατεύσαντι ἐπὶ Λαομέδοντα ἐπόρθησεν». — Λαομέδοντα] Ἔφη Λαομέδοντα ἔπερσεν καὶ οὐχὶ Τροίαν· διότι Λαομέδων ὁ βασιλεὺς ἐγένετο αἴτιος τῆς ἐπὶ Τροίαν στρατείας τοῦ Ἡρακλέους καὶ τῆς πορθήσεως αὐτῆς, οὐκ ἀποδοὺς τοὺς ἀρίστους ἵππους, οὓς εἰληφὼς παρὰ τοῦ Διὸς (Ὁμ. Ἰλ. ε. 265.) ὑπέσχετο τῷ Ἡρακλεῖ, ἣν φονεύσῃ τὸ θαλάσσιον τέρας, ὃ ὑπὸ τοῦ Ποσειδῶνος πεμφθὲν ἐλυμαίνετο τὴν χώραν· ἦν δὲ χρησμὸς, ὅτι τότε ἀπαλλαγήσεται ἡ χώρα τοῦ Λαομέδοντος τοῦ τέρατος τούτου, ὅταν δοθῇ πρὸς βορὰν τῷ τέρατι ἡ Ἡσιόνη ἡ θυγάτηρ αὐτοῦ. Τούτου οὖν ἕνεκα ὑπέσχετο τῷ Ἡρακλεῖ τοὺς ἵππους· φονεύσαντι δὲ Ἡρακλεῖ τὸ τέρας οὐδ' ἀπέδωχ' ἵππους, ἀλλὰ μὶν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ (Ὁμ. Ἰλ. ε. 650). Τότε λοιπὸν ὁ Ἡρακλῆς στρατεύσας ἐπὶ Τροίαν σὺν ἓξ οἴῃς νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν

ραστάτας ἐὼν, ἔπερσεν·
'Ε. β'. Κ· ιά.
Καί ποτε χαλκοτόξων
'Αμαζόνων μετ' ἀλκὰν
Ἕπετό οἱ· οὐδέ μίν
Ποτε φόβος ἀνδροδάμας
Ἔπαυσεν ἀλκὰν φρενῶν.
Συγγενεῖ δέ τις
Εὐδοξίᾳ μέγα βρίθει.
Ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνὴρ,
Ἄλλοτ' ἄλλα πνέων, οὔποτ' ἀτρεκέϊ

'Ιλίου ἐξαλάπαξε πόλιν χήρωσε δ' ἀγυιάς. (Αὔτοθι 641. 642). Παράβαλ. καὶ πρὸς Ἰσθμ. ΣΤ.' 39. κ. ἑξῆς. — Ἰόλᾳ παραστάτας] «Ἰόλαος υἱὸς Ἰφικλέους, Ἡρακλέους ἦν ἡνίοχος· ἐκ συσσήμου οὖν λέγει Ἰόλᾳ, τουτέστι τῷ Ἡρακλεῖ· φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παραστάτης ὢν τοῦ Ἡρακλέους ἅμα τῷ Ἰολάῳ ἐπόρθησε τὸν Λαομέδοντα» Π. Σ.

— Στ. 64-67. Καί ποτε . . . ἕπετό οἱ] «χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολεμικὰς Ἀμαζόνας ἀπιόντι Ἡρακλεῖ συνηκολούθησεν, ὅτε πρὸς Ἱππολύτην διὰ τὸν ζωστῆρα ἦλθεν. Περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι Τελαμῶνα·

Τελαμὼν ἀκόρητος αὐτῆς
Ἡμετέροις ἑτάροισι φόως πρώτιστος ἔθηκεν
Κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην

στ. 68. ἀκμὰν ἐκ διορθώσεως, ἵνα μὴ ἐπαναλαμβάνηται ἡ αὐτὴ λέξις ἐντὸς τεσσάρων στίχων. **Heynius** δὲ προτείνει τὴν διόρθωσιν αἰχμάν.

Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης. Ἔνιοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτοῖς συνεστράτευσεν, Ἑλλάνικος δὲ πάντας τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας Ἡρακλεῖ συστρατεῦσαί φησιν» Π. Σ.

— Στ. 67-70. οὐδέ μιν . . . βρίθει] «οὐδέποτε δὲ αὐτοῦ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φόβος τις ἔπαυσεν· διότι πᾶς, ὅστις ἔχει ἔμφυτον τὴν ἀρετήν, ἐξ ἧς παραγίνεται ἡ εὐδοξία, ὡς εἶχεν αὐτὴν ὁ Τελαμὼν καὶ Πηλεύς, κράτιστος πάντων ἐστίν». — μιν] ἀντὶ γενικῆς ἐξηρτημένης ἐκ τῆς λέξεως φρενῶν. — ἀνδροδάμας] «ὁ τοὺς ἄνδρας δαμάζων φόβος». Π. Σ. — συγγενεῖ δὲ] Ὁ δέ ἐστιν ἀντὶ τοῦ γάρ. Τὸ δὲ συγγενεῖ σημαίνει «γεγεννημένῃ σὺν αὐτῷ τῷ ἔχοντι, ἐμφύτῳ τῷ ἔχοντι»· παράβαλ. πρὸς τὸ (Ὀλ. Θ.' 153.) τὸ δὲ φυᾷ, κράτιστον πάντων. — εὐδοξίᾳ] «ἀνδρείᾳ καὶ ἀρετῇ, ἐφ' ᾗ ἔνδοξός τις γίνεται». — τις μέγα βρίθει] «πᾶς τις κράτιστός ἐστιν».

— Στ. 71-74. ὃς δὲ διδάκτ' . . . γεύεται] ἀντίθετον τῷ ἡγουμένῳ Συγγενεῖ . . . βρίθει. Ὁ νοῦς «ὅστις δὲ ἔχει ἀρετὰς οὐχὶ συγγενεῖς καὶ ἐκ φύσεως, ἀλλ' ἐκ διδασκαλίας μόνον, καὶ ταύταις ζητεῖ νὰ γένηται ἔνδοξος, οὗτος ἄδοξος ἀνὴρ διατελεῖ· διότι ἄλλοτε ἄλλα ἐλπίζων, ὅτι θὰ παράσχωσιν αὐτῷ δόξαν, καὶ ταῦτα διδασκόμενος, οὐδέποτε σταθερὸς ἐμμένει ἑνὶ ἔργῳ, πρὸς ὃ εὐφυῶς ἔχει· ἀλλὰ μυρίων ἀρετῶν ἀτελῆ λαμβάνει πεῖραν». — ὃς δὲ δίδακτ' ἔχει] ἴσον τῷ (Ὀλ. Θ.' 153-55.) ὅστις δὲ διδακταῖς ἀρεταῖς κλέος ὤρουσεν ἑλέσθαι. — ψεφηνὸς ἀνὴρ] «οὗτός ἐστι σκοτεινὸς καὶ ἄδοξος καὶ σεσιωπημένος ὑπὸ τῶν ποιητῶν καὶ τῆς ἱστορίας»· διότι ἡ ἀρετὴ αὐτοῦ καίπερ ἀγαθὴ οὖσα, ἐπειδὴ ὅμως οὐκ ἐστι συγγενής, ἔμφυτος, σεσίγηται τοῖς ποιηταῖς· (ὅρα Σημ. εἰς Ὀλ. Θ.' 156-157). — ἄλλοτε . . . πνέων] σχῆμα ἀσύνδετον, ἐννοουμένου τοῦ γάρ· «διότι οὗτος ἄλλοτε ἄλλα ποθῶν,

Κατέβα ποδὶ, μυριᾶν
Δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.

Σ. γ'. Κ. ιγ'.

Ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν, μέ-
νων Φιλύρας ἐν δόμοις
Παῖς ἐὼν ἄθυρεν

ἄλλοτε δι' ἄλλων ἐπιθυμῶν νὰ κτήσηται δόξαν». — ἀτρεκέϊ ποδὶ κατέβα] «ὀρθῷ ποδὶ ἐβάδισεν». Παραβάλλει τὸν πόδα πρὸς τὴν ἀρετὴν, πρὸς ἣν ἔχει εὐφυῶς· διότι ἕκαστος ἔχει εὐφυῶς πρός τι· ὅπερ βούλεται ὁ ποιητὴς νὰ εἴπῃ ἐν τοῖς στίχοις Ὀλ. Θ.' 159-161 διὸ καὶ καλεῖ τὸν πόδα ἀ τ ρ ε κ ῆ. Ὅθεν ὁ νοῦς «οὐδέποτε ἐμελέτησε καὶ ἐξήσκησεν ἑαυτὸν εἰς τὴν ἀτρεκῆ, ἀληθῆ ἀρετὴν, πρὸς ἣν εὐφυῶς ἔχει». Τὸ δὲ κ α τ έ β α ἀντὶ τοῦ ἐ β ά δ ι σ ε ν. — μυριᾶν δ' ἀρετᾶν] «ἀλλὰ μυρίων ἀρετῶν καὶ οὐχὶ ἐκείνης, πρὸς ἣν πέφυκεν». — ἀτελεῖ νόῳ γεύεται ἀρετᾶν] «διδάσκεται ἀρετὰς, πρὸς ἃς ὁ νοῦς αὐτοῦ ἐστιν ἀτελὴς, οὐκ ἔχει εὐφυῶς».

— Στ. 75-111. Ἐν τούτοις τοῖς στίχοις ἐπαινεῖ τὴν δύναμιν καὶ ἀνδρείαν καὶ ταχύτητα τοῦ Ἀχιλλέως, ἃ ἐπέδειξεν ἐν δυσὶν ἡλικίαις, πρῶτον ἐν ᾗ ἀνετρέφετο ὑπὸ τὸν Χείρωνα, δεύτερον, ἐν ᾗ πεμφθεὶς εἰς Τροίαν διεπράξατο ἐκεῖ τὰ ὑπὸ Ὁμήρου ὑμνηθέντα. Τὰς κατὰ τὴν πρώτην ἡλικίαν ἐπιδειχθείσας ἀρετὰς αὐτοῦ ὑμνεῖ ὁ Πίνδαρος ἀπὸ στ. 75-90. τὰς δὲ κατὰ τὴν δευτέραν ἡλικίαν ἐν Τροίᾳ, ἀπὸ στ. 101 111. Καὶ τὰς μὲν κατὰ τὴν πρώτην ἡλικίαν ἀρετὰς αὐτοῦ ἄρχεται νὰ διηγῆται διὰ τῶν μορίων τ ὰ μ έ ν· τὰς δὲ κατὰ τὴν Τροίαν ἐπιδειχθείσας ἀρετὰς ὀφείλων νὰ ἄρξηται διὰ τῶν μορίων τ ὰ δ ὲ οὕτω πως, Τ ὰ δ ὲ (στ. 101.) θ α λ α σ σ ί α ι ς ἀ ν έ μ ω ν ῥ ι π α ῖ σ ι π ε μ φ θ ε ὶ ς . . . ἀ λ α λ ὰ ν Λ υ κ ί ω ν τ ε π ρ ο σ μ έ ν ο ι , κ α ὶ . . . ἐ π ά ξ α τ ο

κ. λ. ἀντὶ τοῦ ποιῆσαι οὕτω, προσέθηκεν ἐν τῷ μέσῳ (στ. 91-100) τινά, ὑφ᾽ ὧν ἐφελκυσθείσης δῆθεν τῆς προσοχῆς αὐτοῦ συνῆψε τὰς ἐν Τροίᾳ πράξεις τοῦ Ἀχιλλέως διὰ τοῦ μορίου ὄ φ ρ α (στ. 101) καὶ τῶν εὐκτικῶν π ρ ο σ μ έ ν ο ι . . . π ά ξ α ι τ ο (στ. 105-108) τούτοις τοῖς παρεντεθεῖσιν, ἀφεὶς ἀνανταπόδοτα τὰ ἐν ἀρχῇ μόρια τ ὰ μ έ ν. Ὅσοι δὲ τῶν ἑρμηνευτῶν λέγουσιν, ὅτι ἡ ἀνταπόδοσις τοῦ τ ὰ μ έ ν ἐστιν ὅ λ ο ν δ ὲ (στ. 85) οὐκ ὀρθῶς λέγουσιν.

— Στ. 75-90. Ξανθὸς δ᾽ . . . κράτεσκεν] «Ὁ δὲ ξανθὸς Ἀχιλλεὺς ἐν τοῖς οἴκοις τοῦ Χείρωνος ἀνατρεφόμενος, τὸ μὲν πρῶτον παῖς ἔτι ἑξέτης ὢν ἀθύρματα εἶχε μεγάλα ἔργα· διότι συχνῶς πάλλων ταῖς χερσὶν ἴσα τῇ ταχύτητι τοῦ ἀνέμου ἀκόντιον βραχυσίδηρον ἐφόνευε μαχόμενος λέοντας καὶ κάπρους ἀγρίους· τὰ δὲ σώματα αὐτῶν ἐκόμιζε τῷ Κρονίδῃ Κενταύρῳ ἀσθμαίνοντα ἔτι. Καὶ ταῦτα μὲν ἦσαν τὸ πρῶτον τὰ ἀθύρματα αὐτοῦ ἑξαέτου ὄντος· ἔπειτα δὲ ἡ ταχύτης τῶν ποδῶν αὐτοῦ τοσαύτη ἦν καθ᾽ ὅλον τὸν χρόνον, ὃν ἐτρέφετο παρὰ Χείρωνι, ὥστε ἐθαύμαζον αὐτὸν ἡ Ἄρτεμις καὶ Ἀθηνᾶ, ὅτε ἄνευ κυνῶν καὶ ἑρκέων δρόμῳ κατελάμβανε καὶ ἐφόνευε τὰς ἐλάφους· διότι ἦν ταχύτερος ἐκείνων τοῖς ποσίν». — Ξανθὸς Ἀχιλεὺς] ξ α ν θ ῆ ς δ ὲ κ ό μ η ς ἕ λ ε Π η λ ε ί ω ν α (Ὁμ. Ἰλ. Α. 197). «Ἀχιλλεὺς . . . ξ α ν θ ὴ ν ἀ π ε κ ε ί ρ α τ ο χ α ί τ η ν» (αὐτόθι ψ. 141). — τὰ μὲν] ἔστι κατὰ τὸ φαινόμενον ἀνανταπόδοτον· διότι ἀντὶ νὰ ἄρχηται τὸ δεύτερον μέρος, ὡς εἶπον ἀνωτέρω, διὰ τοῦ τ ὰ δ έ, πλαγίου τοῦ λόγου γενομένου ἐτέθη τὸ ὄ φ ρ α (στ. 101). Ὅσοι δὲ νομίζουσιν, ὅτι ἡ σύνδεσίς ἐστιν τ ὰ μ ὲ ν μ έ ν ω ν . . . ἄ θ υ ρ ε ν . . . ἔ π ρ α σ σ ε ν . . . κ ό μ ι ζ ε ν . . . — ὅ λ ο ν δ᾽ ἔ π ε ι τ᾽ ἄ ν . . . ἐ θ ά μ β ε ε ν Ἄ ρ τ ε μ ι ς · οὗτοι δίκαιον ἄν τι εἶχον, εἰ τὸ τ ὰ μ ὲ ν ἔκειτο μετὰ τὰ π α ῖ ς ἐ ώ ν. Ἀλλὰ καὶ

Μεγάλα ἔργα, χερσὶ θαμινὰ
Βραχυσίδαρον ἄκοντα πάλλων
Ἶσα ἀνέμοις, μάχᾳ λεόντεσσιν ἀ-
γροτέροις ἔπρασσεν φόνον·
Κάπρους τ' ἔναιρε· σώμα-
τα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
Ἑξέτης τὸ πρῶτον· ὅλον δ' ἔπειτ' ἀν'
Χρόνον τὸν ἐθάμβεεν Ἄρτε-
μίς τε καὶ θρασεῖ' Ἀθάνα,

ὑποτεθέντος, ὅτι τὸ τὰ μὲν οὐ κεῖται ἐν τῇ αὐτοῦ θέσει, ἀλλ' ἡ θέσις αὐτοῦ ἐστι μετὰ τὰ παῖς ἐών· ἀλλὰ καὶ πάλιν οὐ καλῶς ἔχει· διότι οὕτω αἱ λέξεις τὸ πρῶτον (στ. 85) πλεονάζουσιν. — παῖς ἐών] Σύναπτε παῖς ἐὼν ἑξέτης τὸ πρῶτον· διότι τῶν τριῶν τελευταίων λέξεων τῶν κειμένων ἐν στ. 85. ἐνταῦθά ἐστιν ἡ θέσις. — μεγάλα ἔργα] Ποῖα ἦσαν τὰ μεγάλα ἔργα, ἃ ἐν τῇ ἑξαετεῖ ἡλικίᾳ ἄθυρεν, ἤτοι εἰργάζετο ὡς ἀθύρματα; ἦσαν τάδε χερσὶ θαμινὰ . . . κόμιζεν. — βραχυσίδαρον] «καθὸ βραχυσίδαρός ἐστιν ἡ ἀκὴ πρὸς τὸ ξύλον τοῦ δόρατος συγκρινομένη» Π. Σ. — πάλλων ἶσα ἀνέμοις] ἴσον «πάλλων ταχύτητι ἴσῃ τῇ τῶν ἀνέμων»· ἤτοι πάλλων τὸ δόρυ ἴσῃ ταχύτητι, ἣ οἱ ἄνεμοι πάλλουσι καὶ σείουσι τὰ φυτὰ καὶ τοὺς κλῶνας τῶν δένδρων». Ἐνταῦθα οὐ βούλεται διὰ τῶν λέξεων ἶσα ἀνέμοις νὰ σημάνῃ τὴν ταχύτητα, ᾗ τρέχων κατελάμβανε διώκων τοὺς λέοντας· διότι περὶ τῆς ταχύτητος τῶν ποδῶν λέγει ἀπὸ τοῦ στ. 85.

στ. 80. ἴσον τ' ἡ κοινὴ γραφή· ἡ δὲ γραφὴ ἶσα, ἣν παρεδεξάμεθα διόρθωσις ἐκ χειρογράφου.

στ. 82-84. σώματι . . . ἀσθμαίνοντι ἐκ διορθώσεως.

κ. ἑξῆς· ἀλλὰ σημαίνει τὴν ταχύτητα, ἢ πάλλων τὸ δόρυ ἐφόνευε τοὺς λέοντας· οὐχὶ διώκων ἀλλὰ ὁμόσε ἰὼν (στῆθος πρὸς στῆθος) ἐμάχετο. Ὅτι δὲ οὐ βούλεται νὰ σημάνῃ τὴν ταχύτητα τῶν ποδῶν, ἀλλὰ τὴν ταχύτητα τοῦ φονεύειν διὰ τοῦ ταχέως πάλλειν τὸ δόρυ, φανερὸν ἐκ τῆς ἑπομένης λέξεως μ ά χ ᾳ, ἣν ἐπίτηδες ἔθετο ὁ ποιητής, ἵνα καταστήσῃ τὸν νοῦν αὐτοῦ σαφῆ, ὅτι ἄρα οὐ διώξει, οὐ διώκων ταχέως ὡς ἄνεμος, ἀλλὰ μαχόμενος ἐφόνευε ταχέως πάλλων. — σώματα ἀσθμαίνοντα] «τὰ σώματα τῶν λεόντων καὶ κάπρων, ἃ οὐκ ἦσαν ἤδη τεθνηκότα, ἀλλ' ἔπνεον ἔτι, οὐκ ἔλιπεν ἐντελῶς ἡ πνοὴ αὐτά». — Κρονίδαν] «ἤτοι τὸν Χείρωνα· ἐκ Κρόνου γὰρ καὶ Φιλύρας, ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ (στ.122-43) μαρτυρεῖ» Π. Σ. — ἑξέτης τὸ πρῶτον] εἴπομεν ἀνωτέρω, ὅτι αἱ λέξεις αὗται συναπτέαι εἰσὶ ταῖς π α ῖ ς ἐ ώ ν. Τὸν χρόνον λοιπόν, καθ' ὃν ἀνετρέφετο ὁ Ἀχιλλεὺς παρὰ Χείρωνι, διῄρεσεν, ὁ ποιητὴς εἰς δύο· καὶ ὁ μὲν πρῶτος χρόνος τελευτᾷ ἐνταῦθα, ὅτε ὁ παῖς Ἀχιλλεὺς ἦγε τὸ ἕκτον τῆς ἡλικίας· ἐν ταύτῃ τῇ ἡλικίᾳ ἀνεπτύχθησαν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀνατροφῆς, ἣν ἔλαβε παρὰ τοῦ Χείρωνος, τρεῖς ἀρεταί, ἡ ἀνδρεία καὶ σωματικὴ ῥωμαλεότης καὶ ἡ ἐπιτηδειότης τοῦ πάλλειν ταχέως καὶ εὐστόχως τὸ δόρυ, ὥστε διὰ ταύτης νὰ φονεύῃ τὰ θηρία, πρὸς ἃ ἐκ τοῦ συστάδην ἐμάχετο, πρὶν ἂν ἐκεῖνα κατασχίσωσιν αὐτόν. Ἐν δὲ τῷ δευτέρῳ χρόνῳ, ὃς ἄρχεται ἀπὸ τοῦ ἑβδόμου ἔτους τῆς ἡλικίας ἀνεπτύχθη ἡ ποδώκεια τοῦ Ἀχιλλέως· ἡ δὲ περιγραφὴ τοῦ χρόνου τούτου καὶ τῆς ποδωκείας ἄρχεται ἀπὸ τῆς ἑπομένης λέξεως ὅ λ ο ν καὶ τελευτᾷ ἐν τῇ λέξει κ ρ ά τ ε σ κ ε ν. Συνδέονται δὲ οἱ δύο οὗτοι χρόνοι διὰ τῶν τ ὸ π ρ ῶ τ ο ν. — ἔ π ε ι τ α δ έ. — ὅλον ἀν' χρόνον] «ὅλον τὸν χρόνον, καθ' ὃν μετὰ τὸ ἕκτον ἔτος ἐτρέφετο παρὰ Χείρωνι, ἕως ἀπέπλευσεν εἰς Τροίαν». — τὸν . . . ἑρκέων] ἔξοχος τὸ κάλλος περιγραφὴ τῆς

Ἀ. γ'. Κ. ιγ'.

Κτείνοντ' ἐλάφους ἄνευ κυ-
νῶν δολίων θ' ἑρκέων·
Ποσσὶ γὰρ κράτεσκεν.
Λεγόμενον δὲ τοῦτο πρότερον
Ἔπος ἔχω· βαθυμῆτα Χείρων
Τράφε λιθίνῳ τ' Ἰάσον' ἔνδον τέγει,
Καὶ ἔπειτ' ἐν Ἀσκληπιόν·
Τὸν φαρμάκων δίδαξεν

ἁπλῆς ἐννοίας «ἐθαύμαζεν αὐτὸν ἡ Ἄρτεμις καὶ Ἀθηνᾶ ἐπὶ τῇ ταχύτητι τῶν ποδῶν. — Ἄρτεμίς τε καὶ Ἀθάνα] καλῶς ἀμφότεραι αἱ θεαί, ἡ μὲν Ἄρτεμις ὡς θεὰ τῆς κυνηγεσίας διατρίβουσα ἐν τοῖς ὄρεσιν· ἡ δὲ Ἀθηνᾶ ὡς εὐνοοῦσα καὶ ἀεὶ παρισταμένη αὐτῷ. — κτείνοντ'] οὐκ ἐθαύμαζον αὐτόν, ὅτι ἔκτεινεν ἐλάφους· διότι ἀνωτέρω ἐν τῇ ἑξαετεῖ ἡλικίᾳ ἐφόνευε τὰ ἰσχυρότερα καὶ χαλεπώτερα τῶν θηρίων, λέοντας καὶ κάπρους· ἀλλ', ὅτι ἔκτεινεν ἄνευ κυνῶν καὶ ἑρκέων, ἐθαύμαζον τὴν ταχύτητα αὐτοῦ. Ὅθεν τῷ κτείνοντ' συζεύγνυνται αἱ ἔννοιαι «καταλαμβάνοντα τῇ διώξει καὶ κτείνοντα». — δολίων ἑρκέων] «ἕρκεα τὰ λίνα φησίν, τὰ περιφράγματα· δολίων δέ, ὅτι θηρῶντες τοὺς θῆρας τὰ λίνα λάθρα ἱστᾶσιν» Π. Σ. ἑρκέων, βρόχων Σχ. Πατμ.

— Στ. 91-100. Λεγόμενον . . . αὔξων] Ἐνταῦθα ἀποφαινόμενος, ὅτι τὰ περὶ τῆς σοφίας τοῦ Χείρωνος λεγόμενά εἰσι πιστευτά, καὶ διὰ τοῦ παραδείγματος τοῦ Ἰάσονος καὶ Ἀσκληπιοῦ ἀποδεικνύων, ὅτι ὁ Χείρων διὰ τῆς ἀνατροφῆς ἠδύνατο νὰ καταστήσῃ τοὺς παρ' αὐτῷ

στ. 94. ἔπειτεν ἐν πολλοῖς χειρογρ. ἔπετ' ἐν ἡ κοινοτέρα γραφή· τὸ ἐν συντακτέον τῷ τέγει.

τρεφομένους ἐξόχους εἴτε ἥρωας, εἴτε σοφούς, ἐπιφέρει ἐν συμπεράσματι, οἵαν φροντίδα ὤφειλε νὰ καταβάλῃ περὶ τὴν ἀνατροφὴν τοῦ Ἀχιλλέως, ἵνα ἀναδείξῃ αὐτὸν τὸν μέγιστον τῶν συγχρόνων ἥρωα. — Λεγόμενον . . . ἔχω] δύο προτάσεις συνεπτυγμέναι εἰς μίαν. Ἴσον «τοῦτο τὸ ἔπος, ὃ ἔχω λέγειν, ἐστὶ λεγόμενον πρότερον». — λεγόμενον πρότερον] οὐ νῦν πρῶτον λέγεται, ἀλλὰ παλαιόν ἐστιν, ὥστε ὀφείλομεν νὰ πιστεύωμεν, ὅτι ἐστὶν ἀληθές». — τοῦτο ἔπος] τὸ ἑξῆς, ὅτι ὁ Χείρων ἔθρεψε τὸν Ἰάσονα καὶ Ἀσκληπιὸν καὶ ἐνύμφευσε τὴν Θέτιδα. — ἔχω] κατὰ βραχυλογίαν παραλείπεται τὸ εἰπεῖν· τὸ δὲ πάλιν ἔχω εἰπεῖν ἐστιν ἴσον τῷ μέλλω ἐρεῖν. — βαθυμῆτα] ὀνομαστικῆς πτώσεως. — Ἰάσον] «ὅτι ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν,

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰάσονα, ποιμένα λαῶν,
Ὃν Χείρων ἔθρεψ' ἐν Πηλίῳ ὑλήεντι»
Π. Σ. — Ἀσκληπιὸν] «καὶ Ἀσκληπιὸς παρὰ Χείρωνι ἐτράφη, ὡς καὶ Σωκράτης ὁ Ἀργεῖός φησιν» Π. Σ. — τὸν] τοῦτον τὸν Ἀσκληπιόν. — νομὸν φαρμάκων μαλακόχειρα] ἐκάλεσεν οὕτως τὴν ἰατρικὴν, ἥτις διανέμει τὰ φάρμακα καὶ ἐπιτίθησι τὰ ἔμπλαστα τῇ μαλακῇ καὶ μὴ παρεχούσῃ πόνον χειρὶ τοῦ ἰατροῦ. — νύμφευσε θύγατρα] «ἐγαμοστόλησε τῷ Πηλεῖ ὁ Χείρων τὴν Θέτιν· ὑπεδέξατο γὰρ τοὺς θεοὺς ἐπὶ τὴν δαῖτα» Π. Σ. Παράβ. πρὸς Ἰσθμ. Η.' 78 κ. ἑξῆς. — αὖθις] «οὐκ ἐκ δευτέρου, ἀλλὰ μετὰ ταῦτα (μετὰ τὴν ἀνατροφὴν Ἰάσονος καὶ Ἀσκληπιοῦ)» Π. Σ. — γόνον τε . . . αὔξων] ἐν τούτοις κατανοεῖται ὁ σκοπὸς τοῦ ποιητοῦ, δι' ὃν ἔλεξε τὰ ἀνωτέρω, ἤτοι ὅτι ὁ Χείρων ἔθρεψε τὸν Ἰάσονα καὶ Ἀσκληπιὸν καὶ ὅτι ἐνύμφευσε τὴν Θέτιδα. Ἡ ἔννοια λοιπὸν τοῦ Πινδάρου, ἣν ὡς χρησμῳδὸς ἐκφράζει, ἐστὶν

Μαλακόχειρα νομόν.
Νύμφευσε δ' αὖθις ἀγλαόκαρπον
Νηρέος θύγατρα· γόνον τέ οἱ φέρ-
    τατον ἀτίταλλεν ἐν ἁρμέ-
    νοισι πάντα θυμὸν αὔξων,

Ἐ. γ'. Κ· ια'.

Ὄφρα, θαλασσίαις ἀ-
    νέμων ῥιπαῖσι πεμφθεὶς
Ὑπὸ Τροΐαν, δορί-
    κτυπον ἀλαλὰν Λυκίων
Τε προσμένοι καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ
Ἐγχεσφόροις ἐπιμίξαις
Αἰθιόπεσσι χεῖρας, ἐν φρεσὶ πά-

αὕτη· «ὁ Χείρων ἐκεῖνος, ὃς διὰ τῆς σοφῆς καὶ ἐπιτηδείας ἀνατροφῆς ἀπεδείκνυε τοὺς τρεφομένους ἥρωας καὶ σοφοὺς τοιούτους, οἷος ἐγένετο Ἰάσων καὶ Ἀσκληπιός· ὁ σοφὸς, λέγω, ἐκεῖνος Χείρων ποίαν φροντίδα καὶ μέριμναν εἰς τὴν ἀνατροφὴν τοῦ τέκνου τῆς θεᾶς ἐκείνης, ἣν αὐτὸς ἐνύμφευσε τῷ Πηλεῖ, ὤφειλε νὰ καταβάλῃ, ὥστε παιδεύσας νὰ κοσμήσῃ καὶ τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχὴν ἁπάσαις ταῖς πολεμικαῖς ἀρεταῖς ἐξοχώτατα, ὄφρα θαλασσίαις ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τροΐαν κ. λ.; — γόνον τε] εἰ μὴ ἤθελε νὰ ἐκφράσῃ τὴν αὐτοῦ ἔννοιαν ὡς χρησμῳδὸς, ὤφειλεν ἀντὶ τοῦ τε νὰ θέσῃ «τούτου οὖν ἕνεκα» ἢ ἕτερόν τι τοιοῦτον, ἵνα ἡ συνάφεια τῶν ἐννοιῶν καταστῇ σαφεστέρα. — ἀτίταλλεν . . . αὔξων] «ἔτρεφεν ἐν τοῖς ἁρμοδίοις καὶ προσήκουσι τὴν Ἀχιλλέως παιδεύων ψυχήν» Π. Σ.

στ. 96. νόμον ἔν τινι χειρογράφῳ.

— πάντα] κατὰ πάντα. — θυμὸν] κατὰ σύζευξιν θυμὸν καὶ σῶμα.

— Στ. 101-111. ὄφρα θαλασσίαις . . . μόλοι] ἐν τούτοις, ὡς εἴπομεν ἀνωτέρω, διηγεῖται, ἃ ὁ Ἀχιλλεὺς κατώρθωσεν ἐν τῇ δευτέρᾳ ἡλικίᾳ, καθ' ἣν πεμφθεὶς εἰς Τροίαν ἐπολέμει. Ταῦτα λοιπόν εἰσιν ὁ δεύτερος λόγος, ὃν ἔδει νὰ ἀνταποδώσῃ ὁ Πίνδαρος διὰ τῶν μορίων τὰ δὲ τῷ πρώτῳ λόγῳ τῷ ἀρξαμένῳ (στ. 75) διὰ τῶν μορίων τὰ μέν· ἀλλ' ὑποκρινάμενος λήθην, μεταβαλὼν τάξιν διηγεῖται τὰς ἐν τῇ δευτέρᾳ ἡλικίᾳ ἀρετὰς τοῦ Ἀχιλλέως ἐξαρτῶν τὸν λόγον διὰ τοῦ μορίου ὄφρα ἐκ τῶν παρεντεθειμένων, ἀλλ' οὐ συνδέων, ὡς ἔδει, τῷ πρώτῳ καὶ κυρίῳ λόγῳ. Ἄλλως δὲ ἐκτίθησιν ὁ ποιητὴς τας ἐννοίας οὕτω καλῶς καὶ τεχνηέντως, ὥστε ἡ πρὸς ἀλλήλας συνάφεια καὶ σύνδεσις καθορᾶται καὶ καθ' ἑαυτὴν ἄνευ λεκτικῶν συνδέσμων. — ὄφρα . . . Δαρδάνων τε] «εἰς ταῦτα, φησὶν, ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων ἁρμοστὰ αὐτῷ πάντα παρέχων, ἵνα πλεύσας εἰς Ἴλιον τὴν βαρύκτυπον ἀλαλὰν τῶν Λυκίων ὑπομένῃ» Π. Σ. — καὶ ἐγχεσφόροις . . . ὅπως] «καὶ (ὄφρα), ὅταν συμπλακῇ εἰς μάχην τοῖς ἐγχεσφόροις Αἰθίοψιν, ἐμπήξῃ ἐν τῷ ἑαυτοῦ νῷ ἰσχυρῶς τὴν διάνοιαν νὰ φονεύσῃ τὸν τύραννον αὐτῶν Μέμνονα, ὅπως μὴ μόλοι· ἵνα μὴ ἐπανέλθῃ οἴκαδε». — χεῖρας]. Ἐὰν τὴν λέξιν ταύτην συνάψῃς τῇ ἐπιμίξαις, ἐξάγεται ἡ ἔννοια, ἣν ἤδη ἐξεθέσαμεν, ἤτοι «συνάψας μάχην πρὸς Αἰθίοπας»· ἐὰν δὲ συνάψῃς τῇ πάξαιθ', δύο ἔννοιαι δύνανται νὰ ἐξαχθῶσιν· ἡ μὲν πρώτη ἐστὶ τοῦ Heynii αὕτη «ἵνα (ὄφρα) συμπλακεὶς τοῖς Αἰθίοψι πήξῃ τὰς ἑαυτοῦ χεῖρας, ἤτοι τὸ δόρυ ἐν τοῖς στήθεσι τοῦ Μέμνονος, ἵνα μὴ ἐπιστρέψῃ οἴκαδε»· ἡ δὲ δευτέρα ἐστὶ τῶν Π. Σ. «ἵνα συμπλακεὶς τοῖς Αἰθίοψιν ἑνώσῃ τὰς χεῖρας· ἤτοι τὰς σωματικὰς αὐτοῦ δυνάμεις ταῖς ψυχικαῖς (αἵτινες διὰ τῆς παρὰ τῷ Χείρωνι ἀνατροφῆς κατέστησαν ἀμφότεραι

ξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
Πάλιν οἴκαδ' ἀνεψιὸς
Ζαμενὴς Ἑλένοιο, Μέμνων μόλοι.

Σ. δ. Κ. ιδ'.

Τηλαυγὲς ἄραρε φέγγος
Αἰακιδᾶν αὐτόθεν,
Ζεῦ· τεὸν γὰρ αἷμα·
Σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν,
Ὀπὶ νέων ἐπιχώριον χάρ-
μα κελαδέων· βοᾷ δὲ νικαφόρῳ
Σὺν Ἀριστοκλείδᾳ πρέπει·
Ὃς τάνδε νᾶσον εὐκλέ-

ἰσχυρόταται) οὕτως, ὥστε αἱ μέν, αἱ σωματικαὶ νὰ ὑπηρετῶσι ταῖς δέ, ὅπως μὴ Μέμνων οἴκαδε μόλοι». Κατ' ἀμφοτέρας λοιπὸν τὰς ἐξηγήσεις ταύτας ἡ λέξις χεῖρας λαμβάνει συνεκδοχικὴν σημασίαν τοιαύτην, ἥτις ἐν ταύτῃ τῇ περιπτώσει οὖσα ἀσυνήθης τῇ Ἑλληνικῇ γλώσσῃ οὐ πάνυ κομψὴ φαίνεται. Διότι ἡ μὲν ἑρμηνεία τοῦ Π. Σ. ἐστι μὲν εὐφυεστάτη, ἡ δὲ συνεκδοχὴ πλήττει τὰ ὦτα οὐχὶ εὐαρέστως· ἡ δὲ ἐξήγησις τοῦ Heynii χεῖρας ἀντὶ τοῦ δόρυ οὐκ ἀναγκάζει τὸν νοῦν νὰ παραδεχθῇ τὸν λόγον συνεκδοχικόν· διότι ἐμπήγνυνται καὶ αἱ χεῖρες ἐν ταῖς φρεσὶν (ἐν τοῖς στήθεσι), καὶ ταῦτα χεῖρες τοιούτου ἥρωος, οἷος ὁ Ἀχιλλεύς. Τούτων λοιπὸν ἕνεκα ἔστιξα καὶ ἐγὼ μετὰ τὸ χεῖρας. — ἐν φρεσὶ πάξαιθ'] Τὸ ἀντικείμενον τοῦ πήξαιτό ἐστιν οὐχὶ ἡ ἑπομένη πρότασις ὅπως σφίσι μὴ . . . μόλοι· ἀλλ' ἐξ αὐτῆς τῆς προτάσεως κατὰ βραχυλογίαν ὑπονοητέον τὸ «φονεῦσαι τὸν Μέμνονα». Ὅθεν ὁ νοῦς «ἐνέπηξεν ἐν ταῖς ἑαυτοῦ φρεσίν, ἐν τῷ ἑαυτοῦ νῷ νὰ φονεύσῃ» ἢ ὡς λέγει κοινῶς ἡ νῦν ὁμιλουμένη «ἐκαρφώθη καὶ καλὰ εἰς τὸν νοῦν του, εἰς τὸ κεφάλι του νὰ

φονεύσῃ». — σφίσι] ἀντὶ γενικῆς, σ φ ῶ ν, τῶν Αἰθιόπων. — Μέμνων] ὅρα τὸν μῦθον τοῦτον καὶ Νεμ. ΣΤ'. 84. κ. ἑξῆς.

— Στ. 112-117. Τηλαυγὲς . . . κελαδέων] «ἐξ αὐτῶν τῶν κατὰ τὴν Τροίαν πεπραγμένων παρεγένετο ἡ λαμπροτάτη δόξα τῶν Αἰακιδῶν, ὦ Ζεῦ· σὲ δὲ καλῶ· διότι σὸν αἷμά εἰσιν οἱ Αἰακίδαι, καὶ ὁ νικηφόρος τῶν τε Αἰακιδῶν ἀπόγονός ἐστιν καὶ ἐν τῷ σῷ ἀγῶνι ἐνίκησεν». — Τηλαυγὲς φέγγος] Καὶ ἄλλοθι ἐκάλεσε τὴν μεγάλην δόξαν κατὰ παραβολὴν φέγγος. — Αἰακιδῶν] ἐναλλαγὴ πτώσεως ἀντὶ δοτικῆς ἐξηρτημένης τῷ ἄ ρ α ρ ε «ἥρμοσε, προῆλθεν τοῖς Αἰακίδαις». — αὐτόθεν] ἐξ αὐτοῦ τοῦ Ἀχιλλέως, ἤτοι ἐκ τῶν πεπραγμένων τῷ Ἀχιλλεῖ. — Ζεῦ] Διὰ τῆς κλήσεως τοῦ Διὸς ποιεῖται ὁδὸν, ἵνα ἐπανέλθῃ πρὸς τὸν ἥρωα τοῦ ὕμνου, τὸν νικηφόρον. Παραλείπονται δὲ προτάσεις, ὧν ὁ νοῦς «Σὲ καλῶ· διότι σὺ τέρπεσαι ἐπὶ ταῖς ἀρεταῖς τῶν Αἰακιδῶν, καὶ ἐπὶ τοῖς Νεμεαίοις ἀγῶσιν». — τεὸν γὰρ . . . ἀγὼν] Λέγει τὸ αἴτιον τῶν παραλειφθεισῶν μὲν προτάσεων, εὐκόλως δὲ ἐννοουμένων. — τεὸν αἷμα] «οἱ Αἰακίδαι εἰσὶ σὸν αἷμα». — σέο ἀγὼν] «τὰ γὰρ Νέμεα σά ἐστι, σὸς ὁ ἀγὼν τῶν Νεμέων» Π. Σ. — τὸν . . . ἔβαλεν] ἴσον «ὃν ἀγῶνα ἐγὼ ὕμνησα»· ἔστι δὲ προσωποποιΐα «ὃν ὁ ὕμνος (ἡ Μοῦσα) ἔβαλε τοῖς ἑαυτοῦ βέλεσιν». Ὅτι τὰ βέλη τοῦ ποιητοῦ εἰσιν οἱ ἐπαινετικοὶ λόγοι γνωστόν· παράβ. πρὸς Ὀλ. Β' 161 κ. ἑξῆς· ὀπὶ νέων κελαδέων] ᾄδων διὰ τοῦ χοροῦ τοῦ συγκεκροτημένου ἐκ νεανιῶν (ὅρα ἐν ἀρχῇ στ. 6. κ. ἑξῆς). — ἐπιχώριον χάρμα] «τὸ ἐπιχώριον καὶ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν, τὸν νικηφόρον» Π. Σ.

— Στ. 117-118. βοὰ δὲ . . . πρέπει] «ἡ δὲ βοὴ τῶν ὑμνούντων νέων συμπρέπει, ἐκπρεπής ἐστι τῷ νικηφόρῳ, τῷ Ἀριστοκλείδῃ». Π. Σ.

— Στ. 119-122. Ὃς τάνδε νᾶσον . . . Θεάριον]

ἵ προσέθηκε λόγῳ
Καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον. Ἐν δὲ πείρᾳ
Τέλος διαφαίνεται, ὧν τις

Διὰ τί ἁρμόζει καὶ ἐμπρέπει τῷ Ἀριστοκλείδῃ νὰ ᾄδηται ὑπὸ τῶν νέων; διότι οὗτος νικήσας παρέδωκε ταύτην τὴν νῆσον τοῖς ἐπαίνοις τῶν ἀνθρώπων καὶ τῶν ποιητῶν, καὶ τὸ σεμνόν Θεάριον τοῦ Ἀπόλλωνος ἀγλααῖς καὶ ἐπιτερπέσι φροντίσιν». — εὐκλέϊ προσέθηκε λόγῳ] «Ἡ φράσις ὡς τὸ ἐν Ὀλυμ. (Α'. 34) Κ ρ ά τ ε ι δ ὲ π ρ ο σ έ μ ι ξ ε δ ε σ π ό τ α ν, ἀντὶ τοῦ νίκην τῷ δεσπότῃ προὐξένησεν· οὕτω κἀνταῦθα ἀντὶ τοῦ, λόγον καὶ ἔπαινον εὐκλεᾶ τῇ νήσῳ προσέθηκεν» Σχ. Πατμ. — καὶ σεμνὸν . . . Θεάριον] «Τὸ Θεάριον τόπος ἐν Αἰγίνῃ δημόσιος, ἔνθα τὰ συμπόσια». Π. Σ. Ἐὰν ἡ παράδοσις αὕτη τοῦ Π. Σ. ᾖ ἀληθής, ὁ νοῦς τοῦ χωρίου ἐστὶν «τὸν λαὸν τῆς Αἰγίνης προσέθηκε θεάμασι καὶ συμποσίοις»· διότι κατὰ ταύτην τὴν παράδοσιν ἐχρήσατο τῇ λέξει Θ ε ά ρ ι ο ν ἀντὶ τοῦ ἐν αὐτῷ λαοῦ· ταῖς δὲ λέξεσιν «ἀγλααῖσι μερίμναις» ἀντὶ τοῦ θυσίαις καὶ συμποσίοις καὶ θεάμασιν, ἃ τῷ ὄντι εἰσὶν ἀγλααί, τερπναὶ φροντίδες τοῦ λαοῦ· καὶ ἅπερ ἀνωτέρω (στ. 20) ἐκάλεσε χ α ρ ί ε ν τ α π ό ν ο ν. Κατὰ δὲ ἄλλην παράδοσιν καὶ αὐτὴν τῶν Π. Σ. «ἔστιν ἐν Αἰγίνῃ Πυθίου Ἀπόλλωνος ἱερὸν, ἐν ᾧ οἱ θεωροὶ διῃτῶντο οἱ τὰ θεῖα φυλάσσοντες· θεωροὶ γὰρ οἱ θεοφύλακες· οἱ δὲ, (λέγουσιν), ὅτι ἐν τῷ τοῦ Πυθίου Ἀπόλλωνος ἱερῷ οἶκός ἐστι καλούμενος Θεάριον διὰ τὸ τοὺς ἄρχοντας, οἱ καλοῦνται θεωροὶ, ἐνταῦθα διαιτᾶσθαι». Κατὰ ταύτας τὰς παραδόσεις ὁ νοῦς τοῦ προκειμένου χωρίου ἐστὶν «ὁ Ἀριστοκλείδης τὸ Θεάριον, ἤτοι τοὺς ἄρχοντας καὶ ἐπιστάτας τῶν ἱερῶν πραγμάτων ἔθηκε φροντίσι καὶ ἀσχολίαις ἀγλααῖς»· διότι ἡ ἑορτὴ αὕτη, ἣν ὁ Ἀριστοκλείδης ἑορτάζει, ἐστὶ δημοσία· ἐπειδὴ

αἵ τε θυσίαι γίνονται ἐν δημοσίοις τόποις καὶ τὰ ἐκ τούτων συμπόσια τῷ λαῷ παρατίθενται. Τούτου οὖν ἕνεκα τῆς διακοσμήσεως τῆς ἑορτῆς, ἵνα πάντα τὰ κατ' αὐτὴν ἐν τάξει γένωνται καὶ προσηκόντως, ὤφειλον οἱ ἱεροὶ ἄρχοντες, ἤτοι τὸ συνέδριον τοῦ Θεαρίου, νὰ ἐπιμεληθῶσιν. Ταύτην ἄρα τὴν ἐπιμέλειαν καὶ φροντίδα καλεῖ ὁ Πίνδαρος ἀ γ λ α ὰ ς, ἤτοι τερπνὰς φ ρ ο ν τ ί δ α ς. — σεμνὸν] καὶ τὸ ἐπίθετον αὐτὸ μηνύει, ὅτι τὸ Θεάριον ἦν συνέδριον ἱερῶν προσώπων. — ἀγλααῖσι μερίμναις] οὐδαμῶς προσίεμαι τὴν γνώμην, ὅτι αἱ λέξεις αὗται σημαίνουσι τὰς φροντίδας τῶν ποιητῶν, αἷς (ὡς ἑρμηνεύουσι) παρέσχεν ὁ Ἀριστοκλείδης τὸ Θεάριον, ἵνα εὐκλεΐσωσιν αὐτό· διότι ἐκτὸς τῶν ἄλλων γίνεται καὶ πλεονασμός· διότι τί διαφέρει τότε τὸ ἀ γ λ α α ῖ σ ι μ ε ρ ί μ ν α ι ς τοῦ ε ὐ κ λ έ ϊ λ ό γ ῳ.

— Στ. 122-132. Ἐν δὲ πείρᾳ . . . οὐκ ἄπεστι] Ἐπαινεῖ τὰς πολιτικὰς καὶ ἰδιωτικὰς ἀρετὰς, ἃς κέκτηται ὁ Ἀριστοκλείδης. «Πειρώμενός τινος καὶ δοκιμάζων κατανοεῖς, εἰ κέκτηται τὸ ἄκρον καὶ τέλειον τῶν ἀρετῶν, καθ' ἅς τις ἐν τοῖς νέοις ὢν δύναται νὰ ᾖ ἐξοχώτερος τῶν νέων, καὶ καθ' ἃς ἐν τοῖς ἀνδράσιν ὢν δύναται νὰ ᾖ ἐξοχώτερος τῶν ἀνδρῶν, καὶ ἐν τοῖς γεραιτέροις γέρων, ἐξοχώτερος τῶν γερόντων. Κατανοεῖς δηλονότι διὰ τῆς πείρας εἰ κέκτηται τοιαύτας ἀρετὰς, οἵας ἔχομεν οἱ βροτοὶ, ὡς βροτοὶ καὶ οὐχὶ ὡς θεοὶ, ἐν ἑκάστῳ τῶν τριῶν μερῶν τῆς ἡλικίας. Ὡσαύτως διὰ τῆς πείρας διαγινώσκεται, εἴ τις κέκτηται, καὶ τὴν τετάρτην ἀρετὴν, τὸ σκέπτεσθαι ὀρθῶς καὶ κατανοεῖν τὸ παρὸν, ἣν ἀρετὴν διδάσκει ὁ μακρὸς βίος. Ταύτας λοιπὸν τὰς ἀνθρωπίνους τέσσαρας ἀρετὰς ἔχει ὁ Ἀριστοκλείδης καὶ τοῦτο γινώσκω ἐκ πείρας πειραθεὶς αὐτοῦ καὶ δοκιμάσας». — ἐν πείρᾳ διαφαίνεται] «ἐν πείρᾳ τινὸς διαγινώσκεται τῷ πειρωμένῳ»· ἤτοι «δοκιμάζων τις τινὰ (ὡς ἐγὼ ἐπειράθην καὶ ἐδοκίμασα τὸν Ἀριστοκλείδην) διαγινώσκει». Πρόσεχε, μὴ

Ἐξοχώτερος γένηται,
Ἀ. δ'. Κ. ιγ'.
Ἐν παισὶ νέοισι παῖς, ἐν
Δ' ἀνδράσιν, ἀνὴρ, τρίτον
Ἐν παλαιτέροισι·
Μέρος ἕκαστον, οἷον ἔχομεν
Βρότεον ἔθνος· ἐλᾷ δὲ καὶ τέσ-
σαρας ἀρετὰς ὁ μακρὸς αἰών, φρονεῖν

ἐκ τοῦ ἑπομένου «ὧν τις παῖς γένηται» παραλάβῃς ὡς γενικὴν συντακτικὴν τῷ πείρᾳ τὸ τινὸς παιδός. — τέλος] τέλος σημαίνει τὸ ἄκρον, τὴν τελειότητα τῶν ἀρετῶν. Ὅθεν κατὰ βραχυλογίαν εἶπε τέλος ἀντὶ τοῦ «εἰ οὗτος ὁ δοκιμαζόμενος κέκτηται τὸ τέλος τῶν ἀρετῶν». Ἐπειδὴ δὲ τὸ τέλος, τὸ ἄκρον τὴν τελειότητα ἑκάστης ἀρετῆς κέκτηνται μόνοι οἱ θεοί· διὰ τοῦτο κολάζων προσέθηκε παρακατιὼν (στ. 128-129) μέρος . . . ἔθνος, ὡς ἀφικόμενοι ἐκεῖ παρατηρήσομεν. — ὧν τις ἐξοχώτερος . . . ἐν παλαιτέροισιν] Ἀναπληρῶν ταῦτα σύντασσε πρῶτον, ὧν τις ἐξοχώτερος . . . παῖς· δεύτερον, ὧν τις ἐξοχώτερος γένηται ἐν ἀνδράσιν ἀνήρ· τρίτον ὧν τις ἐξοχώτερος γένηται ἐν παλαιτέροις παλαίτερος. Αἱ τοιαῦται βραχυλογίαι τῷ Πινδάρῳ οὐκ ἀσυνήθεις εἰσίν. — ὧν ἐξοχώτερος γένηται] καθ' ἅς, ἀρετάς, δύναται νὰ γένηται ἐξοχώτερος». Ἡ ἀντωνυμία ὧν ἀντὶ τῆς ἃς αἰτιατικῆς ἐφειλκύσθη ὑπὸ τοῦ ἀναπληρωτέου τέλος τῶν ἀρετῶν. Ἀναπληροῦμεν δὲ τέλος ἀρετῶν ἐκ τοῦ (ἐν στ. 130) ἀρετάς. — ἐν παισὶ νέοισι] συνηθέστερον γενικὴ «ἐξοχώτερος τῶν νέων παίδων». Παῖδας δὲ ἐννοεῖ ἐνταῦθα τοὺς μέχρις ἐκείνης τῆς ἡλικίας, καθ' ἣν μεταβαίνουσιν εἰς τοὺς ἄνδρας. — παῖς] νέος μέχρι τῆς εἰς τοὺς ἄνδρας μεταβάσεως. — τρίτον ἐν παλαιτέροισιν] Ἐκ μὲν

τοῦ τ ρ ί τ ο ν ἀνεπληρώσαμεν ἐν τοῖς δυσὶν ἡγουμένοις κώλοις τὰ «πρῶτον ... δεύτερον· ἐκ δὲ τῶν ἡγουμένων π α ῖ ς ... ἀ ν ή ρ· ἀναπληροῦμεν ἐνταῦθα «παλαίτερος»· π α λ α ι τ έ ρ ο υ ς δὲ καλεῖ πάντας τοὺς ὑπερβάντας τὴν ἀνδρικὴν ἡλικίαν μέχρι τέλους τοῦ βίου. Βούλεται λοιπὸν νὰ εἴπῃ ὁ ποιητὴς ἐν τοῖς μέχρι τοῦδε, ὅτι δοκιμάσας τὸν νικηφόρον εὗρεν, ὅτι ἔχει ἁπάσας τὰς τελείας ἀρετὰς καὶ τῶν τριῶν ἡλικιῶν. «Λέγει δὲ οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν (ὁ νικηφόρος), οὐδὲ γὰρ παῖς· ἀλλ' ὡς ὁ Τραγικὸς Κ α ὶ π α ι δ ὶ κ α ὶ γ έ ρ ο ν τ ι π ρ ο σ φ έ ρ ω ν τ ρ ό π ο υ ς. πάσῃ ἡλικίᾳ δυνάμενος ὁμιλῆσαι, πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν». Π. Σ. — μέρος . . . ἔθνος] Ἡ ἀρχαία στίξις ἦν, ὡς καὶ ἡμεῖς ἐστίξαμεν· ἤτοι ἐ ν π α λ α ι τ έ ρ ο ι σ ι· μ έ ρ ο ς ἕ κ α σ τ ο ν κ. τ. λ. Μετὰ Schmidium δὲ ἐστίζετο οὕτως ἐ ν π α λ α ι τ έ ρ ο ι σ ι μ έ ρ ο ς ἕ κ α σ τ ο ν ο ἷ ο ν κ. τ. λ. Ταύτην τὴν στίξιν δικαίως ψέγει ὁ δεινότατος Ἑλληνιστὴς Heynius. Ἡ σύνταξις Ἕ κ α σ τ ο ν δ ὲ μ έ ρ ο ς (τῆς ἡλικίας) ἐ σ τ ὶ τ ο ι ο ῦ τ ο ν (κατὰ τὰς ἀρετάς), ο ἷ ο ν ἔ χ ο μ ε ν (ἡμεῖς) τ ὸ β ρ ό τ ε ι ο ν ἔ θ ν ο ς. Ὅπερ ἐστὶ «ἕκαστον δὲ τῶν τριῶν μερῶν τῆς ἡλικίας ἔχει τοιαύτας ἀρετὰς (ἐ σ τ ὶ τ ο ι ο ῦ τ ο ν), οἵας (ο ἷ ο ν) ἔχομεν ἡμεῖς οἱ βροτοί, καὶ οὐχ οὕτω τελείας, οἵας ἔχουσιν οἱ θεοί». Ταῦτα δὲ λέγει ὁ ποιητής, ἵνα κολάσῃ τὴν λέξιν, ᾗ ἐχρήσατο (ἐν στ. 123) τ έ λ ο ς. — βρότεον ἔθνος] κατ' ἀντίθεσιν πρὸς τὸ γένος τῶν θεῶν, ὅπερ ἔχει τὰς τῷ ὄντι τελείας ἀρετάς. — ἐλᾷ δὲ . . . τὸ παρκείμενον] «ὁ θνητὸς αἰὼν (ὁ μακρὸς τοῦ ἀνθρώπου βίος) καὶ τετάρτην ἀρετὴν ταύτην φέρει, ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν καὶ μὴ περὶ τῶν ἐσομένων πάντων, ἀλλὰ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι· ὁ θνητὸς αἰὼν καὶ τετάρτην ἀρετὴν ταύτην φέρει, τὸ καὶ περὶ τοῦ ἐνεστῶτος φροντίζειν» Π. Σ. — καὶ τέσσαρας ἀρετὰς] «πρὸς ταῖς

Δ' ἐνέπει τὸ παρκείμενον.
Τῶν οὐκ ἄπεστι· χαῖρε,
Φίλος· ἐγὼ τόδε τοι
Πέμπω μεμιγμένον μέλι λευκῷ
Σὺν γάλακτι· κιρναμένα δ' ἔερσ' ἀμφ-

τρισὶν, ἃς εἶπεν ἀνωτέρω, καὶ ἑτέραν, τέσσαρας». — φρονεῖν τὸ παρκείμενον] αὕτη ἐστὶν ἡ τετάρτη ἀρετή. — ἐνέπει δὲ] «διότι διδάσκει» ὁ δέ ἐστιν ἀντὶ τοῦ γάρ. — τῶν οὐκ ἄπεστιν] «ὧν τεσσάρων ἀρετῶν οὐκ ἄπεστιν ὁ Ἀριστοκλείδης, ἃς τέσσαρας ἀρετὰς κέκτηται· καὶ τοῦτο ἐκ πείρας διέγνων». Τὸ «ἐκ πείρας διέγνων» ἢ «ἐν πείρᾳ διεφάνη» ἀναπληρωτέον ἐκ τοῦ ἐν ἀρχῇ τῆς περιόδου, Ἐ ν π ε ί ρ ᾳ τ έ λ ο ς δ ι α φ α ί ν ε τ α ι.

— Στ. 133-138. Χαῖρε, φίλος . . . ὀψέ περ] «Χαῖρε, ὦ φίλε, οὗτος ὁ ὕμνος, ὅν σοι πέμπω, καίτοι ὀψὲ, ὅμοιός ἐστι τὴν ἡδύτητα μέλιτι μεμιγμένῳ σὺν γάλακτι· ᾄδεται δὲ, σὺν πνοαῖς αὐλῶν Αἰολικῇ ἁρμονίᾳ». — χαῖρε, φίλος] ἢ μιμεῖται τὸν γράφοντα ἐπιστολὴν, καὶ οὕτως παραβάλλει τὴν ἀποστολὴν τοῦ ὕμνου πρὸς ἀποστολὴν ἐπιστολῆς· ἢ μιμεῖται τοὺς προπίνοντας, ὅπερ ἐστὶ κρεῖσσον· διότι πέμπει τὸ ποίημα ὡς πόμα μέλιτος μεμιγμένον γάλακτι, καὶ κεκραμένον οἴνῳ «ἐπεὶ οἱ προπίνοντες ἔλεγον τὸ χ α ῖ ρ ε, ὡς τὸ (Ἰλ. Ι. 224-225.) (Ὀδυσσεὺς)

Π λ η σ ά μ ε ν ο ς δ' ο ἴ ν ο ι ο δ έ π α ς δ ε ί δ ε κ τ' Ἀ χ ι λ λ ῆ α.
Χ α ῖ ρ', Ἀ χ ι λ λ ε ῦ». Π. Σ. — μέλι μεμιγμένον γάλακτι] τὸν ἐπίνικον καλεῖ κατὰ μεταφορὰν οὕτως. Ὅθεν ὁ ἐπίνικος οὗτός ἐστι μίγμα μέλιτος καὶ γάλακτος· καὶ πρὸς μὲν τὸ μέλι παραβάλλει τὸ γλυκὺ τοῦ ὕμνου, πρὸς δὲ τὸ γάλα, ὃ χρησιμεύει εἰς τροφὴν, παραβάλλει τὸ χρήσιμον καὶ ὠφέλιμον τοῦ ἐπινίκου. Καλῶ δὲ χρήσιμον

καὶ ὠφέλιμον τοὺς ἐν τῷ ἐπινίκῳ ἐπαίνους τῶν ἡρώων τῆς πατρίδος· διότι οἱ τοιοῦτοι ἔπαινοι ζωπυροῦσι καὶ μεγαλύνουσι τὸ αἴσθημα τῆς φιλοπατρίας καὶ τὴν ἀγάπην τῶν ἀγαθῶν ἔργων. Ἐπειδὴ τὸ ὑγρὸν, πρὸς ὃ παραβάλλει τὸν ὕμνον, συνίσταται, οὐ μόνον ἐκ μέλιτος καὶ γάλακτος, ἀλλὰ καὶ ἐξ οἴνου τοῦ κυριωτέρου, ὃν καλεῖ ἔερσαν, διὰ τοῦτο ὤφειλε νὰ εἴπῃ μέλι μεμιγμένον σὺν γάλακτι καὶ ἐέρσῃ· ἀλλ' ἐπειδὴ ὁ ἀναγνώστης οὐκ ἠδύνατο νὰ ἐννοήσῃ πρὸς τὶ τοῦ ὕμνου μέρος παραβάλλει τὴν ἐέρσην· διὰ τοῦτο ὠνόμασε μόνον τὰ δύο συστατικὰ, ὧν ἡ ἀλληγορία εὐκόλως κατανοεῖται· περὶ δὲ τοῦ τρίτου καὶ κυριωτέρου συστατικοῦ, τῆς ἐέρσης, ποιεῖ ὅλην πρότασιν, ἵνα ὁ ἀναγνώστης κατανοήσῃ τὴν ἀλληγορίαν, ὅτι δηλ. ἡ ἔρση τοῦ ἀληθοῦς ποτοῦ ἀλληγορεῖται εἰς τὸ μελέασμα τοῦ ὕμνου. Ἀλλα τίς ἐστιν ἡ ὁμοιότης τῆς ἔρσης (τοῦ οἴνου), ἣ κιρνᾶται τῷ μέλιτι μεμιγμένῳ τῷ γάλακτι, πρὸς τὴν ἔρσην (τοῦ μελεάσματος, τῆς ἁρμονίας) τοῦ ποιήματος; τὸ ἐνθουσιαστικόν· διότι καὶ τὸ μελέασμα καὶ ἡ ἁρμονία ἐνθουσιαστικὴ οὖσα μεθύσκει τρόπον τινὰ τὸν ἀκούοντα, ὥσπερ καὶ ὁ οἶνος. — κιρναμένα δὲ . . . αὐλῶν] «ἡ δὲ ἁρμονία καὶ τὸ μελέασμα κεραννύμενον τῷ ἡδεῖ καὶ ὠφελίμῳ, (ὡς κεράννυται ὁ οἶνος τῷ ἀληθεῖ ἐκ μέλιτος καὶ γάλακτος ποτῷ) ἀμφιέπει τὸ πόμα τοῦτο, (ὅ σοι πέμπω, ἤτοι τὸν ἐπίνικον) καὶ ποιεῖ τοιοῦτον, ὥστε νὰ ᾄδηται ἐν Αἰολικαῖς πνοαῖς αὐλῶν». Ἐκ τριῶν λοιπὸν συνίσταται ὁ ἐπίνικος ἐκ μέλιτος (τοῦ ἡδέος), ἐκ γάλακτος (τοῦ ὠφελίμου) καὶ ἐξ ἔρσης (τῆς τονώσεως, τοῦ Αἰολικοῦ ῥυθμοῦ). Ταύτην τὴν ἐξήγησιν νομίζων ὀρθὴν, θεωρῶ περιττὸν νὰ ἀνενέγκω τὰς τῶν ἄλλων ποικίλας ἐξηγήσεις. — ἔερσα] δρόσος· ποιητικῶς, οἶνος. Οὕτω καὶ (Ὀλ. Ζ'. 4.) καλεῖ τὸν οἶνον δρόσον ἀμπέλου. Ἔτι δὲ καὶ ἡ λέξις κιρναμένα δείκνυσιν, ὅτι ἡ ἔερσα σημαίνει οἶνον καὶ οὐχὶ ἀφρὸν, ὥς τινες νομίζουσιν. — ἀμφέπει

ἔπει πόμ' ἀοίδιμον Αἰο-
λῖσιν ἐν πνοαῖσιν αὐλῶν·
Ἐ. δ'. Κ. ιά.
Ὀψέ περ· ἔστι δ' αἰε-
τὸς ὠκὺς ἐν πετανοῖς,
Ὅς ἔλαβεν αἶψα, τη-
λόθε μεταμαιόμενος,
Δαφοινὸν ἄγραν ποσίν·
Κραγέται δὲ κο-
λοιοὶ ταπεινὰ νέμονται.
Τίν γε μὲν, εὐθρόνου Κλεοῦς ἐθελοί-

πόμ' ἀοίδιμον] «περιέπει τὸ πόμα (ὅπερ σοι πέμπω, ἤτοι τὸν ὕμνον) καὶ ποιεῖ αὐτὸ (αὐτὸν τὸν ὕμνον) ἀοίδιμον (ἐπιτήδειον νὰ ᾄδηται). — ἐν Αἰολῖσιν . . . αὐλῶν] «ἀοίδιμον, ἐπιτήδειον νὰ ᾄδηται μὲ Αἰολικοὺς αὐλούς». Διὰ τῶν λέξεων «ἀοίδιμον . . . αὐλῶν» βούλεται νὰ σημάνῃ ὁ ποιητὴς, ὅτι ἡ ἔρση, ἤτοι ἡ μελῳδία τοῦ ὕμνου ἐστὶν Αἰολική. — ὀψέ περ] «καίτοι ὀψὲ πέμπω».
— Στ. 138-143. ἔστι δ' αἰετὸς . . . νέμονται] «Ὀψὲ μὲν ἔπεμψα τὸν ἐπίνικον· ὁ ἀετὸς ὅμως ἐστὶν ὠκύτατος τῶν πτηνῶν· οὗτος μακρόθεν ἐπιζητῶν καὶ ἐρευνῶν τὴν ἄγραν ταχέως συλλαμβάνει αὐτὴν καὶ καθῃμαγμένην κρατῶν τοῖς ποσὶν αἴρει εἰς ὕψος. Ἀετῷ λοιπὸν καὶ ἐγὼ ὅμοιός εἰμι, ὃς μακρόθεν ἐρευνῶν τὰ ἄξια ἐπαίνου εὐθὺς λαμβάνων αὐτὰ ἐπαίρω εἰς μέγα ὕψος, καὶ οὐκ ἐῶ αὐτὰ ταπεινὰ, ὡς οἱ κολοιοὶ, ἣν ἂν εὕρωσι τροφὴν, ταπεινὰ ἐσθίουσιν». Ταύτῃ τῇ παρομοιώσει βούλεται νὰ δηλώσῃ, ὅτι καίτοι μετὰ μεγίστης ταχύτητος ἔγραψε τὸν ὕμνον, ἵνα ἐγκαίρως πέμψῃ αὐτὸν

στ. 142. δαφοινὰν ἔν τινι χειρογρ.

τῷ Ἀριστοκλείδῃ, ὅμως οὐδὲ εἴασέ τι τῶν ἀξίων ἐπαίνου, οὐδὲ ταπεινὰ ἔγραψεν. — ὠκὺς ἐν πετανοῖς] ἴσον τῷ «ὠκύτατος τῶν πετηνῶν». — ὃς ἔλαβεν αἶψα ἄγραν] Τὸ ἔ λ α β ε ν ἀντὶ ἐνεστῶτος. Συζεύγνυνται δὲ δύο ἔννοιαι τῷ ἔ λ α β ε ν, «ἔλαβε καὶ εἰς ὕψος ἦρεν» ὡς καὶ ὁ Πίνδαρος αἶψα ἔλαβε τὰς ἐννοίας τοῦ ὕμνου καὶ μετὰ ὕψους ἐξέθηκεν. — Τηλόθε μεταμαιόμενος] παραβάλλει τὸ μῆκος τῆς ἀποστάσεως, ἀφ᾽ ἧς ἐρευνᾷ τὴν θήραν ὁ ἀετὸς πρὸς τὸ μῆκος τοῦ χρόνου, ὃς διῆλθε, μέχρις οὗ ἤρξατο τοῦ γράφειν τὸν ὕμνον· «ὥσπερ ὁ ἀετὸς μακρόθεν ὁρῶν τὴν ἄγραν καὶ ἐπιπίπτων ταχέως καταλαμβάνει αὐτὴν καὶ εἰς μέγα ὕψος αἴρει· οὕτω καὶ ἐγώ, καίτοι ἐπέπεσον τοῖς ἀξίοις ἐπαίνοις λίαν ὀψέ, καὶ οὐχὶ ὅτε παρηγγέλθην νὰ ποιήσω τὸν ὕμνον, ὅμως ἅπασαν τὴν θήραν τῶν ἐννοιῶν κατέλαβον καὶ εἰς μέγα ὕψος ἐπῆρα συνθεὶς αὐτάς». — δαφοινὸν] οὐχὶ μόνον ποιητικῶς ἐχρήσατο τῇ λέξει ταύτῃ πρὸς κόσμον τοῦ λόγου· ἀλλὰ καὶ ἵνα δείξῃ, ὅτι ὡς ὁ ἀετὸς εὐθὺς τὴν ἄγραν ποιεῖ τοῖς ποσὶ δαφοινὴν καὶ καθῃμαγμένην, οὕτω καὶ αὐτὸς συλλαβὼν τὴν ἔννοιαν εὐθὺς ἐπεξεργάζεται καὶ ἐκτίθησι ποιητικῶς αὐτήν. — κραγέται . . . νέμονται] «οἱ δὲ ἀντίτεχνοί μου κολοιοῖς ἐοίκασι κραυγάζοντες μόνον καὶ ταπεινὰ νεμόμενοι, οὐ δύνανται δὲ διαίρεσθαι εἰς ὕψος· δοκεῖ δὲ ταῦτα τείνει εἰς Βακχυλίδην». Π. Σ.

— Στ. 145-148. Τίν γε μὰν καὶ ἐξῆς] «Σὲ δὲ ἕνεκα τῆς γενναίας ἐπιθυμίας τοῦ ἀθλοφορεῖν νικήσαντα ἐν Νεμέᾳ, ἔν τε Ἐπιδαύρῳ καὶ Μεγάροις αὐγάζει λάμψις τῆς εὐθρόνου Κλειοῦς ἐθελούσης νά σε κλεΐζῃ». — Κλεοῦς ἐθελοίσας δέδορκε φάος] «δοξάζεσαι καὶ λαμπρύνεσαι διὰ τῶν Μουσῶν, ἤτοι διὰ τῶν ποιητῶν, οἵτινες διὰ τῶν ποιημάτων κλεΐζουσί σε». — ἀεθλοφόρου λήματος ἕνεκεν] «ἕνεκα τῆς γενναίας ἐπιθυμίας τοῦ φέρειν ἆθλα τοῦ νικᾶν ἐν τοῖς ἀγῶσιν». Καὶ αὐτὰ συνάπτονται τοῖς δ έ δ ο ρ κ ε φ ά ο ς, καὶ τὰ Ν ε μ έ α ς . . . Μ ε γ ά ρ ω ν·

σας, ἀεθλοφόρου λήματος ἕνεκεν
Νεμέας, Ἐπιδαυρόθεν
Τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος·

διότι ἀμφότερα τὰ κῶλα σημαίνουσι τὸ αἴτιον τοῦ δέδορκε φάος· ἀλλὰ τὸ μὲν πρῶτον σημαίνει τὸ πορρωτέρω αἴτιον· τὸ δὲ δεύτερον τὸ ἐγγυτέρω· διότι ἕνεκα μὲν τοῦ ἀθλοφόρου λήματος ἐνίκησεν, ἕνεκα δὲ τῆς νίκης δέδορκεν αὐτὸν φάος. Ὁ Δούκας ὑπολαμβάνει οὕτως «ἐπειδὴ νικήσας ἐν Νεμέᾳ ἐνεφορήθης φρονήματος ἀγωνιστικοῦ (ἕνεκα ἀεθλοφόροου λήματος Νέμέας), σὺ νικήσεις κἂν Ἐπιδαύρῳ καὶ ἐν Μεγάροις». Ἀλλ' εἰ ἐβούλετο ὁ ποιητὴς νὰ εἴπῃ τοῦτο, κάλλιον ἂν ἐμαντεύετο, ὅτι ἔμελλε νὰ νικήσῃ ἔν τινι τῶν πανελληνίων ἀγώνων, ἐν Ὀλυμπίοις, ἢ ἐν Πυθίοις. — Νεμέας . . . Μεγάρων] ἐξάρτησον ἀπὸ τοῦ δέδορκε φάος ἵνα σημάνῃ «τὸ ἐγγύτατον αἴτιον, διότι δέδορκε φάος τὸν Ἀριστοκλείδην, ἐστὶν ἡ Νεμέα, ἡ Ἐπίδαυρος καὶ τὰ Μέγαρα (ἤτοι αἱ ἐν ταῖς πόλεσι ταύταις νῖκαι αὐτοῦ)». — Νεμέας] ἀναπλήρου ἀπὸ Νεμέας ἤτοι ἀπὸ τῆς ἐν Νεμέᾳ νίκης. — Ἐπιδαυρόθεν ἄπο] Εὕρηνται τὰ τοιαῦτα ἐπιρρήματα εἰς θεν συντεταγμένα μετὰ τῆς ἀπὸ ὡς ἀπ' οὐρανόθεν (Ἰλ. φ. 199). «Φασὶ γὰρ καὶ ἐν Ἐπιδαύρῳ αὐτὸν νενικηκέναι· τίθεται δὲ ἐν Ἐπιδαύρῳ ἀγὼν Ἀσκληπιῷ, τῶν Ἀσκληπιαδῶν πρώτων θέντων, μετὰ ταῦτα δὲ Ἀργείων διὰ πενταετηρίδος· τίθεται δὲ ἐν τῷ ἄλσει τοῦ Ἀσκληπιοῦ, ἄγεται δὲ μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων· ὁ δὲ ἐν Μεγάροις ἀγὼν προάγεται εὐθὺς ἔαρος ἀρχομένου» Π. Σ.

ΜΕΤΑΦΡΑΣΙΣ.

Ὦ σεβαστὴ Μοῦσα, μῆτερ ἡμετέρα, ἱκετεύω, παραγενοῦ διαρκοῦντος τοῦ ἱεροῦ μηνὸς τῆς Νεμεάδος εἰς τὴν Δωρίδα νῆσον Αἴγιναν τὴν πολύξενον· διότι οἱ νεανίαι οἱ ᾄδοντες τοὺς μελιφώνους ὕμνους μένουσιν ἐπ' Ἀσωπῷ σοῦ τὴν φωνὴν περιμένοντες. Ἄλλο μὲν ἄλλου πράγματος ἔχει ἀνάγκην· ἡ δὲ ἀθλονικία ποθεῖ μάλιστα ᾠδὴν, ἥτις ἐστὶ δεξιωτάτη ὀπαδὸς τῶν στεφάνων καὶ ἀρετῶν. Ταύτης δίδου ἀφθονίαν ἀπὸ τῆς ἐμῆς διανοίας· ποίησον, ὦ θύγατερ τοῦ Διὸς, ἀρχὴν ὕμνου ἀρεστοῦ τῷ σῷ πατρὶ τῷ ἄρχοντι τοῦ πολυνεφέλου οὐρανοῦ· ἐγὼ δὲ θὰ κοινώσω αὐτὸν ταῖς τε φωναῖς καὶ τῇ λύρᾳ ἐκείνων. Τερπνὸν πόνον θὰ ἔχῃ ἡ πόλις, ἐφ' ᾗ ἡ χώρα τῆς νήσου ἀγάλλεται, ὅπου Μυρμιδόνες πρότερον ᾤκησαν, ὧν τὴν πάλαι ὑμνουμένην ἀγορὰν οὐκ ἐμίανεν ὁ Ἀριστοκλείδης ἐλέγχεσι κατὰ τὸ αὐτῇ πεπρωμένον· διότι οὐκ ἐμαλακύνθη ἐν περισθενέσιν παγκρατιασταῖς, τοῖς αὐτοῦ ἀνταγωνισταῖς· τῶν δὲ ἐπιπόνων (κατὰ τὸν ἀγῶνα) πληγῶν ἴαμα ὑγιεινὸν φέρει τὴν καλὴν ἐν βαθυπέδῳ Νεμέᾳ νίκην. Εἰ δὲ ὢν καλὸς καὶ πρέποντα τῇ μορφῇ πράττων ἐπέβη ἀρεταῖς ὑπερτάταις ὁ παῖς τοῦ

Ἀριστοφάνους, οὐ δυνατὸν ἔτι ἐστὶ νὰ περᾷ τὴν ἄπλευστον θάλασσαν πέραν τῶν Ἡρακλείων στηλῶν· ἃς ὁ ἥρως καὶ θεὸς ἔστησε κλυτὰς μάρτυρας ἐσχάτης ναυτιλίας· ἀφ' οὗ ἐδάμασεν ἐκπληκτικὰ ἐν πελάγει θηρία, καὶ ἰδίως ἠρεύνησε τὰ ὕδατα τῶν τεναγῶν, καταπλέων μέχρις ἐκείνου τοῦ σημείου, ὅπου ἔδει νὰ διαπλέωσιν οἱ πλωϊζόμενοι, καὶ ἐποίησε γνωστὸν τὸ τέλος, ἀφ' οὗ (ὁ πλέων) ἔδει νὰ ἀπονοστήσῃ, καὶ τὴν γῆν, ἥ ἐστι πορεύσιμος. Ἀλλ', ὦ θυμὲ, πρὸς τί ἀλλοδαπὸν ἀκρωτήριον ἀποπλανᾷς τὸν ἐμὸν πλοῦν; εἰς Αἰακὸν λέγω νὰ φέρῃς τὴν Μοῦσαν καὶ εἰς τὸ ἐκείνου γένος· τῇ δὲ διαταγῇ μου ταύτῃ ἐνυπάρχει τὸ ἄωτον τῆς δικαιοσύνης, τὸ ἐπαινεῖν τοὺς ἀγαθούς· οὐδὲ ἔρωτας πραγμάτων μὴ προσηκόντων (τῷ νικηφόρῳ) ἐστὶ καλὸν τῷ ποιητῇ νὰ ἔχῃ· ἐκ τῶν οἰκείων (τῷ νικηφόρῳ) ζήτει (τὰ προσφορώτερα)· ἔλαβες δὲ παρ' ἐμοῦ κόσμον πρόσφορον, ἵνα ὑμνῇς ἡδέως· (ἐὰν δὲ θέλῃς νὰ ἐάσῃς τὸν Αἰακὸν), ἐν ταῖς ἀρεταῖς, ἐφ' αἷς τὸ πάλαι ἐτέρπετο ὁ ἄναξ Πηλεὺς, ἠγάλλετο καὶ ἐπὶ τῷ τεμεῖν τὴν ὑπερβάλλουσαν αἰχμήν. Οὗτος καὶ Ἰωλκὸν ἐκυρίευσε μόνος ἄνευ στρατοῦ· καὶ τὴν ποντίαν Θέτιν μετὰ πόνου κατέλαβεν. Ὁ δὲ εὐρυσθενὴς Τελαμὼν σὺν τῷ Ἰολάῳ παραστάτης τῷ Ἡρακλεῖ ἐπόρθησε τὴν ὑπὸ Λαομέδοντος βασιλευομένην πόλιν· καί ποτε ἠκολούθησεν αὐτῷ καὶ ἐπὶ τὴν δύναμιν τῶν χαλκοτόξων Ἀμαζόνων· οὐδὲ ἐνίκησέ ποτε τὴν δύναμιν τῶν φρενῶν αὐτοῦ φόβος ἀνδροδάμας· διότι πᾶς ὁ ἔχων τὰς ἐπὶ τὴν

εὐδοξίαν ἀρετὰς ἐμφύτους, ἔξοχος γίνεται· ὃς δὲ ἀνὴρ ἔχει αὐτὰς διδακτὰς, μένει σκοτεινός· οὗτος ἄλλοτε ἄλλων ἐπιθυμῶν οὐδέποτε ἐβάδισε ποδὶ σταθερῷ· ἀλλὰ μυρίων ἀρετῶν διὰ τῆς διδασκαλίας σὺν ἀφυεῖ νῷ γεύεται. Ὁ δὲ ξανθὸς Ἀχιλλεὺς τὰ μὲν ἀνατρεφόμενος ἐν τοῖς οἴκοις τῆς Φιλύρας, παῖς ὢν ἑξέτης τὸ πρῶτον ἀθύρματα εἶχε μεγάλα ἔργα· διότι συχνῶς βραχυσίδηρον ἀκόντιον πάλλων ἴσα τῇ ταχύτητι τῶν ἀνέμων ἐνεποίει μαχόμενος (ἐκ τοῦ συστάδην) φόνον τοῖς ἀγριωτέροις λέουσι· καὶ κάπρους ἐφόνευε· τὰ δὲ σώματα αὐτῶν ἐκόμιζε πρὸς τὸν Κρονίδην Κένταυρον σπαίροντα ἔτι· καὶ ταῦτα μὲν ἑξέτης, λέγω, ἔπραττεν· ἔπειτα δὲ καθ' ἅπαντα τὸν λοιπὸν χρόνον τῆς ἀνατροφῆς ἐθαύμαζεν αὐτὸν ἥ τε Ἄρτεμις καὶ ἡ θρασεῖα Ἀθηνᾶ, ὅτι ἐφόνευε τὰς ἐλάφους καταλαμβάνων αὐτὰς ἄνευ κυνῶν καὶ δολίων βρόχων· διότι ἐνίκα αὐτὰς τῇ ταχύτητι. Οὗτος δ λόγος, ὃν μέλλω νὰ εἴπω, ἐστὶ παλαιός. Χείρων ὁ σοφὸς ἔθρεψεν ἔνδον ἐν τῷ αὐτοῦ σπηλαίῳ Ἰάσονα καὶ ἔπειτα Ἀσκληπιόν· τοῦτον ἐδίδαξε τὴν διὰ μαλακῆς χειρὸς διανομὴν τῶν φαρμάκων· εἶτα δὲ πάλιν ἐνύμφευσε τὴν ἀγλαόκαρπον θυγατέρα τοῦ Νηρέως· διὸ δὴ τὸν φέρτατον γόνον αὐτῆς ἔτρεφε τοῖς ἁρμοδίοις παιδεύμασιν αὐξάνων τὴν ψυχὴν καὶ τὸ σῶμα, ἵνα θαλασσίαις πνοαῖς ἀνέμων πεμφθεὶς ὑπὸ Τροίαν τὸν δορύκτυπον ἀλαλαγμὸν ὑπομένῃ τῶν τε Λυκίων καὶ Φρυγῶν, καὶ ἀγωνισάμενος πρὸς τοὺς ἐγχεσφόρους Αἰθίοπας

πήξῃ ἐν ταῖς ἑαυτοῦ φρεσὶ νὰ φονεύσῃ τὸν ὑπέρθυμον ἀνεψιὸν τοῦ Ἑλένου, τὸν Μέμνονα, ἵνα μὴ ὁ βασιλεὺς αὐτῶν ἐπιστρέψῃ πάλιν ὀπίσω οἴκαδε· ἐξ αὐτῶν δὲ τῶν κατορθωμάτων ἐγένετο ἡ τηλαυγὴς λάμψις τῶν Αἰακιδῶν, Ζεῦ· σὲ δὲ καλῶ· διότι σὸν αἷμά εἰσιν οἱ Αἰακίδαι, σοῦ δὲ ὁ ἀγών ἐστιν, ὃν ὁ Ὕμνος ἐτόξευσε τοῖς αὐτοῦ βέλεσι κελαδῶν διὰ τῆς φωνῆς τῶν νέων τὸ ἐπιχώριον χάρμα· ἡ δὲ μολπὴ ἐμπρέπει τῷ νικηφόρῳ Ἀριστοκλείδῃ, ὅστις ταύτην τὴν νῆσον παρέδωκε τῷ κλεΐζοντι λόγῳ (τῶν ποιητῶν) καὶ τὸ σεμνὸν τοῦ Πυθίου Θεάριον τερπναῖς ἀσχολίαις. Διὰ τῆς πείρας διαγινώσκεται, εἰ ἔχει τις τὸ τέλειον τῶν ἀρετῶν ἐκείνων, καθ' ἃς νέος τις, παῖς ὢν δύναται νὰ ᾖ ἐξοχώτερος τῶν νέων παίδων, ἀνὴρ ὤν, ἐξοχώτερος τῶν ἀνδρῶν, καὶ τρίτον γέρων, τῶν γερόντων. Ἕκαστον δὲ τῶν τριῶν τούτων μερῶν τοιοῦτόν ἐστι (κατὰ τὰς ἀρετὰς), οἷον ἔχομεν ἡμεῖς οἱ βροτοί· φέρει δὲ ὁ μακρὸς βίος καὶ τετάρτην ἀρετήν· διότι διδάσκει τὸν μακρόβιον νὰ ἀντιλαμβάνηται τοῦ παρόντος· καὶ τὰς τέσσαρας ταύτας ἀρετὰς ἔχει ὁ Ἀριστοκλείδης. Χαῖρε, φίλε· ἐγώ σοι πέμπω τοῦτον τὸν ἐπίνικον, ὅστις ἐστὶ μίγμα μέλιτος καὶ λευκοῦ γάλακτος· ᾧ μίγματι κερανvύμενος οἶνος ἀποτελεῖ πόμα ἐπιτήδειον νὰ ᾄδηται σὺν Αἰολικαῖς πνοαῖς αὐλῶν· καὶ ὀψὲ μὲν πέμπω· (ἐγὼ ὅμως εἰμὶ τὴν ταχύτητα τοῦ ποιεῖν ὕμνους ὅμοιος τῷ ἀετῷ)· ὁ δὲ ἀετός ἐστι ταχύτατος τῶν πτηνῶν, ὅστις μακρόθεν ἐπιπετῶν τῇ ἄγρᾳ, εὐθὺς

τοῖς ποσὶ καταλαμβάνει αὐτὴν καθημαγμένην· οἱ δὲ κρώζοντες κολοιοὶ ταπεινὰ βόσκουσιν. Σοὶ δὲ ἕνεκα τῆς ἀθλοφόρου γενναίας ἐπιθυμίας αὐγάζει λάμψις, τῆς εὐθρόνου Κλειοῦς κλεϊζούσης, ἀπὸ Νεμέας ἀπό τε Ἐπιδαύρου καὶ ἀπὸ Μεγάρων.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Δ'.

ΤΙΜΑΣΑΡΧΩι ΑΙΓΙΝΗΤΗι

ΠΑΛΑΙΣΤΗ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ εἴδους, ἐπῳδοῦ μὴ ὑπαρχούσης.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων δέκα καὶ τριῶν.

Κῶλον 1. ⏓ –́ ⏑ –́ | ⏑ ⏑ –́ Ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

„ 2. ⏑ – – ⏑ | ⏑ – Ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· ἐν τῷ ἀντιστοιχοῦντι κώλῳ τῆς β'. στροφῆς ἡ λέξις Διΐ ἀναγνωστέα ὡς μία συλλαβή.

„ 3. ⏑ –́ ⏑ –́ | ⏑ ⏑ –́ Ὡς τὸ ά. κῶλον. Ὁ δεύτερος ποῦς τῆς πρώτης συζυγίας τοῦ ἀντιστοιχοῦντος κώλου τῆς β'. ι'. στροφῆς ἐστι παρὰ τὸ σύνηθες σπονδεῖος· τῆς δὲ ιγ'. στροφῆς τὸ ἀντιστοιχοῦν κῶλον ἔχει τὸν πρῶτον πόδα τῆς ά. συζυγίας πυῤῥίχιον.

„ 4. – –́ ⏑ –́ | ⏑ ⏑ – – Ἀπ' ἐλάσσονος ἐπιωνικὸν δίμετρον ἀκατάληκτον.

„ 5. ⏒ –́ ⏑ –́ | ⏑ ⏑ – Ὅμοιον τῷ πρώτῳ.

„ 6. –́ ⏑ –́ ⏑ | ⏑ –́ ⏑ –́ Γλυκώνειον.

„ 7. ⏑ – ⏑ ⏑ – | ⏒ Ἰαμβικὸν πενθημιμερές.

Κῶλον 8. –́ ⏑ –́ ⏑ | –́ ⏑ ⏑ –́ ⏑ Τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ἀντιστοιχοῦν κῶλον τῆς Στρ. γ'. δ'. η'. ι'. ἔχει τὸν πρῶτον πόδα τῆς πρώτης συζυγίας σπονδεῖον.

„ 9. –́ ⏑ ⏑ –́ ⏑ ⏑ Δακτυλικὸν δίμετρον ἀκατάληκτον.

„ 10. –́ ⏓ – ⏑ | –́ ⏑ ⏑ –́ Ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

„ 11. ⏑ –́ ⏑ ⏑ –́ | –́ Ἰαμβικὸν πενθημιμερές.

„ 12. ⏖́ ⏑ –́ ⏑ | ⏑ –́ ⏑ –́ Γλυκώνειον, οὗ ὁ πρῶτος ταχαῖός ἐστι τρίβραχυς.

„ 13. – – ⏑ ⏑ | –́ ⏑ – ⏑ | – ⏑ Ἰωνικὸν, τρίμετρον βραχυκατάληκτον ἐπίμικτον τροχαϊκαῖς συζυγίαις.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἡ μετὰ τὴν νίκην εὐφροσύνη ἐστὶν ἄριστος ἰατρὸς τῶν ἤδη πέρας λαβόντων πόνων. Ἐὰν δὲ τῇ εὐφροσύνῃ ταύτῃ προστεθῇ καὶ ὕμνος, οὐδὲν μαλθακώτερον τούτου. Ἔτι δὲ διαιωνίζουσι διὰ τοῦ ὕμνου τὰ κατορθώματα. Εἴθε οὖν τοιοῦτον ὕμνον συνθείην ὥστε ἡ πάλη τοῦ Τιμασάρχου νὰ διαιωνίσῃ· εἴθε δέξαιτο αὐτὸν ἡ πόλις τῶν Αἰακιδῶν. Μέχρις ἐνταῦθα (ἀπὸ στ. 1-20) τὸ προοίμιον. Ἐντεῦθεν εἰσερχόμενος εἰς τὴν ὑπόθεσιν ἐπαινεῖ τὸν Τιμάσαρχον ὡς νικήσαντα δύο νίκας, τὴν περὶ ἧς ἡ ὑπόθεσις τῆς ᾠδῆς, καὶ ἑτέραν ἐν Ἀθήναις. Ἐπαινεῖ δ' ἔτι καὶ τὸν πατέρα τοῦ νικηφόρου ὡς ἄριστον κιθαριστὴν καὶ ὡς νικήσαντα ἐν Θήβαις ποτὲ ἐν ἀγῶνι κιθαριστῶν (ἀπὸ στ. 21-39). Ἐνταῦθα λαμβάνει ἀφορμὴν νὰ μεταβῇ εἰς τοὺς ἐκ τῆς Αἰγίνης ἥρωας, τοὺς Αἰακίδας· καὶ πρῶτον διηγεῖται τὰ κυριώτερα ἐκείνων, ἃ ὁ Τελαμὼν ἔπραξε σὺν τῷ Ἡρακλεῖ (ἀπὸ στ. 40-52). Ἐνταῦθα ἐᾷ τὴν περὶ τῶν τοῦ Τελαμῶνος σὺν τῷ Ἡρακλεῖ κατορθωμάτων διήγησιν καὶ μετὰ

Bayerische Staatsbibliothek MÜNCHEN

μακράν τινα αἰτιολογίαν (ἀπὸ στ. 53-70) τοῦ, ὅτι διακόπτει τὴν διήγησιν ταύτην, μεταβαίνει (στ. 71) εἰς τοὺς λοιποὺς Αἰακίδας· καὶ πρῶτον ἀναφέρει τὸν Τεῦκρον καὶ Αἴαντα καὶ Ἀχιλλέα καὶ Νεοπτόλεμον (ἀπὸ στ. 71-87). Ἐντεῦθεν διηγεῖται τὴν ὑπὸ τοῦ Πηλέως ἐκπόρθησιν τῆς Ἰωλκοῦ· πῶς οὗτος ἐσώθη ἐκ τῆς ἀπάτης, ᾗ Ἄκαστος ἐχρήσατο εἰς ἀπώλειαν αὐτοῦ, πῶς ἠδυνήθη νὰ λάβῃ σύζυγον τὴν Θέτιν· καὶ τὸ παρὰ τὸ Πήλιον συμπόσιον τῶν θεῶν, ὅπερ συνετελέσθη ἐν τοῖς τοῦ Πηλέως γάμοις (ἀπὸ στ. 88-111). Τελευτᾷ ἐνταῦθα τοὺς εἰς τοὺς Αἰακίδας ἐπαίνους (ἀπὸ στ. 112-117). Ἐπαινεῖ τὸ γένος τοῦ νικηφόρου Τιμασάρχου, ἤτοι τοὺς Θεανδρίδας, λέγων, ὅτι οὐδὲν ἄλλο γένος τῶν ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν ἤρατο ἐν Ὀλυμπίᾳ καὶ Ἰσθμοῖ καὶ Νεμέᾳ τοσαύτας νίκας, ὅσας οἱ Θεανδρίδαι (στ. 118-129). Ὑμνεῖ τὸν πρὸς μητρὸς θεῖον Καλλικλῆ ὡς νικήσαντα Ἰσθμοῖ καὶ τὸν προπάτορα αὐτοῦ γέροντα ἤδη ὄντα Εὐφάνην ὡς ἄριστον λυρικὸν ποιητὴν (στ. 130-150). Ἐπαινέσας σφόδρα καὶ τὸν ἀλείπτην τοῦ Τιμασάρχου Μελισίαν τελευτᾷ τὴν ᾠδήν.

ΕΙΣΑΓΩΓΗ

Ὁ Τιμάσαρχος ἐνίκησεν ἐν Νεμέᾳ πάλῃ ἐν παισὶν ἀγωνιζόμενος (στ. 146). Ὁ δὲ χρόνος τῆς νίκης ἄγνωστος. Ἡ δὲ ᾠδὴ αὕτη ἐγράφη, ἵνα ᾀσθῇ ἐν πομπῇ, ὡς δυνατὸν νὰ εἰκάσῃ τις ἐκ τῶν στ. 18-20. Ἀνῆκε δὲ ὁ Τιμάσαρχος τῇ φυλῇ τῶν Θεανδριδῶν (στ. 118).

Στροφὴ αʹ. Κ. ιγʹ.

Ἄριστος εὐφροσύνα
Πόνων κεκριμένων
Ἰατρός· αἱ δὲ σοφαὶ
Μοισᾶν θυγατέρες ἀοιδαὶ
Θέλξαν νιν ἀπτόμεναι.
Οὐδὲ θερμὸν ὕδωρ τόσον

— Στ. 1-2. Ἄριστος . . . κεκριμένων ἰατρὸς] «ὅταν τις πονήσας νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἄριστον ἰατρόν» Π. Σ. — πόνων κεκριμένων] «πόνων, οἳ ἔλαβον ἤδη κρίσιν, ἤτοι τέλος». Κεκριμένων τῷ πονήσαντι, ἤτοι ὑπὸ τοῦ νικήσαντος. — ἰατρὸς ἄριστος] Παράβ. πρὸς Νεμ. Γ.ʹ 28-31.

— Στ. 3-5. αἱ δὲ σοφαὶ Μοισᾶν . . . ἀπτόμεναι] «ἐὰν δὲ ἅπτωνται τῶν πόνων τούτων καὶ αἱ ᾠδαὶ πρὸς τῇ εὐφροσύνῃ, ἣ φύσει παραγίνεται ἐκ μόνης τῆς νίκης, θέλγουσι τὸν νικήσαντα». — θέλξαν νιν] ἀντιχρονισμὸς ἀντὶ τοῦ «πεφύκασι θέλγειν αὐτόν». Τὸ δέ νιν ἀναφέρεται κατὰ σύνεσιν πρὸς τὸ ἐν τῇ λέξει κεκριμένων ἐννοούμενον «τῷ πονήσαντι»· ἄρα «ἔθελξαν τὸν νικήσαντα»· ἢ συνεκδοχικῶς ἀναφέρεται πρὸς τὸ εὐφροσύνῃ ἀντὶ τοῦ ἔχοντος τὴν εὐφροσύνην, τοῦ νικήσαντος.

— Στ. 6-9. οὐδὲ θερμὸν . . . συνάορος] «Οὐδὲ τὰ θερμὰ λουτρὰ ἀναρρώννυσι τὰ πεπονημένα μέλη,

---

στ. 6. τόσσον· ταύτην τὴν γραφὴν ἅπασαι αἱ παλαιαὶ ἐκδόσεις οὐ παρεδέξαντο· παρὰ Πλουτάρχῳ περὶ Ἀναπαύσ. φέρεται γραφὴ τοσόνδε.

Γε μαλθακὰ τεύχει
Γυῖα, τόσσον εὐλογία φόρ-
μιγγι συνάορος.
Ῥῆμα δ' ἐργμάτων χρονιώ-
τερον βιοτεύει,
Ὅ, τι κε σὺν Χαρίτων τύχᾳ
Γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

ὅσον ὁ ἔπαινος, ὁ ἐπίνικος ᾀδόμενος σὺν φόρμιγγι». — τόσον — τόσσον] «τοσοῦτον — ὅσον». Ὀρθῶς εἰκάζει ὁ Hermannus, ὅτι ἔθηκε *τόσσον* ἀτὶ τοῦ *ὅσσον*, ἤτοι ὅσον, πρὸς ἀποφυγὴν τῆς χασμῳδίας, ὡς φαίνεται ὅτι καὶ παρὰ Καλλιμάχῳ (ὕμν. εἰς Ἀπολλ. 81 καὶ 94) διὰ τὸν αὐτὸν λόγον ἐγένετο ἡ αὐτὴ χρῆσις. — εὐλογία συνάορος] «οἷον συμφερομένη, κοινωνοῦσα» Π. Σ.

— Στ. 10-13. ῥῆμα . . . βαθείας] «ὁ ἔπαινος τῶν πεπραγμένων, ὃν ἂν ἐκβάλῃ ἐκ βαθείας φρενὸς γλῶσσα τυχοῦσα καὶ τῆς βοηθείας τῶν Χαρίτων, ὁ ἔπαινος οὗτος μακρότερον διασώζεται τοῦ ἄνευ Χαρίτων ἐπαίνου» — ῥῆμα ἐργμάτων] «λόγος περὶ κατορθωμάτων». — χρονιώτερον] οὐχὶ *χρονιώτερον ἐργμάτων*, διότι ἡ σύνταξις αὕτη ἐξάγει ἐξήγησιν ἄτοπον· διότι ἐφ' ὅσον ἡ ἱστορία τῶν πεπραγμένων ὑπάρχει ὑπάρχουσιν ἐν τῇ μνήμῃ καὶ τὰ πεπραγμένα· ἀπωλέσθη ἡ ἱστορία, ἀπωλέσθησαν ἐκ τῆς μνήμης καὶ τὰ ἱστορούμενα ἔργα. Τὸ δεύτερον λοιπὸν μέρος τῆς παραθέσεώς ἐστι τὸ ἐναντίον τοῦ, *ὅ, τι κὲν σὺν Χαρίτων . . . βαθείας*. Ἡ σύνταξις ἄρα τοῦ ὅλου ἐστὶ *ῥῆμα* (περὶ) *ἐργμάτων, ὅ, τι κε σὺν Χαρίτων . . . βαθείας, βιοτεύει χρονιώτερον ἐκείνου* (τοῦ ῥήματος), *ὅ, τι κε μὴ*

στ. 7. *τέγγει* παρὰ τῷ αὐτῷ Πλουτάρχῳ αὐτόθι.

σ ὺ ν Χ α ρ ί τ ω ν τ ύ χ ᾳ , μ η δ ᾽ ἐ κ β α θ ε ί α ς φρενὸς ἐ ξ έ λ ο ι γλῶσσα. — σὺν τύχᾳ Χαρίτων] «γλῶσσα τυχοῦσα τῶν Χαρίτων». Ὅτι δὲ αἱ Χάριτες ποιοῦσι τὰ τερπνὰ καὶ ἡδέα, πολλάκις εἴρηται. — φρενὸς ἐξέλοι βαθείας] ἵνα βιοτεύῃ χρόνιον τὸ ῥῆμα, οὐκ ἀρκεῖ μόνον ἡ συνετὴ καὶ βαθεῖα διάνοια, ἀλλὰ καὶ ἡ βοήθεια τῶν Χαρίτων.

— Στ. 14-17. Τό μοι θέμεν . . . εἴη] «Τοῦτο, ὃ ἂν ἀρωγοὺς ἔχουσα γλῶσσα τὰς Χάριτας ἐκ βαθείας φρενὸς ἐξέλοι· τοῦτο, λέγω, εἴθε μοι γένοιτο δυνατὸν νὰ συνθέσω ἔπαινον τῷ τε Διῒ καὶ Νεμέᾳ καὶ τῇ πάλῃ τοῦ Τιμασάρχου». Πόσον καλῶς εἰσέρχεται εἰς τὴν ὑπόθεσιν· πρῶτον εἶπεν ὡς ἀξίωμα τοὺς στίχους 10-13. ἐνταῦθα δὲ εὐχόμενος νὰ ὑπάρξῃ αὐτῷ δυνατὸν νὰ συγγράψῃ τὸν ἐπίνικον σύμφωνα τῷ ἀξιώματι, ἄρχεται τῆς ὑποθέσεως. — Τὸ] οὐχὶ «διὰ τοῦτο», ἀλλὰ «τοῦτο τὸ ῥῆμα, ὅ,τι κε σὺν . . . βαθείας» ὥσπερ ἑρμηνεύουσι καὶ οἱ Π. Σ. — Κρονίδᾳ τε καὶ Νεμέᾳ πάλᾳ τε] ὑμνῶν τις τὴν πάλην τοῦ Τιμασάρχου δέον νὰ ὑμνήσῃ συνάμα καὶ τὴν Νεμέαν, ὅπου γέγονεν ἡ νίκη, καὶ τὸν Δία τὸν προστάτην τῶν ἐν Νεμέᾳ ἀγώνων. Ὅθεν καὶ τὰ τρία ταῦτα ὡς ἕν τι θεωρητέα. — ὕμνου προκώμιον] ἴσον «ὕμνον προκώμιον». Ὕ μ ν ο ς ἐ π ι κ ώ μ ι ο ς λέγεται ὁ ὕμνος ὁ γεγραμμένος καὶ τετονωμένος ἤτοι μεμελεασμένος καὶ ὑπὸ τοῦ χοροστάτου καὶ τῶν χορευτῶν δεδοκιμασμένος καὶ ἤδη ἕτοιμος νὰ ᾀσθῇ ἐν κώμῳ ἢ πομπῇ· ὕ μ ν ο ς ἄρα π ρ ο κ ώ μ ι ό ς ἐστιν ὁ συντεθειμένος μὲν καὶ συγγεγραμμένος, ἴσως δὲ καὶ μεμελεασμένος, μὴ δεδοκιμασμένος ὅμως ἔτι ὑπὸ τῶν χορευτῶν καὶ μὴ ἕτοιμος νὰ ᾀσθῇ ἐν κώμῳ. Ταύτην τὴν ἐξήγησιν φέρουσι καὶ οἱ Π. Σ. λέγοντες «ὕμνου προκώμιον εἶπε διὰ τὸ ὑπὸ τῶν χορευόντων μὲν λέγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν, πρὸ δὲ τῆς τούτων χορείας καὶ κωμασίας γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. Τὸ προηγούμενον οὖν τοῦ κώμου (τὸ

Α. ά. Κ. ιγ'.

Τό μοι θέμεν Κρονίδα
Τε Διΐ καὶ Νεμέα
Τιμασάρχου τε πάλα
Ὕμνου προκώμιον εἴη·
Δέξαιτο δ' Αἰακιδᾶν
Ἠΰπυργον ἕδος, δίκα
Ξεναρκέϊ κοινὸν
Φέγγος· εἰ δ' ἔτι ζαμενεῖ Τι-
μόκριτος ἁλίῳ
Σὸς πατὴρ ἐθάλπετο, ποι-
κίλον κιθαρίζων,
Θαμά κε, τῷ δε μέλει κλιθεὶς,
Ὕμνον κελάδησε καλλίνικον

γραφῆναι) προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα· προκώμιον τὸ πρὸ τοῦ κώμου γραφόμενον. Ὁ δὲ νοῦς· γένοιτό μοι ἐπιτυχεῖν γράφοντι τοὺς ἐπαίνους πρὸ τοῦ κωμάζειν».

— Στ. 18-20. Δέξαιτο . . . κοινὸν φέγγος] «εἴθε δέξαιτο τὸν ὕμνον τοῦτον ἡ εὔπυργος πόλις τῶν Αἰακιδῶν ἡ φωτίζουσα κοινῶς πάσας τὰς πόλεις, ἐν αἷς ὑπάρχει δίκη ξεναρκὴς, καὶ διδάσκουσα αὐτὰς, πῶς δεῖ χρῆσθαι ταύτῃ τῇ δικαιοσύνῃ, ἵνα ἐπαρκῇ τοῖς ξένοις». Ἐν ᾧ παρακαλεῖ τὴν Αἴγιναν νὰ δεχθῇ τὸν ὕμνον, τοσούτῳ θαυμαστῶς ἐπαινεῖ συνάμα αὐτὴν διὰ τὴν πρὸς τοὺς ξένους δικαιοσύνην, ὅσον αἱ λέξεις, αἷς ἐχρήσατο εἰς ἔπαινον ὀλίγισταί εἰσιν· ἅπας ὁ ἐν Ὀλυμπ. (Η.' 28-36) ἐπὶ ταύτῃ τῇ ἀρετῇ τῆς Αἰγίνης ἔπαινος περιλαμβάνεται ἐν ταῖς τέσσαρσι ταύταις λέξεσιν. — δέξαιτο] οὐχὶ τὸ προκώμιον τοῦ ὕμνου, ἤτοι τὴν σύνθεσιν μόνον τῶν λόγων· ἀλλὰ συνεκδοχικῶς τὸν ὕμνον συντεθειμένον

τε καὶ τετονωμένον καὶ δεδοκιμασμένον καὶ ἤδη ἐν πομπῇ ᾀδόμενον· ἄρα εὔχεται νὰ τέρψῃ τὸν λαὸν τῆς Αἰγίνης ὁ ὕμνος. — δίκᾳ . . . φέγγος] οὐχὶ τὸν ὕμνον οὐδὲ τὸ προκώμιον καλεῖ φέγγος, ἀλλὰ τὸ εὔπυργον ἕδος, τὴν πόλιν τῶν Αἰγινητῶν· καλεῖ δὲ αὐτὴν φέγγος τῇ ξεναρκεῖ δίκῃ, οὐχὶ δηλονότι τῇ δίκῃ τῇ ὑπαρχούσῃ ἐν Αἰγίνῃ, ἀλλὰ φέγγος κοινὸν πάσῃ οἵᾳ δήποτε ξεναρκεῖ δίκῃ, ὑπαρχούσῃ ἐν οἵᾳ δήποτε πόλει. Βούλεται λοιπὸν νὰ εἴπῃ τούτοις ποιητικῶς ὁ Πίνδαρος, ὅτι ἡ πόλις τῶν Αἰγινητῶν φωτίζει πάσας κοινῶς τὰς ἐν οἵᾳδήποτε πόλει ὑπαρχούσας ξεναρκεῖς δίκας, καὶ διδάσκει αὐτὰς ὡς πρόσωπα, πῶς πρέπει νὰ φέρωνται, ἵνα τῷ ὄντι ἀρκῶσι, βοηθῶσι τοῖς ξένοις. Φαίνεται, ὅτι καὶ ὁ ἡμέτερος Δούκας τοιαύτην τινὰ ἔννοιαν ἔσχε παραφράζων «ἡ δὲ τῶν Αἰακιδῶν πόλις, τὸ κοινὸν σέμνωμα τῶν Ἑλλήνων, ἐφ᾽ οἷς πρυτανεύει τὰ δίκαια τοῖς ξένοις».

— Στ. 21-24. εἰ δ᾽ ἔτι ζαμενεῖ . . . κιθαρίζων] «εἰ ἔζη σοῦ ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε, ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος, ἢ ὁ μουσικώτατος· ἤσκουν γὰρ οἱ ἀρχαῖοι μουσικήν» Π. Σ. — ζαμενεῖ] «τῷ ἄγαν ξηραντικῷ· τὸ γὰρ ζα ἐπιτατικόν ἐστι μόριον ἀεί· τῷ ἰσχυροτάτῳ οὖν φασιν» Π. Σ. — ποικίλον κιθαρίζων] «ὃς ἔξοχος κιθαριστὴς ἦν».

— Στ. 25-30. θαμά κε . . . πρὸς αὐλάν] Τρεῖς νίκας ἐν τούτοις ὑμνεῖ ὁ ποιητής, τὰς μὲν δύο ἀθλητικὰς τοῦ Τιμασάρχου, τὴν δὲ τρίτην μουσικὴν τοῦ Τιμοκρίτου τοῦ πατρός· καὶ ἡ μὲν πρώτη νίκη ἐστὶν ἡ ἐν Νεμέᾳ, ἧς ἐστιν ἡ ὑπόθεσις τῆς παρούσης ᾠδῆς ἡ δὲ δευτέρα ἐστὶν, ἣν ὁ Τιμάσαρχος ἤρατο ἔν τινι τῶν ἐν Ἀθήναις ἑορτῶν· ἡ δὲ τρίτη ἐστὶν ἐκείνη, ἣν ἤρατο ὁ πατὴρ αὐτοῦ Τιμόκριτος ἐν Θήβαις περὶ τὸν ναὸν τοῦ Ἡρακλέους. Κατὰ ταύτην τὴν ὑπόθεσιν ἅπαντα τὰ τοῦ χωρίου ἔχουσι καλῶς, οὐδὲν λαμβάνει ἑρμηνείαν βεβιασμένην· ὅ τε τρόπος τοῦ ὑμνεῖν ἐστιν ἄριστος καὶ ἄξιος

Σ. β'. Κ. ιγ'.

Κλεωναίου τ' ἀπ' ἀγῶ-
νος ὅρμον στεφάνων
Πέμψαντα καὶ λιπαρᾶν
Εὐωνύμων ἀπ' Ἀθανᾶν,
Θήβαις τ' ἐν ἑπταπύλοις·
Οὕνεκ' Ἀμφιτρύωνος ἀ-
γλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες

τοῦ Πινδάρου. Ἐὰν δὲ ὑποτεθῇ, ὅτι ἡ τρίτη νίκη ἡ ἐν Θήβαις οὔκ ἐστι νίκη τοῦ πατρὸς ἐν μουσικῇ, ἤτοι ἐν κιθάρᾳ, ἀλλὰ τοῦ υἱοῦ, ἀμφιβάλλω, εἰ ὁ ποιητὴς ἤθελεν ἀξιώσῃ αὐτὸν τοσαύτης μνήμης μόνον καὶ μόνον, διότι ἦν ἁπλοῦς κιθαριστὴς μηδεμίαν ἐξοχότητα ἐν τῇ αὐτοῦ τέχνῃ ἐπιδείξας· διότι ἀνάξιον λόγου ἐστὶ νὰ μνημονεύῃ αὐτοῦ λέγων «ὁ πατήρ σου ἦν κιθαριστὴς, καὶ εἰ νῦν ἔζη, ἤθελε κελαδήσῃ διὰ τῆς κιθάρας τὸν ὕμνον, ὅστις ὑμνεῖ καὶ τὰς τρεῖς σου νίκας. — τᾷδε μέλει κλιθεὶς] «προσχὼν καὶ ἐπιστήσας τὸν νοῦν τῇ μελῳδίᾳ ταύτης τῆς ᾠδῆς». Εἰ μὴ προσετίθει τὰς λέξεις ταύτας ὁ ποιητὴς, ἄριστα ἠδύνατό τις νὰ εἰκάσῃ, ὅτι ὁ πατὴρ τοῦ Τιμασάρχου ἦν καὶ ποιητὴς ἀγαθὸς καὶ κιθαριστὴς ἄριστος· καὶ οὕτω καλῶς ἂν εἶχε νὰ μνημονεύσῃ ὁ Πίνδαρος τῆς ἀρετῆς ταύτης τοῦ πατρὸς, καὶ ὑποτεθέντος ὅτι οὐχὶ ὁ πατὴρ, ἀλλ' ὁ υἱὸς ἐνίκησεν ἐν Θήβαις· νῦν δὲ διὰ τῶν λέξεων τούτων δηλοῖ ὁ Πίνδαρος, ὅτι ὁ πατὴρ τοῦ Τιμασάρχου οὐκ ἦν ποιητής. — ὕμνον καλλίνικον πέμψαντα] Ὁ ποιητὴς εἶχεν ἐν τῇ διανοίᾳ τὴν ἔννοιαν τοῦ καλλίνικον ἀνεπτυγμένην οὕτως «ὕμνον καλλύνοντα νίκην πέμψασαν»· ἐκθεὶς δὲ τὴν ἀνεπτυγμένην ταύτην ἔννοιαν συνεπτυγμένως, ὡς ἐπίθετον τοῦ ὕμνον, ἀνάγκη καὶ τὸ πέμψασαν ἔτρεψεν εἰς ἀρσενικὸν, εἰ μὴ εἴπει

τις, ὅτι διὰ τοῦ ὕ μ ν ο ν κ α λ λ ί ν ι κ ο ν ἐννοεῖ τὴν ὑπὸ τοῦ κήρυκος ἀγόρευσιν τῆς νίκης· ὅπερ οὐ δοκεῖ γέ μοι τοσοῦτον ὀρθόν. — Κλεωναίου ἀπ᾽ ἀγῶνος] Καλεῖ οὕτως τὸν Νεμεαῖον ἀγῶνα, ἢ διότι προέστησαν τοῦ ἀγῶνος τούτου πρῶτοι οἱ Κλεωναῖοι, ἢ διότι ἡ Νεμέα καὶ τὸ ἄλσος, ἐν ᾧ ἐτελεῖτο ὁ ἀγών, ἦν πλησίον τῶν Κλεωνῶν. — λιπαρᾶν ἀπ᾽ Ἀθανᾶν] ἴσον «ἀπ᾽ ἀγῶνος ἐν λιπαραῖς Ἀθήναις»· διότι παραλειφθέντος τοῦ ἀ γ ῶ ν ο ς ὡς εὐκόλως ἐκ τοῦ ἡγουμένου κώλου παραλαμβανομένου, ἐξ ἀνάγκης τὸ «ἐν λιπαραῖς Ἀθήναις, ἐφειλκύσθη ὑπὸ τῆς ἀ π ό· «Ἄδηλον δὲ ποῖον ἀγῶνα ἐνίκησε· πολλοὶ γὰρ τελοῦνται, Παναθήναια καὶ ἄλλοι» Π. Σ. — Θήβαις τ᾽ ἐν ἑπταπύλοις] ἐνταῦθα ἐπειδὴ παρελείφθη οὐ μόνον τὸ ἀ γ ῶ ν ο ς ἀλλὰ καὶ ἡ ἀ π ό· διὰ τοῦτο οὐδὲ ἐγένετο ἔφελξις, οὐδ᾽ ἦν δυνατὸν νὰ γένηται. Ὅθεν ἀναπληρωτέον «ἀπό τε ἀγῶνος Θήβαις ἐν ἑπταπύλοις». Τὸν δὲ ἀγῶνα τοῦτον οὐκ ἠγωνίσατο, ὡς εἴπομεν ἀνωτέρω, ὁ Τιμάσαρχος, ἀλλ᾽ αὐτὸς ὁ πατὴρ Τιμόκριτος. — οὕνεκ᾽ Ἀμφιτρύωνος . . . πρὸς αὐλὰν] Πάντα ταῦτα περιγραφή ἐστι τῆς νίκης, ἣν ὁ πατὴρ ἐνίκησεν ἐν Θήβαις. Ἐὰν δέ τις ὑποθῇ, ὅτι ἐνίκησεν οὐχὶ ὁ πατήρ, ἀλλ᾽ ὁ υἱός, πῶς δύναται νὰ αἰτιολογήσῃ τὴν χρῆσιν τοῦ τρίτου προσώπου ἀντὶ τοῦ δευτέρου· διότι πρὸς τὸν υἱὸν ἀποτείνεται. Ὅθεν ἀντὶ τοῦ μ ί γ ν υ ό ν ν ι ν ἔδει νὰ εἴπῃ μ ί γ ν υ ό ν σ ε καὶ ἀντὶ τοῦ κ α τ έ δ ρ α μ ε ν «κατέδραμες». Καὶ τὸ μὲν μ ί γ ν υ ό ν ν ι ν ὑποτεθήτω, ὅτι δύναται νὰ ἑρμηνευθῇ οὕτως «οἱ Καδμεῖοι ἐμίγνυόν σ ε ἄνθεσιν α ὐ τ ῷ» ἐξυπονοουμένης τῆς ἀντωνυμίας σ ε καὶ ἐκλαμβανομένης τῆς ν ι ν ἀντὶ δοτικῆς, ὅπερ εὕρηται πολλάκις παρὰ Πινδάρῳ. Ὑποτεθήτω λοιπόν, ὅτι ἡ ἔννοιά ἐστιν· «οἱ Θηβαῖοι ἐστεφάνουν σε, ὅπερ ἔτερπεν αὐτὸν (ν ι ν)»· δηλαδὴ ἐκλαμβανομένης τῆς ν ι ν ὡς δοτικῆς χαριστικῆς, ἢ ἠθικῆς. Τὸ κ α τ έ δ ρ α μ ε ν ὅμως μένει ἀναιτιολόγητον. Οὐδὲ δύναται νὰ εἴπῃ τις, ὅτι τὸ χω-

Ἄνθεσι μίγνυον
Αἰγίνας ἕκατι· φίλοι-
σι γὰρ φίλος ἐλθὼν
Ξένιον ἄστυ κατέδραμεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

'Α. β'. Κ. ιγ'.

Ξὺν ᾧ ποτε Τρωΐαν
Καρτερὸς Τελαμὼν
Πόρθησε καὶ Μέροπας
Καὶ τὸν μέγαν πολεμιστὰν

ρίον τοῦτο ἀπεμακρύνθη πολὺ ἀπὸ τῶν στίχων (23-26 σὸς πατὴρ . . . κελάδησε), καὶ διὰ τοῦτο ὑποκρίνεται ὁ ποιητὴς λήθην· οὐδὲ παρενέπεσον ἐν τῷ μέσῳ ἐπεισόδιοί τινες ἔννοιαι, αἳ διετάραξαν τὴν συνέχειαν τοῦ λόγου. Ἐκ πάντων οὖν τούτων ἕπεται, ὅτι ὁ Τιμόκριτος ἐνίκησεν ἐν Θήβαις ἐν τῇ ἑορτῇ τῶν Ἡρακλείων, οὐχὶ ὅμως ἀθλητικὸν ἀγῶνα ἀλλὰ μουσικόν· και οὐκ ἀναφέρεται μὲν, ὅτι ἐν τῇ ἑορτῇ ταύτῃ ἐτελοῦντο καὶ μουσικοὶ ἀγῶνες· ἀλλὰ τί τὸ παράδοξον, εἰ ἐνίοτε, ὅτε πολλοὶ μουσικοὶ παρεγίνοντο ὡς θεαταὶ τῶν ἀγώνων, ἐπετρέπετο αὐτοῖς νὰ ἀγωνίσωνται καὶ μουσικοὺς ἀγῶνας. — οὕνεκα] διότι. — Ἀμφιτρύωνος παρὰ τύμβον] Τὰ Ἰολάεια, ἢ Ἡράκλεια, ἐν οἷς ἀγωνισάμενος ὁ Τιμόκριτος ἐνίκησεν, ἐτελοῦντο παρὰ τὸν τύμβον τοῦ Ἀμφιτρύωνος, ὃς ἦν κενοτάφιον Ἀμφιτρύωνος καὶ Ἰολάου. Περὶ τοῦ Ἀμφιτρύωνος τάφου καὶ Ἰολαείων ὅρα Πυθ. Θ.' Σημ. στ. 137-159. — Αἰγίνας ἕκατι] «τῆς ἡρωΐδος Αἰγίνης

στ. 40. Τρωΐαν, τὸ ω βραχὺ, διότι ἀκολουθεῖ φωνῆεν.

στ. 41. Τοῦ μέτρου ἕνεκα διορθοῦσιν εἰς κραταιός. Ἀλλὰ ὁ πρῶτος ποὺς τοῦ ἀντισπάστου τρέπεται εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα.

γυναικὸς ἕνεκεν, διὰ τὸ συγγενές· Θήβη γὰρ καὶ Αἴγινα ἀδελφαὶ θυγατέρες Ἀσωποῦ τοῦ ποταμοῦ, ἀφ' ὧν καὶ αἱ προσηγορίαι τῶν πόλεων» Π. Σ. Σύναπτε οὐκ ἀέκοντες Αἰγίνας ἕκατι. — φίλοισι φίλος ἐλθὼν] «πρὸς φίλους οὖν, φησὶ, φίλος ἦλθε, πρὸς Θηβαίους Αἰγινήτης ὤν» Π. Σ. — ξένιον . . . κατέδραμεν] «ξένιον ἄστυ διῆλθεν». Καλῶς βούλεται νὰ εἴπῃ ὁ Π. Σ., ὅτι καλεῖ τὰς Θήβας ἄστυ ξένιον τῇ Αἰγίνῃ «διότι Πηλεὺς καὶ Τελαμὼν, Αἰγινῆται ὄντες, ὅτε ἔμελλε στρατεύειν εἰς Ἴλιον Ἡρακλῆς, ἐπεξενώθησαν αὐτῷ· διὸ ἐποίησε, ξὺν ᾧ ποτε Τρωΐαν». Π. Σ. — αὐλὰν Ἡρακλέος] Ὁ Π. Σ. νομίζει, ὅτι ὁ Πίνδαρος καλεῖ οὕτω τὰς Θήβας· οὐχὶ ὅμως τὰς Θήβας, ἀλλὰ τὸ παρὰ τὸν τύμβον τοῦ Ἀμφιτρύωνος μέρος, ὅπου ἐτελοῦντο τὰ Ἡράκλεια, ὅπου καὶ ἠγωνίσατο, καλεῖ αὐλὴν Ἡρακλέους.

— Στ. 40-49. ξὺν ᾧ ποτε . . . δὶς τόσους] «σὺν ᾧ ποτε Ἡρακλεῖ ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γενναῖος Τελαμὼν ἐπόρθησε τὴν Τροίαν, ἐπόρθησε δὲ σὺν αὐτῷ καὶ τοὺς νῦν μὲν Κῴους λεγομένους νησιώτας, τότε δὲ κεκλημένους Μέροπας ἀπὸ Μέροπος, ἔτι γε μὴν ἐπόρθησε καὶ τὸν μέγιστον καὶ ἐκπληκτικώτατον τῶν Γιγάντων Ἀλκυονέα» Π. Σ. — καὶ Μέροπας] «ὅτι Ἡρακλῆς ἐπόρθησε τὴν Κῶ ἀπὸ τῆς Ἀσίας κατιὼν, καὶ Ὅμηρος μαρτυρεῖ (Ἰλ. ξ. 255. σ. 28).

Καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην
ἀπένεικας·

ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλου τοῦ βασιλέως θυγατέρα, ἀφ' ἧς ἔσχεν υἱὸν Θεσσαλὸν, οὗ παῖδες Φείδιππος καὶ Ἄτιφος ἐν Ἰλίῳ στρατεύσαντες· λέγεται δὲ πεπορθηκέναι διὰ τοὺς Χαλκιόπης ἔρωτας τῆς θυγατρὸς Εὐρυπύλου τοῦ βασιλέως τὴν Κῶ» Π. Σ. — καὶ τὸν Ἀλκυονῆ] «οὗτος ὁ Ἀλκυονεὺς εἷς τῶν Γιγάντων λέγεται περὶ τὸν ἰσθμὸν τῆς ἐν Θράκῃ Παλ-

Ἔκπαγλον Ἀλκυονῆ,
Οὐ τετραορίας γε πρὶν
Δυώδεκα πέτρῳ
Ἥρωάς τ' ἐπεμβεβαῶτας
Ἱπποδάμους ἕλεν
Δὶς τόσσους· ἀπειρομάχας
Ἑὼν κε φανείη
Λόγον ὁ μὴ ξυνιείς· ἐπεὶ
Ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

Σ. γ'. Κ. ιγ'.

Τὰ μακρὰ δ' ἐξενέπειν

λήνης (παράβ. Ἰσθ. ΣΤ.' 47-48) συμβεβηκέναι Ἡρακλεῖ, οὗ (ὅπου) τὰς βοῦς (Γηρυόνου) Ἡρακλῆς ἐξ Ἐρυθείας παρήλαυνεν» Π. Σ. παράβαλε πρὸς Ἀπολλοδώρου Β.' κα.' 10-11. — οὔ γε, πρὶν τετραορίας δυώδεκα . . - ἕλεν] «οὔ γε ἐπόρθησεν (ἀνεῖλε) τὸν Ἀλκυονέα πρότερον Ἡρακλῆς, πρὶν Ἀλκυονεὺς ἕλεν δώδεκα αὐτοῦ ἅρματα» — γε] συναπτέον τῷ ο ὐ οὕτως ο ὔ γ ε. — δώδεκα . . . δὶς τόσους] «Μετὰ γὰρ τὸ συντρίψαι δώδεκα ἅρματα τοῦ Ἡρακλέους καὶ εἰκοσιτέσσαρας ἄνδρας (ἕκαστον γὰρ ἅρμα ἔφερε τὸν πολεμιστὴν καὶ τὸν παραιβάτην·) λίθῳ μεγίστῳ, τὸ τελευταῖον κατ' αὐτοῦ τὸν λίθον ἔρριψεν, ὃν τῷ ῥοπάλῳ ἀποσεισάμενος οὕτως ἀπέκτεινε τὸν Ἀλκυονέα, καί φασι κεῖσθαι τὸν λίθον ἐν τῷ Ἰσθμῷ· λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ἡρακλεῖ καὶ τὸν Τελαμῶνα» Π. Σ.

στ. 49. τ ό σ ο υ ς διόρθωσις ἕνεκα τοῦ μέτρου· ἐπειδὴ κατὰ τὴν γραφὴν τῶν χειρογράφων τ ό σ σ ο ς ὁ πρῶτος ποὺς τοῦ κώλου ἐστὶ σπονδεῖος· ἀλλὰ καὶ ἐν τῇ γ'. στροφῇ καὶ ἐν τῇ ζ'. ὁ πρῶτος ποῦς τοῦ ἀντιστοιχοῦντος κώλου ἐστὶ σπονδεῖος.

— Στ. 49-52. ἀπειρομάχας . . . ὁ μὴ ξυνιεὶς] «ὁ ἀπορῶν, διὰ τί ὁ μέγας ἐκεῖνος ἥρως καὶ ἡμίθεος τοσαύτην ἔλαβε ζημίαν παρὰ τοῦ Γίγαντος καὶ εἰς τοσοῦτον κινδύνου ἦλθε, καὶ μὴ ἐννοῶν, ὅτι ἦν δυνατὸν νὰ κινδυνεύσῃ οὕτω καὶ ὁ Ἡρακλῆς, ἄπειρός ἐστι μάχης· ἐπειδὴ πράττων καὶ ἐπιτελῶν τι κατόρθωμα εἰκός ἐστι καὶ νὰ πάθῃ τι». Τὸ νὰ διηγηθῇ ὁ Πίνδαρος τὸν φόνον τοῦ Ἀλκυονέως οὐχὶ ἁπλοῦν ἀλλὰ καὶ μετὰ τῆς ἀπωλείας ἁρμάτων καὶ ἑταίρων τοῦ Ἡρακλέους προστιθέμενος καὶ ταύτην τὴν παρατήρησιν πρὸς αἰτιολογίαν· ταῦτα ἐποίησαν τὸν Π. Σ. νὰ εἰκάσῃ ὀρθῶς «εἴη δ' ἂν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῆς περὶ τὸν Ἡρακλέα ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ· οὕτω γὰρ τὸν ὅμοιον λόγον ἕξει ἡ παραβολή· ὡς γὰρ ὁ Ἡρακλῆς ἐπὶ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕστερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής· ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι ἢ ἄλλο τι τοιοῦτον ὑπομεῖναι». — λόγον] «ὃν εἶπον περὶ τῆς ἀπωλείας τῶν ἁρμάτων καὶ τῶν ἑταίρων τοῦ Ἡρακλέους»· ὁ μὴ ξυνιεὶς] ὁ θαυμάζων, ὁ μὴ πιστεύων. — ῥέζοντά τι . . . ἔοικεν] «φησὶ παρὰ τὸ Ὁμηρικὸν (Ἰλ. σ. 315). Ξ υ ν ὸ ς Ἐ ν υ ά λ ι ο ς· ἔπαθε γάρ τι καὶ ὁ Ἡρακλῆς ἀποβαλὼν τοὺς ἑταίρους· παρὰ τοῦτο ὁ Τραγικός·

Τ ὸ ν δ ρ ῶ ν τ α π ο ῦ τ ι κ α ὶ π α θ ε ῖ ν ὀ φ ε ί λ ε τ α ι» Π. Σ.

— Στ. 53-70. Τὰ μακρὰ . . . τελέσει] Ἡ συνάφεια τῶν ἐννοιῶν βαίνει οὕτως «Πλείονα δὲ νὰ ᾄδω περὶ τῶν μετὰ τοῦ Τελαμῶνος κατορθωμάτων τοῦ Ἡρακλέους κωλύει με καὶ ὁ νόμος, καθ' ὃν συντίθεται ὁ ἐπίνικος, καὶ ὁ κατεπείγων καιρός· διότι ἐπιθυμῶ σφόδρα νὰ ᾀσθῇ ὁ ὕμνος ἐν νουμηνίᾳ· διὸ καίτοι εἰμὶ ἐν τῷ μέσῳ τῆς διηγήσεως τῶν μετὰ τοῦ Τελαμῶνος ἔργων τοῦ Ἡρακλέους, ὅμως ἀντίτεινε, ὦ ψυχή, πρὸς τὴν ἐμὴν ἐπιθυμίαν καὶ πρὸς τὴν ἐπιβουλὴν τὴν ὑπὸ τῶν ἐχθρῶν

Ἐρύκει με τεθμὸς
Ὧραί τ' ἐπειγόμεναι·
Ἴϋγγι δ' ἕλκομαι ἦτορ
Νουμηνίᾳ θιγέμεν·
Ἔμπα, καί περ ἔχει βαθεῖ-
α ποντιὰς ἅλμα
Μέσσον, ἀντίτειν' ἐπιβουλί-
ᾳ· σφόδρα δόξομεν

γενησομένην μοι· διότι ἐὰν διακόψωμεν τὴν διήγησιν τούτων, θὰ φανῶμεν ὑπέρτεροι τῶν ἐχθρῶν· ἀνὴρ δέ τις φθονερὸς τὴν ἐπὶ ἐμῇ ἀδοξίᾳ ἑαυτοῦ προσδοκίαν ὄψεται ματαιωθεῖσαν· ἡ δὲ ἐμὴ ἐκ θεοῦ ποιητικὴ ἀρετὴ βεβαίως ἐκλάμψει σὺν τῷ χρόνῳ καὶ φανήσεται πεπρωμένη οὖσα». — τὰ μακρὰ] «τὰ πολλὰ καὶ μακρῶν δεόμενα λόγων περὶ τῶν μετὰ τοῦ Τελαμῶνος κατορθωμάτων τοῦ Ἡρακλέους». — τεθμὸς] «ὁ νόμος τοῦ ἐγκωμίου, ὁ εἰωθὼς θεσμὸς τοῦ λέγεσθαι τὰ τοιαῦτα· νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμου λέγεσθαι» Π. Σ. Ὁ δὲ παρὰ τοῖς Π. Σ. Ἀρίσταρχος καὶ Ἀμμώνιος «εἰς νουμηνίαν ἐπιοῦσαν ὑποκείμενόν ἐστι τῷ Πινδάρῳ ἀποδοῦναι τὸν ἐπίνικον· ὡμολόγηκε γὰρ τοῖς κηδεμόσι τοῦ ἀθλητοῦ ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸν ἐπίνικον· ὁ νόμος οὖν οὗτος, φησὶν ὁ Πίνδαρος, ὃν διεστησάμεθα ἐγώ τε καὶ οἱ τοῦ ἀθλητοῦ περὶ τῆς ἡμέρας, ἐν ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν (περὶ Ἡρακλέους καὶ Τελαμῶνος)· οὐ γὰρ φθάσω· διὸ ἐποίσει· Ὧραί τ' ἐπειγόμεναι· τουτέστιν ἐπείγουσί με αἱ ὧραι». — Ἴϋγγι . . . ἦτορ] «διότι ἕλκομαι τὴν καρδίαν ὑπὸ σφοδρᾶς ἐπιθυμίας». Τὸ δ έ

στ. 61. δόξωμεν· καὶ ἡ γραφὴ αὕτη πρὸς τὴν ἔννοιαν ἄριστα ἔχει· ἀλλ' ἐπεὶ ἡ γραφὴ δόξομεν ἔχει καὶ πρὸς τὸ μέτρον ἄριστα διὰ τοῦτο παρεδεξάμεθα αὐτήν.

ἐστιν ἀντὶ τοῦ γάρ. Περὶ δὲ τοῦ ἐρωτικοῦ πτηνοῦ τῆς Ἴυγγος ὅρα Σημ. εἰς Πυθ. Δ.' 380-386-387-390. «Ἴυγγα οἱ μέν φασιν Ἠχοῦς, οἱ δὲ Πειθοῦς γεγενῆσθαι θυγατέρα, ἥτις φαρμάσσουσα τὸν Δία εἰς τὸν τῆς Ἰοῦς πόθον κατὰ χόλον Ἥρας εἰς ὄρνεον μετεβλήθη, ᾧ κέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες· ἐκ τούτου δὲ τὸ ὄρνεον ἴϋξ καλεῖται· ἴϋγγι οὖν τῇ ἐπιθυμίᾳ φησίν· ὁ νοῦς· ὡς ἀπὸ φαρμάκων καὶ Ἴϋγγος ἕλκομαι τὴν ψυχὴν τῇ ἐπιθυμίᾳ, ᾗ ὑπεσχόμην (ἡμέρᾳ), ἐπιδείξασθαι τὸν ἐπινίκιον συντελέσας· διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον εἰς ὃν ὡμολόγησα χρόνον» Π. Σ. — νουμηνίᾳ θιγέμεν] τὸ θιγγάνειν ἢ θίγειν ἢ θιγεῖν καὶ τὰ ὅμοια συντάσσονται παρὰ Πινδάρῳ δοτικῇ. — ἔμπα ἀντίτεινε ἐπιβουλίᾳ] οἱ ἐχθροὶ τοῦ Πινδάρου ἐπιτηροῦσι καιρὸν, ἵνα ἐπιβουλεύσωσιν αὐτῷ· ἐὰν οὖν μὴ διακόψῃ τὰ περὶ τὸν Ἡρακλέα καὶ Τελαμῶνα, ἰδοὺ εὑρίσκουσι καιρὸν ἐπιβουλῆς οἱ ἐχθροί. Ὅθεν τὸ ἀντίτεινε ἐπιβουλίᾳ ἐτέθη συνεκδοχικῶς ἀπὸ τοῦ αἰτίου εἰς τὸ ἀποτέλεσμα· ὅπερ ἐστὶ ἴσον τῷ «ἐναντιοῦ, ὦ ψυχὴ, τῇ σπουδῇ νὰ τελειώσω τὴν διήγησιν τῶν περὶ τὸν Ἡρακλέα καὶ Τελαμῶνα, ἵνα μὴ δῷ ἀφορμὴν τοῖς θέλουσι νά μοι ἐπιβουλεύωσιν». Ὁ Π. Σ. περὶ τοῦ δευτέρου προσώπου ἀντίτεινε λέγει «ἰστέον ὅτι ὁ λόγος πρὸς ἑαυτὸν φιλονεικεῖ· πρὸς ἑαυτὸν γὰρ τοῦτο λέγει ὁ Πίνδαρος· ἀντίτεινε τοῖς ἐπιβουλεύουσιν, μὴ δίδου λαβάς· παρεκβέβηκας, ἀπόδος τὸν ἐπινίκιον τῇ ὡρισμένῃ ἡμέρᾳ». — καί περ ἔχει . . . μέσσον] «καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας καὶ μεσοπορῶ κατὰ τὴν διήγησιν» Π. Σ. — ἔχει μέσσον] «ἔχει ἐμὲ ἐν τῷ μέσῳ ἑαυτῆς». — βαθεῖα . . . ἅλμα] βαθεῖαν ποντίαν ἅλμαν καλεῖ ποιητικῶς τὴν ἐκτεταμένην διήγησιν τῶν περὶ Ἡρακλέα καὶ Τελαμῶνα· ἅλμα δὲ Δωρικῶς ἀντὶ τοῦ ἅλμη, θάλασσα. — σφόδρα δόξομεν . . . καταβαίνειν] «σφόδρα γὰρ τῶν πολε-

Δαΐων ὑπέρτεροι ἐν
Φάει καταβαίνειν·
Φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων,
Γνώμαν κενεὰν σκότῳ κυλίνδει

'Α. γ' Κ. ιγ'.

Χαμαὶ πετοῖσαν· ἐμοὶ
Δ' ὁποίαν ἀρετὰν
Ἔδωκε Πότμος ἄναξ,
Εὖ οἶδ' ὅτι χρόνος ἕρπων
Πεπρωμέναν τελέσει.
Ἐξύφαινε, γλυκεῖα, καὶ
Τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν] ἁρμονίᾳ μέ-
λος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔν-

μούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντιτέχνων φανησόμεθα ὑπέρτεροι καταβαίνοντες καὶ διοδεύοντες λαμπρῶς, ἐὰν μὴ παρεκβαίνωμεν» Π. Σ. Παραλείπεται ἡ ὑπόθεσις «ἣν ἀντιτείνωμεν τῇ ἐπιβουλίᾳ». — σφόδρα] συντακτέον τῷ ὑ π έ ρ τ ε ρ ο ι. — ἐν φάει καταβαίνειν] δόξομεν «ὅτι ἐν λαμπρότητι καὶ δόξῃ καταβαίνομεν, ὡς εἰς λιμένα, εἰς τὸ τέλος τοῦ ἐπινίκου». — φθονερὰ βλέπων] «τὸν φθόνον ἐν ὀφθαλμοῖς ἔχων» Π. Σ. — ἄλλος ἀνὴρ] Τοὺς ἐχθροὺς αὐτοῦ διαιρεῖ εἰς δύο, εἰς ἐχθρούς, οἳ φιλοτιμοῦνται νὰ ποιήσωσι καλλίονα τοῦ Πινδάρου, οὓς ἐκάλεσε δ α ΐ ο υ ς· καὶ εἰς ἐχθρούς, οἳ φθονοῦντες μόνον εὔχονται ἀποτυχίαν τῷ Πινδάρῳ. Τοὺς δευτέρους λοιπὸν πρὸς διάκρισιν τῶν πρώτων λέγει ἄ λ λ ο ς ἀ ν ή ρ. —

στ. 66. Χ α μ α ι π ε τ ο ῖ σ α ν ἡνωμένον κοινῶς ἀναγινώσκεται.

γνώμαν . . . πετοῖσαν] τ ὴ ν ἑ α υ τ ο ῦ γ ν ώ μ η ν (τὴν ἑαυτοῦ προσδοκίαν καὶ ἐλπίδα, ὅτι θὰ ἀποτύχω) π ε τ ο ῖ σ α ν, π ε σ ο ῦ σ α ν χ α μ α ὶ κ ε ν ὴ ν (μὴ πραγματοποιηθεῖσαν) ἐν σκότει κυλίσει, ἀφανῆ ἕξει (δὲν θὰ λάβῃ ἀφορμὴν νὰ ἐπιδείξῃ χαράν· διότι ἀπέτυχεν ἡ αὐτοῦ προσδοκία καὶ ἐλπίς)». — κυλίνδει] ἀντὶ μέλλοντος κ υ λ ί σ ε ι· καλῶς δὲ πρὸς τὸ χ α μ α ὶ π ε τ ο ῖ σ α ν. — πετοῖσαν] ποιητικῶς ἀντὶ τοῦ π ε σ ο ῦ σ α ν. — ἐμοὶ δ' ὁποίαν . . . τελέσει] ἣν δ' ἐγὼ ἔχω παρὰ θεοῦ δύναμιν ποιητικήν, εὖ οἶδ' ὅτι ὁ χρόνος διαθέων, προϊών, ἐκτελέσει καὶ ἐκλάμψει εὔμοιρον καὶ καλήν» Π. Σ. — Πότμος] αἱ Μοῖραι, ὁ θεός. — πεπρωμέναν] «ὡς παρὰ τῆς Μοίρας προσδιώρισται, κατὰ τὸ πεπρωμένον».

— Στ. 71-78. Ἐξύφαινε . . . πατρῴαν] Διακόψας τὴν περὶ τῶν κατορθωμάτων τοῦ Τελαμῶνος διήγησιν καὶ εἰπὼν τὰ αἴτια τῆς διακοπῆς μεταβαίνει ἤδη εἰς τοὺς ἄλλους Αἰακίδας καὶ πρῶτον εἰς τοὺς υἱοὺς τοῦ Τελαμῶνος. «Ἐργάζου δὴ οὖν καὶ πλήρου τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυκυτάτη φόρμιγξ, σὺν τῇ Λυδίων ἁρμονίᾳ, ὅπερ ἐστὶ προσφιλέστατον τῇ τε Αἰγίνῃ καὶ τῇ Κύπρῳ» Π. Σ. — Τόδε μέλος] ἄρχεται τὸ μέλος τόδε ἐκ τοῦ ἔ ν θ α Τ ε ῦ κ ρ ο ς. — Οἰνώνᾳ] «Οἰνώνη τὸ πρότερον ἐκαλεῖτο ἡ Αἴγινα ἀπὸ Οἰνώνης τινὸς (ὅρα Σημ. Ἰσθμ. Ε.΄ 44). — καὶ Κύπρῳ] ἢ κατ' ἔφελξιν· διότι ἔπρεπε νὰ γένηται ἀρχὴ τοῦ πεφιλημένου μέλους, ἐ ν γ ὰ ρ Κ ύ π ρ ῳ Τ ε ῦ κ ρ ο ς ἀ π ά ρ χ ε ι κ. ἑξῆς· ἀλλὰ τὸ μὲν Κ ύ π ρ ῳ ἐφελκυσθὲν ἐκ τοῦ Ο ἰ ν ώ ν ᾳ ἀφῆκε τὴν αὐτοῦ θέσιν τεθὲν ἐν τῇ ἡγουμένῃ προτάσει· ἀντὶ δὲ τοῦ ἐν Κύπρῳ ἐτέθη ἔ ν θ α· ἢ κατὰ συνεκδοχήν, ἀπὸ τοῦ ὅλου τὸ μέρος· ἀντὶ δηλονότι νὰ ἀπαριθμήσῃ κατὰ δοτικὴν ἁπάσας τὰς χώρας, ὧν ἦρξαν οἱ ἀπόγονοι τοῦ Αἰακοῦ, δηλῶν, ὅτι ἁπάσαις ταύταις τὸ μέλος ἐστὶ π ε φ ι λ η μ έ ν ο ν, ἔλεξε μόνον Κ ύ π ρ ῳ καταλείπων τῷ

θα Τεῦκρος ἀπάρχει
Ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν.

Σ. δ'. Κ. ιγ'.

Ἐν δ' Εὐξένῳ πελάγει
Φαεννὰν Ἀχιλεὺς
Νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀ-

ἀναγνώστῃ νὰ ἐννοήσῃ αὐτάς. — ἔνθα Τεῦκρος ἀπάρχει] «ἔνθα δὴ καὶ ἐν ᾗ Κύπρῳ ὁ τοῦ Τελαμῶνος παῖς ἡγεμονεύει· ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος ὡς αἴτιος γεγονὼς τοῦ φόνου τῷ Αἴαντι, φυγὼν ᾤκισε τὴν Κύπρον (κτίσας αὐτόθι τὴν ὁμωνύμως τῇ αὐτοῦ πατρίδι κληθεῖσαν Σαλαμῖνα), καὶ ἔσχε αὐτῆς τὴν ἀρχήν» Π. Σ. Τὸ ἀ π ά ρ χ ε ι ὁ Heynius ὀρθῶς ἑρμηνεύει «μακρὰν τῆς πατρίδος ἡγεμονεύει ἐν Κύπρῳ, ἤτοι τιμᾶται ὡς ἥρως καὶ προστάτης τῆς νήσου». — Σαλαμῖν' ἔχει πατρῴαν] «τιμᾶται ὡς ἥρως ἐν τῇ πατρῴᾳ Σαλαμῖνι καὶ ἔστι προστάτης αὐτῆς». Ἐννοεῖ δέ, ὅτι μετακομισθείσης ἐκ τοῦ Ἰλίου τῆς κόνεως τοῦ νεκροῦ αὐτοῦ εἰς τὴν πατρίδα ἱδρύθη ἱερόν, ἐν ᾧ ἐτέθη ἡ κόνις.

— Στ. 80. φαεννὰν Ἀχιλεὺς νᾶσον] ἔχει· «Ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολὰς Ἀχιλλέως ἱερά· ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δὲ αὐτῇ σταδίων εἴκοσι, δασεῖα δὲ ὕλῃ πᾶσα καὶ πλήρης ζώων ἀγρίων καὶ ἡμέρων καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ» Παυσαν. Γ.' 19. 11. «εἰς τὴν λευκὴν νῆσον δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι, καὶ δρόμους τινὰς δεικνύουσι διὰ τὰ τοῦ ἥρωος γυμνάσια. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐννεοσσευόντων ὀρνέων, ἤτοι ἐρωδιῶν· φαντασίαν γὰρ τοῖς

πλέουσι τοιαύτην παρέχει· αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος· ἐπειδὴ μνηστευομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν, ἀχθεῖσάν τε διὰ τὴν αὐτοῦ πρόφασιν εἰς Αὐλίδα, γενομένης ἀπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον, ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας· καὶ τῆς Ἀρτέμιδος ἁρπασάσης καὶ ἐπὶ Ταύρους, τῆς Σκυθίας τόπον, ἀγαγούσης ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεὺς καὶ συνηκολούθησε μέχρι ταύτης τῆς νήσου. Ἐπειδὴ οὖν ἡ νῆσος αὕτη καλεῖται Λευκή, ἐκάλεσε καὶ Πίνδαρος αὐτὴν μεταληπτικῶς φαεννάν· φαεινὸν γὰρ τὸ λευκόν ἐστιν» Π. Σ.

— Στ. 81. Θέτις δὲ κρατεῖ Φθίᾳ] Τὴν Θέτιδα καίπερ μὴ προσήκουσαν γένει τοῖς Αἰακίδαις ὡς Νηρεΐδα οὖσαν, ὅμως διὰ τὸ γενέσθαι σύζυγόν τε Αἰακίδη μητέρα τε Αἰακίδου συγκαταλέγει καὶ αὐτὴν ἐν τοῖς Αἰακίδαις. Ὁ νοῦς· Θέτις δὲ προστατεύει τῆς Φθίας, ἐν ᾗ ἐστιν ἱερὸν καὶ πόλις Θετίδειον. « Φ θ ί ᾳ ἀντὶ τοῦ ἐν Φθίᾳ. Φύλαρχός φησι Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ· τὸν δὲ ποιῆσαι· ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον πρὸς τὴν Θέτιν, οὐ φάναι ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλῆσαι· τὴν δὲ αὐτῷ ὑποσχέσθαι· θέλειν μέν τοι ὁπλίζεσθαι, ὅπως ἴδῃ, εἰ ἁρμόζει, ἃ ἐπεποιήκει ὅπλα τῷ Ἀχιλλεῖ· ἴσην γὰρ αὐτὴν ἐκείνῳ ἔλεγε· τοῦ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν σφῦραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰαθῆναι ἐν τῇ πόλει ταύτῃ τῇ ἀπ' ἐκείνης Θετιδείῳ καλουμένῃ· ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου, περὶ οὗ ἐν πρώτῳ Φερεκύδης οὕτω γράφει. Ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν· καὶ Θέτιν ἐπὶ τῶν ἵππων (οὓς ἔλαβε δῶρον παρ' Ἀπόλλωνος) ἄγων οἰκεῖ ἐν Φαρσάλῳ καὶ ἐν Θετιδείῳ, ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις» Π. Σ.

— Στ. 82-87. Νεοπτόλεμος . . . πόρον] «ὅ γε

πείρῳ διαπρυσίᾳ,
Βουβόται τόθι πρῶνες ἔξ-
οχοι κατάκεινται
Δωδώναθεν ἀρχόμενοι πρὸς
Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λα-
τρείαν Ἰαωλκὸν
Πολεμίᾳ χερὶ προστραπών.
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν
'Α. δ'. Κ. ιγ'.
Δάμαρτος Ἱππολύτας
Ἀκάστου δολίαις

μὴν Νεοπτόλεμος ὁ Ἀχιλλέως ἄρχει ἁπάσης τῆς Ἠπείρου, ἐν ᾗ ἔξοχοι καὶ ἐξαίρετοι πρὸς τροφὴν βοῶν πρῶνες τυγχάνουσι ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες καὶ περαιούμενοι πρὸς τῷ Ἰονίῳ πόρῳ» Π. Σ. — Νεοπτόλεμος] «Λέγεται, ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ἦρξε ταύτης τῆς Ἠπείρου Νεοπτόλεμος ὁ τοῦ Ἀχιλλέως» Π. Σ. — διαπρυσίᾳ] «ἀντὶ τοῦ διηνεκεῖ φησιν, οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος, οὐ μέρους τῆς Ἠπείρου ἀλλ' ὅλης» Π. Σ. — πρῶνες] «τὰ ἄκρα τῶν ὀρῶν» Π. Σ. — βουβόται ἔξοχοι] «οἱ καλλίστους βοῦς τρέφοντες. Λέγονται γὰρ ἐκ τοῦ γένους τῶν τοῦ Γηρυωνέως βοῶν αὐτόθι μεμενηκέναι, κλέψαντος παρ' Ἡρακλέους Λαρίνου τινός, ἀφ' οὗ καὶ Λαρινοὶ καλοῦνται οἱ ἐκεῖ βόες μνήμην τοῦ τὸ γένος καταστήσαντος τῇ προσηγορίᾳ φυλάττοντες» Π. Σ.

στ. 88-89. λατρίαν ἐκ διορθώσεως ἴσως διὰ τὸ μέτρον· ἀλλὰ καὶ ἡ τῶν χειρογρ. γραφὴ λατρείαν οὐκ ἐναντιοῦται τῷ Ἰαμβικῷ μέτρῳ. Παρὰ Πινδάρῳ ἡ κατάληξις ειος καὶ ιος ἀνταλλάσσονται.

— Στ. 88-94. Παλίου δὲ . . . χρησάμενος] «τὴν δὲ κειμένην Ἰαωλκὸν παρὰ τοῖς τέρμασι τοῦ Πηλίου ὄρους ὁ Πηλεὺς πορθήσας διὰ τὰς ἐπιβουλὰς Ἱππολύτης τῆς συζύγου Ἀκάστου παρέδωκεν ὑπήκουον τοῖς Θετταλοῖς» Π. Σ. — λατρείαν Ἰωλκὸν προστραπὼν παρέδωκεν] Συντ. «Ἰωλκὸν προστραπὼν παρέδωκεν (αὐτὴν) λατρείαν, ἀντὶ τοῦ, λατρίαν, ἤτοι ὑπήκοον». Τὸ δὲ προστραπών, σημαίνει «τὴν Ἰωλκὸν οὖσαν πρότερον τῶν Μαγνήτων ὑπὸ τὸν βασιλέα Ἄκαστον τρέψας πρὸς ἑαυτὸν, ἤτοι ἑλὼν» παράβαλ. πρὸς τὸ ὃς καὶ Ἰωλκὸν εἷλεν (Νεμ. Γ'. 58), καὶ πρὸς τὸ ξυνᾶνα Μαγνήτων σκοπὸν (Ἄκαστον) (Νεμ. Ε'. 50). «Ἔστι δὲ ἡ Ἰωλκὸς τῆς Μαγνησίας, ἥτις πρὸς τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κεῖται. ἔστι δὲ ἡ αἰτία τῆς δουλείας αὕτη. Ἱππολύτη ἡ Κρηθέως θυγάτηρ γέγονεν Ἀκάστου γαμετὴ, ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα καὶ μὴ πείσασα συνελθεῖν αὐτὸν φθάσασα τῷ Ἀκάστῳ ὡς ἄσεμνον ἢ βίαιον διέβαλεν· ὁ δὲ κατακούσας καὶ προφασισάμενος ἤγαγεν ἐπὶ τὰ ἀπέρημα τοῦ Πηλίου, καὶ καταλείψας θηρίοις ὑποπεσεῖν ὑπαναχωρεῖ· φασὶ δὲ τοὺς θεοὺς τῆς σωφροσύνης οἰκτείραντας τὸν Πηλέα Ἥφαιστον ἐξαποστεῖλαι· τὸν δὲ μάχαιραν ἔχοντα τῷ Πηλεῖ δωρήσασθαι, ᾗ τὰ προσπίπτοντα τῶν θηρίων διαχρώμενος εἰς Θεσσαλίαν κατῆλθε, καὶ κατελθὼν κατεπολέμησεν Ἄκαστον καὶ τὴν Ἰωλκόν» Π. Σ. Ὅρα καὶ τὰ ἐν τῇ ἑπομένῃ Σημ. Π. Σ. — Αἱμόνεσσιν] «Αἱμονία, ἡ Θετταλία, ἀπὸ Αἵμονος. Αἵμων δὲ υἱὸς μὲν Χλώρου τοῦ Πελασγοῦ, πατὴρ δὲ Θεσσαλοῦ, Αἵμων οὖν καὶ τὸ ἐθνικόν» Στεφ. Βυζ. — Ἱππολύτας δολίαις τέχναισι χρησάμενος] «περιπεσὼν (ἀφ' οὗ, ἢ διότι περιέπεσεν) τοῖς δόλοις τῆς Ἱππολύτης καὶ τοῦ Ἀκάστου»· ὡς χρῶμαι συμφορᾷ, εὐτυχίᾳ σημαίνει «περιπέπτωκα συμφορᾷ, εὑρίσκομαι ἐν εὐτυχίᾳ οὕτω καὶ ἐνταῦθα. Καὶ Heynius οὕτω βούλεται νὰ ἑρμηνεύσῃ. Τὸ τέχναισιν Ἱππολύτης

Τέχναισι χρησάμενος.
Τᾷ δαιδάλῳ δὲ μαχαίρᾳ
Φύτευέν οἱ θάνατον
Ἐκ λόγου Πελίαο παῖς.

ἐτέθη συνεκδοχικῶς ἀντὶ τοῦ «τέχναισιν Ἱππολύτης καὶ αὐτοῦ Ἀκάστου».

— Στ. 95-97. Τᾷ δαιδάλῳ . . . παῖς] ἐνταῦθα διηγεῖται ὡς ἐν χρησμῷ κατὰ τὸ αὐτοῦ ἔθος τὸν δόλον, ᾧ Ἄκαστος ἐχρήσατο πρὸς ἀπώλειαν τοῦ Πηλέως. Ἡ κατὰ τὰ χειρόγραφα γενικὴ Δ α ι δ ά λ ω δείκνυσιν, ὅτι γίνεται παραβολὴ τοῦ δόλου τοῦ Ἀκάστου πρὸς τὴν μάχαιραν τοῦ Δαιδάλου, δι' ἧς ἐφόνευσε τὸν Μίνω. Τίς δὲ ἦν αὕτη ἡ μάχαιρα; ὁ δόλος, ᾧ ἐχρήσατο ὁ Δαίδαλος πρὸς ἀπώλειαν τοῦ Μίνω. Ἡ δὲ περὶ τοῦ δόλου τούτου παράδοσις οὕτως ἀναφέρεται «ὁ Δαίδαλος ἐκ Κρήτης ὑπὸ τοῦ Μίνω διωκόμενος, εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον βασιλεύοντα τῆς Καμίκου πείθει τὰς θυγατέρας Κωκάλου διὰ τῆς ὀροφῆς ποιῆσαι κατάρρουν, δι' οὗ ἐκχυθὲν θερμὸν ὕδωρ ἐπενεχθήσεται τῷ Μίνῳ λουομένῳ, καὶ τοῦτον τὸν τρόπον ἀπώλωλεν ὁ Μίνως» Π. Σ. Ὁ νοῦς λοιπὸν τοῦ χωρίου κατὰ τὴν παράδοσιν ταύτην ἐστὶν «ὁ παῖς τοῦ Πελία, ὁ Ἄκαστος ἐμηχανᾶτο κατὰ τοῦ Πηλέως θάνατον διὰ τοῦ τρόπου καὶ δόλου, δι' οὗ ἐμηχανήσατο ὁ Δαίδαλος κατὰ τοῦ Μίνω». Ὁ δὲ παρὰ τοῖς Π. Σ. Δίδυμος ἐλλόγως διορθῶν τὴν γενικὴν Δ α ι δ ά λ ω εἰς δοτικὴν δαιδάλῳ ποιεῖ τὸ ὄνομα ἐπίθετον τοῦ μ α χ α ί ρ ᾳ, παραδεχόμενος τὴν παρὰ Σχολ. Πατμ. παράδοσιν ταύτην. «Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατρίδα δολοφονήσας φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ' οὗ καὶ καθαίρεται. Ἐκεῖθεν δὲ ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθὼν Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων.

Πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δὲ ἡ Ἀκάστου γυνή, ἣν ὁ Πίνδαρος Ἱππολύτην καλεῖ, ἐρασθεῖσα Πηλέως . . . καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον, ὡς ἀποπειραθέντος αὐτῆς καὶ βίαν ἐπαγαγεῖν ἐπιχειρήσαντος. Ὁ δὲ Ἄκαστος κτεῖναι μὲν, ὃν καθῆρεν, οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν προφάσει θήρας εἰς τὴν κατὰ τὸ Πήλιον ἐρημίαν. Ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, εἰπὼν, εἰ δίκαιος εἶ, σωθήσει. Ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν, ἔμελλεν ἀπόλλυσθαι, καταληφθεὶς, ὑπὸ τῶν Κενταύρων· σώζεται δὲ ὑπὸ Χείρωνος, ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ» Σχ. Πάτμ. ὅρα καὶ Ἀπολλοδ. Γ.' ιη.' Ὁ Δίδυμος λοιπὸν διορθῶν ἑρμηνεύει οὕτως· «δαιδάλῳ δὲ μαχαίρᾳ δόλον ἤρτυσε, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἁλοὺς ὑπὸ τῶν Κενταύρων φθαρῇ»· ἤτοι ὁ Ἄκαστος κρύψας τὴν δαίδαλον (ἤτοι τὴν ὑπὸ Ἡφαίστου κατασκευασθεῖσαν) τοῦ Πηλέως μάχαιραν κοιμωμένου, τούτῳ τρόπῳ καὶ δόλῳ ἐμηχανᾶτο αὐτῷ θάνατον. Τὴν αὐτοῦ διόρθωσιν καὶ ἑρμηνείαν αἰτιολογεῖ ὁ Δίδυμος διὰ τῶν ἑξῆς «Ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μὲν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως.

Ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
Καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις.
Ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
Αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη·

δαίδαλον δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου

Ἄλαλκε δὲ Χείρων,
Καὶ τὸ μόρσιμον Διόθεν πε-
πρωμένον ἔκφερεν.
Πῦρ δὲ παγκρατὲς θρασεο-
μαχᾶν τε λεόντων
Ὄνυχας ὀξυτάτους ἀκμάν
Τε δεινοτάτων σχάσαις ὀδόντων,

Σ. έ. Κ. ιγ'.

Ἔγαμεν ὑψιθρόνων
Μίαν Νηρεΐδων·
Εἶδεν δ' εὔκυκλον ἕδραν,

κατεσκευάσθαι· ἐπιεικῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλά φησι,

Ποίει δαίδαλα πολλὰ εἰδυίησι πραπίδεσσιν (Ἰλ. σ. 481.)

Π. Σ. Τὴν διόρθωσιν ταύτην τοῦ Διδύμου καὶ ἑρμηνείαν παραδέχομαι καὶ ἐγὼ ὡς ἀρίστην. — δὲ] ἀντὶ τοῦ γάρ. — οἱ] τῷ Πηλεῖ. — ἐκ λόγου] Σύναπτε τοῖς τᾷ δαιδάλῳ μαχαίρᾳ ταύτῃ τῇ ἐννοίᾳ «ἐκ λόγου, ἤτοι ἐξ ἀπάτης γενομένης διὰ τῆς δαιδάλου μαχαίρας, ἤτοι διὰ τῆς κρύψεως τῆς μαχαίρας».

— Στ. 98. Ἄλαλκε] τῷ Πηλεῖ τὸν θάνατον.

— Στ. 99-100. καὶ τὸ μόρσιμον . . . ἔκφερεν] «καὶ ἐκεῖνο, ὅπερ ἦν μόρσιμον ἐκ Διός, ἤτοι προσδιωρισμένον ἐκ τῶν Μοιρῶν καὶ τοῦ Διὸς ἔκφερεν, ἤτοι ἐτέλει σύμφωνα τῷ πεπρωμένῳ. — ἔκφερεν πεπρωμένον] ὅμοιον τῷ ἀνωτέρω (στ. 70) ἀρετὰν πεπρωμέναν τελέσει. Μόρσιμον Διόθεν·

στ. 101-102. Ἡ τῶν χειρογράφων γραφὴ θρασεομαχᾶν ἔχει καλῶς· αἱ δὲ ἐξ εἰκασίας γραφαὶ θρασυνομαχᾶν, θρασυμαχάνων ἐγένοντο ἄνευ ἀνάγκης.

ἐνταῦθα ἐννοεῖ μόνον τὸ νὰ λάβῃ ἄκοιτιν ὁ Πηλεὺς τὴν Θέτιδα οὐχὶ δὲ καὶ τὸ νὰ σωθῇ ἐκ τοῦ θανάτου, ὃν ἐφύτευεν αὐτῷ ὁ Ἄκαστος· ὅπερ ἐννοεῖται ἐν τῷ ἀνωτέρω ἄ λ α λ κ ε δὲ Χ ε ί ρ ω ν (παράβ. πρὸς Νεμ. Ε'. 62, κ. ἑξῆς καὶ πρὸς Ἴσθμ. 67. Η'. κ. ἑξῆς).

— Στ. 101-106. Πῦρ δὲ . . . Νηρεΐδων] Τοῦτό ἐστι τὸ ἐκ Διὸς μόρσιμον, εἰς οὗ τὴν ἐκτέλεσιν συνήργησεν ὁ Χείρων· Παραβ. πρὸς Ἴσθ. Η'. 91.92. καὶ πρὸς τὰ «Χείρωνος οὖν ὑποθεμένου Πηλεῖ συλλαβεῖν καὶ κατέχειν αὐτὴν μεταμορφομένην, ἐπιτηρήσας συναρπάζει· γινομένην δὲ ὁτὲ μὲν πῦρ, ὁτὲ δὲ ὕδωρ, ὁτὲ δὲ θηρίον οὐ πρότερον ἀνῆκε, πρὶν ἢ τὴν ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν· κ. τ. λ.» Ἀπολλόδ. Γ'. ιη'. 7. — πῦρ παγκρατές] «τὸ πάντων κρατοῦν καὶ δεσπόζον διὰ τὸ φθαρτικὸν τῆς δυνάμεως». Π. Σ. — σχάσαις ὄνυχας λεόντων ἀκμάν τε ὀδόντων] «καταστήσας εἰς ἀργίαν τοὺς ὄνυχας τῶν λεόντων, εἰς οὓς μεταβάλλετο ἡ Θέτις, καὶ τὴν δύναμιν τῶν ὀδόντων αὐτῶν». — σχάσαις] σχάζω «ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, οἳ ὅταν λήγωσι τῆς ἐργασίας, σχάζουσι τὰς κώπας». Π. Σ. κ ώ π α ν σ χ ά σ ο ν Πυθ. Ι'. 79. «ὅτι δὲ καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἴς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ καὶ Ὅμηρος (Ἰλ. σ. 432) μαρτυρεῖ

Ἐ κ μ έ ν μ' ἀ λ λ ά ω ν ἁ λ ι ά ω ν ἀ ν δ ρ ὶ δ ά-
μ α σ σ ε ν (Ζεύς),
Α ἰ α κ ί δ ῃ Π η λ ῆ ϊ, κ α ὶ ἔ τ λ η ν ἀ ν έ ρ ο ς ε ὐ ν ὴ ν
Π ο λ λ ὰ μ ά λ' ο ὐ κ ἐ θ έ λ ο υ σ α». Π. Σ.

— Στ. 107. εὔκυκλον ἕδραν] «τὸ παρὰ τὸ Πήλιον τῶν θεῶν κυκλοτερὲς συμπόσιον, ὅπερ συνετελέσθη τοῖς τοῦ Πηλέως γάμοις». Π. Σ. «Γαμεῖ δὲ (Πηλεὺς) ἐν τῷ Πηλίῳ· κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν» (Ἀπολλοδ. Γ'. ιη'. 7.).

Τᾶς οὐρανοῦ βασιλῆες
Πόντου τ' ἐφεζόμενοι
Δῶρα καὶ κράτος ἐξέφα-
ναν ἐς γένος αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ πε-
ρατόν· ἀπότρεπε
Αὖτις Εὐρώπαν ποτὶ χέρ-
σον ἔντεα ναός.
Ἄπορα γὰρ λόγον Αἰακοῦ
Παίδων τὸν ἅπαντά μοι διελθεῖν.

Ἀ. έ. Κ. ιγ'.

Θεανδρίδαισι δ' ἀε-
ξιγυίων ἀέθλων

— Στ. 108-109. τᾶς ἐφεζόμενοι] «ἐφ' ἧς ἑζόμενοι»

— Στ. 110-111. δῶρα . . . αὐτῷ] «διεσήμηναν, ἔδοσαν τῷ Πηλεῖ δῶρα καὶ κράτος, ἤτοι ὅσων χωρῶν θὰ κρατῇ αὐτὸς καὶ τὸ γένος αὐτοῦ». — δῶρα] «καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ ἵππους Βάλιον καὶ Ξάνθον, Ἥφαιστος δὲ μάχαιραν καὶ οἱ λοιποὶ ἕτερα. Ἀθάνατοι δὲ ἦσαν οἱ ἵπποι», (Ἀπολλόδ. αὐτόθι). Τὴν μάχαιραν πρὸ τῶν γάμων ὁ Ἥφαιστος ἔδωκε τῷ Πηλεῖ, δι' ἧς καὶ ἐσώθη τοῦ κινδύνου, εἰς ὃν ἐνεβεβλήκει αὐτὸν ὁ δόλος τοῦ Ἀκάστου. — εἰς γένος] «μέχρι τοῦ γένους αὐτοῦ διατηρηθήσονται τὰ δῶρα καὶ τὸ κράτος».

— Στ. 112-117. Γαδείρων . . . διελθεῖν] «Τούτοις ποιεῖται δίοδον ἀπὸ τῶν ἐπαίνων τῶν Αἰακιδῶν εἰς

στ. 114. Εὐρώπαν οὔτε τοῦ μέτρου ἕνεκα ἡ τῶν χειρογρ. γραφὴ αὕτη ἔχει ἀνάγκην διορθώσεως· διότι ἡ τοῦ κώλου πρώτη συζυγία ἐστὶ τροχαϊκή· αἱ δὲ ἄρτιοι θέσεις τοῦ τροχαϊκοῦ δέχονται καὶ σπονδεῖον.

τοὺς ἐπαίνους τῆς φατρίας τῶν Θεανδριδῶν, οἷς προσήκει ὁ νικηφόρος Τιμάσαρχος. «Περαιτέρω τῶν Γαδείρων πρὸς τὸν Ὠκεανὸν οὐ πλευστόν ἐστιν· ἡ ναῦς λοιπὸν ἀφικομένη εἰς Γάδειρα πρέπει νὰ ἐπιστρέψῃ εἰς Εὐρώπην· οὕτω λοιπὸν καὶ ἐγὼ διηγηθεὶς τοσαῦτα περὶ τῶν Αἰακιδῶν ὀφείλω νὰ ἐάσω τὴν περαιτέρω διήγησιν· διότι θὰ ὑπερβῶ τὸν τεθμὸν καὶ τὰ ὅρια τοῦ ὕμνου· καὶ νὰ ἔλθω εἰς τοὺς προγόνους αὐτοῦ τοῦ νικηφόρου». — Γαδείρων τὸ πρὸς ζόφον] Τὸν Ὠκεανὸν, ὃν (Νεμ. Γ'. 36) καλεῖ ἀ β ά τ α ν ἅ λ α, ἐνταῦθα καλεῖ ζόφον· διότι ἐστὶν ἄγνωστος, ἢ ὡς λέγει ('Ολ. Γ'. 81) ἄ β α τ ο ς σ ο φ ο ῖ ς κ ἀ σ ό φ ο ι ς. Παραβάλλει δὲ πρὸς τὰ Γάδειρα, ἤτοι πρὸς τὰ ὅρια τοῦ πλοῦ, τὸν τεθμὸν, ἢ τὰ ὅρια τοῦ ὕμνου· ζόφον λοιπὸν καλεῖ τὴν ὑπέρβασιν τῶν ὁρίων τοῦ ὕμνου. Γενήσεται δὲ ἡ ὑπέρβασις τοῦ τεθμοῦ, ἐὰν διηγήσηται πάντα τὸν λόγον περὶ τῶν παίδων τοῦ Αἰακοῦ. — ἀπότρεπε . . . ναὸς] Λέγει πρὸς ἑαυτὸν ἐξακολουθῶν τὴν ἀλληγορίαν «ἀπόστρεψον τὴν διήγησιν ἐντὸς τῶν ὁρίων τοῦ ὕμνου». — Εὐρώπαν ποτὶ χέρσον] «πρὸς τὴν παραλίαν Εὐρώπην»· διότι τὸ χέρσον τίθεται ἐπιθετικῶς. Ὅρα λεξικὸν Duncanii. — ἔντεα ναὸς] «περιφραστικῶς ἀντὶ τοῦ ν α ῦ ν εἶπεν». Π. Σ. — ἄπορά μοι διελθεῖν] ἄπορόν ἐστι τῷ ποιητῇ νὰ διέλθῃ ἅπαντα τὸν περὶ τοὺς Αἰακίδας λόγον οὐχ ὅτι οὐκ ἐπιτρέπουσιν αὐτῷ αἱ δυνάμεις, ἀλλ' ὅτι ὁ τεθμὸς τοῦ ὕμνου κωλύει.

— Στ. 118-122. Θεανδρίδαισι . . . συνθέμενος] Ταῦτά εἰσι τὰ ἐντὸς τοῦ τεθμοῦ τοῦ ὕμνου. Σημειωτέον δὲ, ὅτι ἐν τοῖς ὁρίοις τοῦ ὕμνου, ὧν κυριώτατόν ἐστι τὸ προσῆκον καὶ κατάλληλον μέγεθος, ἐμπεριέχονται καὶ αἱ συμφωνίαι τοῦ ὑμνουμένου νικηφόρου πρὸς τὸν ποιητήν· διὸ καὶ προστίθησιν ἐν τέλει ὁ Πίνδαρος τὴν λέξιν σ υ ν θ έ μ ε ν ο ς. — Θεανδρίδαισι] φατρία τις ἀπό τινος Θεάνδρου προγόνου ἐνδόξου τῶν περὶ Τιμάσαρχον, ᾧ γέγραπται ἡ ᾠδή. — Ὀλυμπίᾳ . . . Νεμέᾳ τε] σύντασσε τῷ

Κάρυξ ἕτοιμος ἔβαν
Ὀλυμπίᾳ τε καὶ Ἰσθμοῖ
Νεμέᾳ τε συνθέμενος·
Ἔνθα πεῖραν ἔχοντες οἴ-
καδε κλυτοκάρπων
Οὐ νέοντ' ἄνευ στεφάνων· πά-
τραν νὶν ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινι-
κίοισιν ἀοιδαῖς

ἀ έ θ λ ω ν ταύτῃ τῇ ἐξηγήσει· «ἀγώνων ἠγωνισμένων αὐτοῖς ἔν τε Ὀλυμπίᾳ καὶ Ἰσθμοῖ καὶ ἐν Νεμέᾳ». — συνθέμενος] «κατὰ συνθήκην καί συμφωνίαν πρὸς τοὺς κηδαιμόνας τοῦ Τιμασάρχου παιδὸς ὄντος».

— 123-125. ἔνθα . . . στεφάνων] «ἔνθα (ἐν Ὀλυμπίᾳ κ. τ. λ.) πεῖραν λαμβάνοντες (ἀγωνιζόμενοι) οὐκ ἐπιστρέφουσιν εἰς τὴν πατρίδα οἱ Θεανδρίδαι ἄνευ στεφάνων κλυτοκάρπων (ὧν ὁ κλυτὸς καρπός ἐστιν ἡ δόξα».

— Στ. 126-129. πάτραν . . . ἔμμεναι] «ἔνθα (ἐν Ὀλυμπίᾳ κ. τ. λ.) ἀκούομεν, ὅτι ἡ φατρία αὕτη τῶν Θεανδριδῶν, ἡ σή, ὦ Τιμάσαρχέ, ἐστι πρώτη θεράπαινα τῶν ἐπινικίων ᾠδῶν, ἤτοι ἔσχε νίκας πλείονας πασῶν τῶν ἀνὰ πάσας τὰς Ἑλληνικὰς πόλεις ἄλλων φατριῶν». Τί ἐλλιπὲς, ἢ τί μὴ καλὸν εὕρηται ἐν ταύτῃ τῇ ἐννοίᾳ; καὶ ὅμως ὁ Hermannus οὐκ οἶδ' ὅπως βουλόμενος ἐννοῆσαι διορθοῖ τὸ ν ι ν εἰς ἵ ν' (ὅπου), ἀναφέρων

στ. 126. Τὴν κοινὴν γραφὴν νὶν διορθοῦσί τινες ἐξ εἰκασίας εἰς ἵν', ἤτοι ἵνα (ὅπου)· κακῶς. Τὸ νὶν ἐτέθη πρὸς ἔμφασιν «τὴν πάτραν ταύτην τῶν Θεανδριδῶν, τὴν σὴν (τεὰν), ὦ Τιμάσαρχε».

στ. 127. τεὰν ἀναγνωστέον ὡς μία συλλαβή.

αὐτὸ σὺν καὶ ἄλλοις πρὸς τὸ οἴκαδε. Ἡ πρότασίς ἐστιν ὁμοία τῇ ἡγουμένῃ, ἤτοι ἀναφορική· τὸ δὲ σχῆμα ἀσύνδετον παραλειπομένου τοῦ καί· ὅθεν τὸ πλῆρές ἐστιν «ἔνθα πεῖραν ἔχοντες . . . στεφάνων· καὶ ἔνθα πάτραν κ. τ. λ.» Τὸ χωρίον λοιπὸν οὐδεμιᾶς διορθώσεως δεῖται, ἀρκεῖ μόνον νὰ ἐννοήσῃ τις αὐτὸ ὀρθῶς. — πάτραν] ὀρθῶς ἐκλαμβάνουσιν ἀντὶ τοῦ φατρίαν· διότι τῷ ὄντι εὕρηται καὶ ἀλλαχοῦ τοῦ Πινδάρου ἡ λέξις ἐν ταύτῃ τῇ σημασίᾳ, ὡς π. χ. πάτραν Μιδυλιδᾶν (Πύθ. Η'. 53.) — νὶν] ταύτην τὴν τῶν Θεανδριδῶν. — ἀκούομεν ἔμμεναι] Καλῶς ἔχει τὸ ἀκούομεν, ἐὰν τὸ παραληφθὲν ἔνθα συνταχθῇ τῷ ἔμμεναι· ἐὰν δὲ διορθωθὲν τὸ νὶν εἰς ἵνα (ὅπου) ἀνενεχθῇ πρὸς τὸ οἴκαδε, λίαν ψυχρὰ ἡ ἔννοια ἐξάγεται «ὅπου (ἐν Αἰγίνῃ) ἀκούομεν, ὅτι ἡ σὴ φατρία, Τιμάσαρχε, ἐστι πρόπολος ἐπινικίοις ᾠδαῖς (τιμᾶται καὶ ὑμνεῖται ᾠδαῖς ἐπινικίοις· ἢ ὡς ἄλλοι βούλονται, «δαπανᾷ τοῖς ποιηταῖς εἰς ποίησιν ἐπινικίων ᾠδῶν»· ἢ ὡς ἄλλοι, «σπουδάζει περὶ τὴν μουσικήν)». Κατὰ ταύτην τὴν ἔννοιαν οὐδαμῶς ἔδει νὰ εἴπῃ ἀκούομεν ἔμμεναι πρόπολον ἀλλ' ὡρισμένως «ἡ σὴ φατρία ἐστὶ πρόπολος». Ἐὰν δὲ παραληφθῇ τὸ ἔνθα, ἐξάγεται ἡ ἀρίστη ἔννοια «ἐν οἷς ἀγῶσιν ἀκούομεν παρὰ τῶν ἔργων ποιουμένων νὰ ἐρευνῶσι τὰ ἀναθήματα τῶν νικητῶν καὶ τὰς ἐπιγραφάς, ὅτι ἡ φατρία αὕτη ἐστὶ πρόπολος κ. τ. λ.» — τεὰν] κατ' ἔμφασιν «τὴν σήν, ὦ Τιμάσαρχε». — ἐπινικίοισιν ἀοιδαῖς πρόπολον] Ἀντὶ νὰ εἴπῃ ὑπερβάλλουσαν κατὰ τὰς νίκας ταύτην τὴν φατρίαν τὰς ἄλλας, λέγει αὐτὴν πρώτην θεράπαιναν τῶν ἐπινικίων ᾠδῶν, ἀποβλέπων εἰς τὸ ἔθος, ὅπερ ἦν τοῖς νικηταῖς νὰ θύωσι μετὰ τὴν νίκην εὐχαριστήρια ἐπὶ τοῦ βωμοῦ ἐκείνου τοῦ θεοῦ, ὃν τιμῶντες τελοῦσι τοὺς ἀγῶνας, ᾄδοντος τοῦ χοροῦ ἐπινίκιον ᾠδήν, ἢ κατὰ παραγγελίαν πεποιημένην, ἢ πρόχειρον ἤδη τινά, ὡς ἐν Ὀλυμπίᾳ τὸ Ἀρχιλόχου μέλος, (ὅρα

Πρόπολον ἔμμεναι· εἰ δέ τοι
Μάτρωί μ' ἔτι Καλλικλεῖ κελεύεις

Σ. στ'. Κ. ιγ'.

Στάλαν θέμεν Παρίου
Λίθου λευκοτέραν·
Ὁ χρυσὸς ἑψόμενος,
Αὐγὰς ἔδειξεν ἁπάσας·
Ὕμνος δὲ τῶν ἀγαθῶν

Ὀλυμ. Θ'. Ι. κ. ἑξῆς). Ἐν συντόμῳ ὁ ποιητὴς βούλεται ἐν τούτοις νὰ εἴπῃ, ὅτι οὐδεμία τῶν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι φατριῶν ἐνίκησεν ἐν Ὀλυμπίᾳ τε καὶ Ἰσθμοῖ καὶ Νεμέᾳ τοσαύτας νίκας, ὅσας ἡ τοῦ Τιμασάρχου.

— Στ. 130-143. εἰ δέ τοι Μάτρωί μ' ἔτι . . . σελίνοις] Ὑμνήσας καθ' ὅλου τὴν φατρίαν τοῦ νικηφόρου, ἔρχεται ἤδη καὶ εἰς πλησιεστέρους συγγενεῖς, τοὺς μνήμνης ἀξίους· καὶ τὸν μὲν πατέρα ὕμνησεν ἐν στίχ. 21. κ. ἑξῆς· ἤδη δὲ ὑμνήσει τὸν τῆς μητρὸς ἀδελφὸν Καλλικλῆ ὡς νικήσαντα ἐν Ἰσθμῷ, καὶ τὸν Εὐφάνη τὸν προπάτορα ὡς ποιητὴν λυρικόν. Αἱ δὲ ἔννοιαι βαίνουσιν οὕτω «Ἐπειδὴ δὲ ὁ πρὸς μητρὸς θεῖος Καλλικλῆς τεθνηκώς ἐστιν, εἴ με κελεύεις νὰ κατασκευάσω αὐτῷ στήλην λευκοτέραν τῆς ἐκ Παρίου λίθου, ἡ μὲν ἐκ χρυσοῦ κεχωνευμένη στήλη ἐκλάμπει αὐγὰς πορρωτάτω διϊκνουμένας· ἡ δὲ ἐκ τῶν ἀγαθῶν ἔργων κατεσκευασμένη στήλη, οἵα ἐστὶν ὁ ὕμνος, καθίστησι τὸν εἰς ὃν κατεσκεύασται ἄνδρα ἶσα τοῖς βασιλεῦσιν ἔνδοξον· ἄρα κελεύεις με νὰ ὑμνήσω αὐτόν. Εὑρέτω λοιπὸν ἐκεῖνος ἐν Ἀχέροντι κατοικῶν τὴν ἐμὴν γλῶσσαν ᾄδουσαν τὴν ἐν τοῖς ἀγῶσι τοῦ Ποσειδῶνος νίκην αὐτοῦ». Κατὰ ταύτην λοιπὸν τὴν συνάφειαν τῶν ἐννοιῶν ἀπόδοσις τῆς ὑποθέσεως εἰ κελεύεις . . . λευκοτέραν ἐστὶν αἱ

δύο ἐπιφερόμεναι προτάσεις ὁ χρυσὸς . . . ἀπάσας καὶ ὕμνος δὲ . . . φῶτα· ἡ δὲ πρότασις κεῖνος . . . κελαδῆτιν ἐπιφέρεται ὡς συμπερασματικὴ παραλειπομένου κατὰ σχῆμα ἀσύνδετον τὸ οὖν ἢ ἄλλο τι τοιοῦτον συμπερασματικὸν μόριον. Δύναται δὲ ἡ σύνταξις νὰ χωρῇ καὶ οὕτως· ἀπόδοσις μὲν τῆς ὑποθέσεως νὰ θεωρηθῇ ἡ πρότασις κεῖνος ἀμφ' . . . εὑρέτω κελαδῆτιν, αἱ δὲ ἐν τῷ μέσῳ προτάσεις ὁ χρυσὸς . . . φῶτα νὰ θεωρηθῶσιν ὡς αἰτιολογικαὶ τῆς ἀποδόσεως, παραλειπομένου κατὰ τὸ ἀσύνδετον σχῆμα τοῦ ἐπειδή. — στάλαν] Πρὸς μὲν τὴν στήλην παραβάλλει τὸν ὕμνον, πρὸς δὲ τὴν ὕλην, (ἤτοι τὸν Πάριον λίθον καὶ τὸν χρυσὸν), ἐξ ἧς κατασκευάζεται ἡ στήλη, τὰ ἀγαθὰ ἔργματα τοῦ ὑμνουμένου. Ἔλαβε δὲ ἀφορμὴν ὁ ποιητὴς νὰ ποιήσῃ ταύτην τὴν παραβολὴν ἐκ τοῦ ὅτι ὁ Καλλικλῆς ἐστι τεθνηκώς, ἐπὶ δὲ τοῖς τεθνηκόσιν ἐτίθεντο στῆλαι· διὸ ὁ ἐνταῦθα ὕμνος τοῦ Καλλικλέους ἔσεται ἀντὶ στήλης ἐπὶ τοῦ τάφου. Τὴν αὐτὴν παραβολὴν, ὡσαύτως ἐπὶ τεθνεῶτος φυλάττει καλῶν (Νεμ. Η΄. 80) τὸν ὕμνον λίθον Μοισαῖον. — Παρίου λίθου] «Πάριος δὲ λίθος ἐστὶν ὁ καλούμενος λύγδινος». Π. Σ. — ἑψόμενος] «διὰ τῆς ἑψήσεως εἰς στήλην χωνευόμενος» ὅπερ ἐστὶν «εἰς στήλην κεχωνευμένος»· οὐ συμφωνῶ τῷ Π. Σ. καὶ ᾧτινι δήποτε ἄλλῳ ἐξηγουμένῳ «τουτέστιν ὡς τὸν χρυσὸν ποιεῖ τὸ πῦρ διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους· τουτέστιν οὕτω λάμπει, ὥσπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν»· διότι οὐ παραβάλλεται τὸ πῦρ πρὸς τὸν ὕμνον· ἀλλὰ ἡ στήλη· ἡ δὲ ἐκ τῆς ὕλης, ἤτοι ἐκ τοῦ χρυσοῦ λάμψις παραβάλλεται πρὸς τὴν ἐκ τῶν ἀγαθῶν ἔργων λάμψιν· καὶ ἀμφότεραι αἱ λάμψεις κατὰ τοῦτο μόνον εἰσὶν ὅμοιαι, καθ' ὃ ἑκατέρα λαμπρύνει τὸν ἄνδρα, ἤτοι ποιεῖ ἔνδοξον, διαφέρουσι δὲ κατὰ τοῦτο, καθ' ὃ ἡ μὲν ἐκ τοῦ χρυσοῦ

Ἑργμάτων βασιλεῦσιν ἰ-
σοδαίμονα τεύχει·
Φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι
Ναιετάων ἐμὰν
Γλῶσσαν εὑρέτω κελαδή-
τιν, Ὀρσοτριαίνα
Ἵν' ἐν ἀγῶνι βαρυκτύπου
Θάλησε Κορινθίοις σελίνοις.

Ἀ. στ'. Κ. ιγ'.

Τὸν Εὐφάνης ἐθέλων
Γεραιὸς προπάτωρ
Ὁ σὸς ἀείσατο, παῖ.
Ἄλλοισι δ' ἅλικες ἄλλοι.

ἁπλῶς ἔνδοξον ποιεῖ, ἡ δὲ ἐκ τῶν ἀγαθῶν ἔργων περιποιεῖ αὐτῷ δόξαν ἴσην τῇ τῶν βασιλέων. Ὅθεν ἡ ἐκ τῶν ἔργων τοῦ ἀνδρὸς στήλη, ἤτοι ὁ ὕμνος ἐστὶ κρείσσων τῆς ἐκ τοῦ χρυσοῦ. — ὕμνος δὲ τῶν ἀγαθῶν ἐργμάτων] «ὁ δὲ ὕμνος, ὅστις ἔχει ὕλην τὰ ἀγαθὰ ἔργα, ὡς ἡ στήλη ἔχει τὸν Πάριον λίθον ἢ τὸν χρυσόν». — ἰσοδαίμονα βασιλεῦσιν] «ἴσον κατὰ τὸν δαίμονα, κατὰ τὴν μοῖραν τοῖς βασιλεῦσιν»· ἡ δὲ μοῖρα τῶν βασιλέων, οἷς τὸ ἔσχατον κορυφοῦται (Ὀλ. Α'. 181), ἐστὶν ἡ δόξα· ἄρα «ἴσον τοῖς βασιλεῦσι κατὰ τὴν δόξαν». — ἀμφ'

στ. 146. ὁ σὸς ἀείσεται, παῖ· γραφὴ τῶν χειρογράφων. Ἡ κατὰ ταύτην τὴν γραφὴν ἔννοιά ἐστιν «ὃν (Καλλικλῆ) θὰ ᾄσῃ Εὐφάνης ὁ γηραιὸς ὁ ὁμῆλιξ αὐτῷ». Ἀλλ' ἡ ἔννοια αὕτη μετὰ τὰ «κεῖνος ἀμφ' Ἀχέροντι . . . εὑρέτω κελαδῆτιν» οὐ καλὴ ἐνταῦθα. Ἀνάγκη λοιπὸν διορθώσεως· καὶ οἱ μὲν διώρθωσαν ὁ σὸς ἀείσατο, παῖ· οἱ δὲ, σὸς ἄεισέν ποτε, παῖ· ἐγὼ δὲ παρέλαβον εἰς τὸ κείμενον τὴν πρώτην, καίπερ οὐ κρείσσονα οὖσαν τῆς δευτέρας.

Ἀχέροντι ναιετάων] Ἀνάγκη ἦν νὰ εἴπῃ ταῦτα καὶ ἵνα ἐννοήσωμεν, διὰ τί παρέβαλε τὸν ὕμνον πρὸς στήλην, καὶ ἵνα ποιῶν ἀντίθεσιν πρὸς τὸ ἑπόμενον, τὸν Εὐφάνης καὶ ἑξῆς, μνημονεύσῃ οὕτω καλῶς καὶ τοῦ Εὐφάνους, ὡς εἰ ὁ λόγος ἀναγκάζοι. — ἵν' ἀγῶνι Ὀρσοτριαίνα] ἐκεῖ, ἵνα (ὅπου). Τὸ δὲ ἀγῶνι Ὀρσοτριαίνα κεῖται ὡς ἐπιξηγηματικὸν τοῦ ἵνα. Heynius συντάσσει «κελαδῆτιν Ὀρσοτριαίνα ἀγῶνι (ἐν ἀγῶνι Ὀρσοτριαίνα), ἵνα θάλησεν» οὐχὶ καλῶς· ὁ δὲ νοῦς «ἂς ἀκούσῃ (εὑρέτω) ἐμὲ κελαδοῦντα ἀπὸ τοῦ Ἰσθμοῦ, ὅπου ἐνίκησεν». — Θάλησε σελίνοις] ἤνθησε τὴν κεφαλὴν Κορινθίοις σελίνοις· ἐφορτώθη ἡ κεφαλὴ στεφάνων ἐκ σελίνων. Heynius δὲ «ἔτυχε στεφάνου θάλλοντος».

— Στ. 144-150. τὸν Εὐφάνης . . . φάσθαι] ὡς καλῶς μετέβη εἰς τὸν ἔπαινον τοῦ Εὐφάνους ὡς ἀρίστου λυρικοῦ ποιητοῦ· οἵᾳ τέχνῃ χρῆται ἐν τῷ ἐπαινεῖν αὐτόν· «ὃν ζῶντα ὁ σὸς προπάτωρ Εὐφάνης ὕμνησε νικήσαντα, ἐν ἡλικίᾳ μὲν τότε ὤν, νῦν δὲ γηραιός· ὃς καὶ νῦν σέ, ὦ παῖ, ἂν ὕμνησεν, εἰ μὴ οὕτω γέρων ἦν· οὐ γὰρ οἱ αὐτοί, ἀλλ' ἄλλοι ἄλλοις ποιηταί εἰσιν ἐν ἀκμαίᾳ ἡλικίᾳ· καθ' ἃ δὲ αὐτός τις ἂν τύχῃ νὰ ᾖ σύγχρονος τῷ πράττοντι, ταῦτα ἕκαστος ἐλπίζει, ὅτι ἐξοχώτατα διηγήσεται». — τὸν] Ἀναπλήρου τὸν ζῶντα ἵνα ᾖ ἀντίθεσις πρὸς τὸ ἀνωτέρω ἀμφ' Ἀχέροντι ναιετάων. — γεραιὸς] ἐκ τῆς λέξεως ταύτης εἰκάζεται, ὅτι ὁ προπάτωρ τοῦ νικηφόρου παιδὸς ἔζη ἔτι, ἀλλ' ἦν γέρων περὶ τὰ ἔσχατα ἤδη. Δύναται δὲ νὰ λεχθῇ γεραιὸς καὶ ἐπὶ τοῦ τεθνεῶτος, ἀλλὰ τότε σημαίνεται, ὅτι ὅτε ἔπραττε τὸ περὶ οὗ ὁ λόγος, ἦν γέρων· ὅπερ ἐνταῦθα οὐχ ἁρμόζει. — ἄλλοισι . . . ἄλλοι] ἐνταῦθα ὁ Πίνδαρος ἐποίησε πήδημα παραλιπὼν ὅλην ὑπόθεσιν καὶ συμπέρασμα «καὶ νῦν σε, εἰ μὴ γεραιὸς ἦν, ὕμνησεν· ἄλλοισι δ' ἄλικες ἄλλοι (ἀλλ' ἄλλοι δι' ἄλλους ἔχουσι τὴν κατάλληλον ἡλικίαν· ὁ μὲν σὸς προπάτωρ

Τὰ δ᾽ αὐτὸς ἄν τις τύχῃ,
Ἔλπεταί τις ἕκαστος ἐξ-
οχώτατα φάσθαι.
Οἷον αἰνέων κε Μελησί-
αν ἔριδα στρέφοι,
Ῥήματα πλέκων, ἀπάλαι-
στος ἐν λόγῳ ἕλκει·

εἶχε τὴν κατάλληλον ἡλικίαν νὰ ὑμνήσῃ τὸν σὸν μήτρωα, ἐγὼ δὲ ἔχω νὰ ὑμνήσω σέ). — ἅλικες] «ἔχοντες τὴν ἀπαιτουμένην ἡλικίαν εἴς τι» ὅθεν «σύγχρονοι καὶ τούτου ἕνεκα οὐ κωλυόμενοι ὑπὸ τῆς ἡλικίας ποιῆσαί τι, ὥσπερ ὁ πάππος κωλύεται νῦν ὑπὸ τοῦ γήρως νὰ ὑμνήσῃ». — τὰ δ᾽. . . τύχῃ] «ἃ δὲ (εἰς ὅσα δὲ) ἄν τις τύχῃ ἅλιξ (σύγχρονος καὶ ἅμα ἔχων αὐτὸς τὴν ἡλικίαν κατάλληλον)» Ἄνευ ἀνάγκης ὁ Ἑρμᾶννος διορθοῖ τὸ τ ύ χ ῃ εἰς ἴ δ ῃ, ὁρμώμενος ἐκ τοῦ Π. Σ. ὅστις ἑρμηνεύει «ἅπερ δὴ ἄν τις τύχῃ θεασάμενος». Ἀλλ᾽ ὁ Π. Σ. οὐδὲν ἄλλο ἡρμήνευσεν οὕτω ἢ τὸ «τ ὰ ἄ ν τ ι ς τ ύ χ ῃ (ἅ λ ι ξ)» ὑπακουομένης ἀφ᾽ ἑαυτῆς τῆς λέξεως ἅ λ ι ξ· διότι τῷ ὄντι ἐν τῇ γραφῇ τοῦ κειμένου ἐνυπάρχει καὶ ἡ ἔννοια τοῦ Π. Σ.

— Στ. 151-156. οἷον αἰνέων . . . ἔφεδρος] Ἀρίστη ἐστὶν ἡ ὁδὸς τῆς εἰς τοὺς ἐπαίνους τοῦ Μελησία μεταβάσεως «Καθ᾽ ὅσα δέ τις αὐτός ἐστι σύγχρονος τῷ πράττοντι (τ ὰ δ᾽ α ὐ τ ὸ ς ἄ ν τ ι ς τ ύ χ ῃ), ταῦτα ἕκαστος ἐλπίζει καὶ δύναται νὰ διηγηθῇ καὶ νὰ ὑμνήσῃ ἐξοχώτατα (ἔ λ π ε τ α ί τ ι ς . . . φ ά σ θ α ι)· ὡς ἐπὶ παραδείγματι (ο ἷ ο ν) ἐπαινῶν τὸν Μελησίαν σύγχρονός τις ὢν αὐτῷ δύναται νὰ καταβάλῃ καὶ νὰ καταστρέψῃ πᾶσαν ἐκ τῶν φθονούντων ἔριδα καὶ ἐναντιότητα· διότι

στ. 148· τ ι ς ἴ δ ῃ διόρθωσις ἐξ εἰκασίας ἕνεκα τοῦ μέτρου.

διηγούμενος τάς τε ἄλλας ἀρετὰς αὐτοῦ καὶ τὴν εἰς τὸ καθιστάναι τοὺς παῖδας ἱκανοὺς νὰ νικῶσιν ἐν τοῖς ἀγῶσιν ἀκαταγώνιστος γίνεται ἐν τοῖς τοιούτοις λόγοις· ταῦτα δὲ ὁ σύγχρονος τῷ Μελησίᾳ λέγει περὶ αὐτοῦ, ἐὰν φιλῇ μὲν τοὺς ἀγαθούς· διότι ὁ Μελησίας ἐστὶν ἀγαθός· μισῇ δὲ τραχέως τοὺς φθονερούς· διότι οἱ ἐχθροὶ τοῦ Μελησία εἰσὶ φθονεροί». Ὁ Μελησίας ὡς διδάσκαλος ἀλείπτης παίδων νικησάντων ἐν ἀγῶσιν ἀναφέρεται μετὰ πολλῶν ἐπαίνων καὶ ἐν Ὀλ. Η'. 71. ὡσαύτως σὺν τῷ ἐπαίνῳ τοῦ Μελησία τελευτᾷ καὶ ἡ ΣΤ.' (Νεμ.) ᾠδή. — οἷον] οὐκ ἔστι θαυμαστικόν, ἀλλὰ σημαίνει, ὡς, παραδείγματος χάριν, οἷόν ἐστι τὸ ἑξῆς· ἐν τοιαύτῃ σημασίᾳ χρῆται τῷ οἷον καὶ Ὅμηρος (Ἰλ. φ. 57. ρ. 471-586 καὶ ἀλλαχοῦ). — αἰνέων] οὐχὶ ὁ Πίνδαρος ἢ ὁ Εὐφάνης, ἀλλ' ἀορίστως «ὅστις ἂν ᾖ σύγχρονος τῷ Μελησίᾳ». — ἔριδα στρέφοι] Αἱ λέξεις στρέφοι, ἀπάλαιστος, ἕλκει ἐλήφθησαν ἀπὸ τῶν παλαιόντων· διότι καὶ ὁ Μελησίας ἦν πρότερον μὲν ἀθλητής, εἶτα δὲ ἀλείπτης, ὡς ἐν τοῖς εἰς Ὀλ. Η.' 77 κ. ἑξῆς ἐλέχθη. Ὅθεν «ἔριδά κε στρέφοι» ἐστὶν ὡσεὶ ἔλεγεν «δύναται νὰ συστρέφῃ καὶ περιελαύνῃ τὴν ἔριδα, ὡς ὁ Μελησίας συστρέφει ἐν τῇ πάλῃ τὸν αὐτοῦ ἀνταγωνιστήν». Ἔριδα δὲ σημαίνει ἢ τὴν ἐναντιότητα πρὸς τοὺς ἐπαίνους, ἣν δύνανται νὰ ἐπενέγκωσιν οἱ ἄλλοι ἀλεῖπται οἱ φθονοῦντας τῷ Μελησίᾳ, ἢ ἣν δύνανται νὰ ποιήσωσι πρὸς τὸν ἐπαινοῦντα οἱ φθονοῦντες ποιηταὶ λέγοντες, ὅτι οὐκ ὀρθῶς ἐν τῷ ὕμνῳ τοῦ νικηφόρου ἐπαινεῖ καὶ τὸν ἀλείπτην διδάσκαλον. — ῥήματα πλέκων] ἡ μεταφορὰ ἐκ τῶν πλεκόντων στεφάνους· «ῥήματα πλέκων εἰς στέφανον τῷ Μελησίᾳ, ἤτοι ἐπαινῶν ὁ σύγχρονος τὸν Μελησίαν». Σημειωτέον δέ, ὅτι οὐκ ἐπαινεῖ τοσοῦτον τὸν Μελησίαν, διότι ἦν ἄριστος ἀλείπτης, ὅσον διότι ἦν Ὀλυμπιονίκης καὶ Νεμεονίκης πάλῃ, καὶ εἶτα παγκρατιονίκης. — ἕλκει] τὸν ἐρίζοντα.

Μαλακὰ μὲν φρονέων ἐσλοῖς,
Τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

— μαλακὰ . . . ἔφεδρος] Σύνταττε οἷον μαλακὰ μὲν φρονέων ἐσλοῖς (ὁ σύγχρονος τῷ Μελησίᾳ), τραχὺς δὲ παλιγκότοις ἔφεδρος, αἰνέων κε Μελησίαν . . . ἕλκει· ἤτοι, παραδείγματος χάριν, ἐὰν ὁ σύγχρονος τῷ Μελησίᾳ εὐνοῇ μὲν τοὺς ἀγαθοὺς κ. τ. λ». — ἐσλοῖς] οἷός ἐστιν ὁ Μελησίας. — παλιγκότοις] «τοῖς ἀεὶ ἐν τῇ ψυχῇ τὴν πρὸς τοὺς ἐσλοὺς ὀργὴν καὶ ἔχθραν φυλάττουσιν».

ΜΕΤΑΦΡΑΣΙΣ.

Πόνων ἤδη τετελεσμένων ἡ εὐφροσύνη ἄριστός ἐστιν ἰατρός· αἱ δὲ σοφαὶ ᾠδαὶ αἱ θυγατέρες τῶν Μουσῶν τῶν πόνων ἁπτόμεναι ἔθελξαν τὸν κεκμηκότα· οὐδὲ θερμὸν ὕδωρ ἀναῤῥώννυσι τὰ μέλη τοσοῦτον, ὅσον ὁ ὕμνος κοινωνῶν τῇ φόρμιγγι. Περὶ δὲ τῶν κατορθωμάτων ἐκεῖνο τὸ ῥῆμα χρονιώτερον διαιωνίζει, ὅπερ ἂν γλῶσσα σὺν τῇ βοηθείᾳ τῶν Χαρίτων ἐκ βαθείας φρενὸς ἐκβάλοι· εἴθε μοι γένοιτο δυνατὸν ἐκ τοιούτων ῥημάτων νὰ συνθῶ ὕμνον εἰς τὸν Κρονίδην Δία καὶ τὴν Νεμέαν καὶ εἰς τὴν πάλην τοῦ Τιμασάρχου· εἴθε δὲ δέξαιτο αὐτὸν ἡ εὔπυργος ἕδρα τῶν Αἰακιδῶν, ἡ φωτίζουσα κοινῶς πᾶσαν ξεναρκῆ δικαιοσύνην· εἰ δ' ἔτι ὁ σὸς πατὴρ Τιμόκριτος ἐθάλπετο ἔτι ὑπὸ

τοῦ θερμοτάτου ἡλίου, ἔξοχος κιθαριστὴς ὤν, θαμὰ ἐπιστήσας τὸν νοῦν ταύτῃ τῇ μελῳδίᾳ, ἤθελε κελαδήσῃ ὕμνον καλλύνοντα νίκην πέμψασαν ὅρμον στεφάνων καὶ ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος καὶ ἀπὸ τῶν πλουσίων καὶ ἐνδόξων Ἀθηνῶν καὶ ἀπὸ τοῦ ἀγῶνος τοῦ ἐν ἑπταπύλοις Θήβαις· διότι οἱ Καδμεῖοι ἄσμενοι παρὰ τὸν ἀγλαὸν τύμβον τοῦ Ἀμφιτρύωνος ἐστεφάνουν αὐτὸν ἕνεκα Αἰγίνης· διότι φίλος πρὸς φίλους ἐλθὼν ἄστυ φίλιον διέδραμε πρὸς τὴν ὀλβίαν αὐλὴν τοῦ Ἡρακλέους· μεθ' οὗ ποτε ὁ καρτερὸς Τελαμὼν Τροίαν ἐπόρθησε καὶ Μέροπας, τὸν δὲ μέγαν καὶ ἐκπληκτικὸν Ἀλκυονέα οὐ πρότερον κατέβαλε, πρὶν οὗτος δώδεκα ἅρματα (τοῦ Ἡρακλέους) συνέτριψε καὶ δὶς τόσους ἥρωας ἐπιβεβηκότας ἐφόνευσεν· ἄπειρος δὲ μάχης ἤθελε φανῇ, ὅτι ἐστὶν, ὁ ἀπορῶν διὰ ταῦτα· ἐπειδὴ ὁ πράττων τι κατόρθωμα εἰκός ἐστι καὶ νὰ πάθῃ. Τὰ μακρὰ δὲ (τῶν κατορθωμάτων τούτων) νὰ ᾄσω κωλύει με ὁ νόμος τοῦ ὕμνου καὶ ὁ κατεπείγων χρόνος· διότι ἕλκομαι τὴν καρδίαν ὑπὸ σφοδρᾶς ἐπιθυμίας νὰ ἐπιδείξω αὐτὸν ἐν τῇ νουμηνίᾳ· διὸ, καίτοι ἡ ποντιὰς θάλασσα ἔχει με ἐν τῷ μέσῳ, ὅμως ἀντίτεινε τῇ ἐπιβουλῇ· διότι οὕτως θὰ φανῶμεν, ὅτι διοδεύομεν μετὰ λαμπρότητος ὑπέρτεροι τῶν ἐχθρῶν· ἄλλοι δὲ φθονεροὶ τὴν ἑαυτῶν ἐπιθυμίαν πεσοῦσαν χαμαὶ θὰ κυλίσωσιν ἐν σκότει· ὁποίαν δὲ ἐμοὶ ἀρετὴν ἔδωκεν ἡ ἄνασσα Μοῖρα, ταύτην βεβαίως ὁ χρόνος προϊὼν θὰ τελέσῃ κατὰ τὸ πεπρωμένον. Ἐξύφαινε, γλυκεῖα

φόρμιγξ, αὐτίκα σὺν Λυδίᾳ ἁρμονίᾳ καὶ τοῦτο τὸ πεφιλημένον τῇ Αἰγίνῃ μέλος. Ἐν μὲν Κύπρῳ ἄρχει Τεῦκρος ὁ Τελαμωνιάδης· Αἴας δὲ ἔχει τὴν πατρῴαν Σαλαμῖνα· Ἀχιλλεὺς δὲ ἐν Εὐξείνῳ πόντῳ τὴν λευκὴν νῆσον· Θέτις δὲ ἄρχει ἐν Φθίᾳ· Νεοπτόλεμος δὲ ἐν ἁπάσῃ τῇ Ἠπείρῳ, ὅπου ὄρη καλλίστους βοῦς τρέφοντα κατάκεινται ἐκ Δωδώνης ἀρχόμενα καὶ πρὸς τὸν Ἰόνιον κόλπον τελευτῶντα. Πηλεὺς δὲ περιπεσὼν τοῖς δόλοις καὶ ἀπάταις Ἱππολύτης, τῆς ἀλόχου Ἀκάστου, καὶ αὐτοῦ, τὴν παρὰ τοὺς πόδας τοῦ Πηλίου Ἰωλκὸν πολέμῳ ἀφελόμενος Ἀκάστου παρέδωκε τοῖς Θετταλοῖς· διότι ὁ υἱὸς τοῦ Πελία Ἄκαστος παρεσκεύαζεν αὐτῷ θάνατον ἐκ δόλου κρύψας τὴν δαίδαλον αὐτοῦ μάχαιραν· ἀλλ' ὁ Χείρων ἔσωσε τοῦ θανάτου τὸν Πηλέα, καὶ τὸ ἐκ Διὸς προσδιωρισμένον ἐξετέλει κατὰ τὸ πεπρωμένον· διότι ἀργὰ καταστήσας (εἰς ἃ μετεμορφοῦτο ἡ Θέτις) τό τε παγκρατὲς πῦρ καὶ τοὺς ὀξυτάτους ὄνυχας τῶν θρασυμάχων λεόντων καὶ τὴν ἰσχὺν τῶν δεινοτάτων ὀδόντων αὐτῶν ἔγημεν ὁ Πηλεὺς μίαν τῶν ὑψιθρόνων Νηρεΐδων· εἶδε δὲ τὴν εὔκυκλον ἕδραν, ἐφ' ἧς καθήμενοι οἱ βασιλεῖς τοῦ οὐρανοῦ καὶ τοῦ πόντου ἔδοσαν αὐτῷ τε καὶ τοῖς ἐξ αὐτοῦ δῶρα καὶ κράτος. Τὸ πρὸς δυσμὰς τῶν Γαδείρων οὐ πλευστόν ἐστιν· στρέψον λοιπὸν ὀπίσω τὴν ναῦν πρὸς τὴν παραλίαν Εὐρώπην· διότι ἀδύνατόν μοί ἐστιν ἅπαντα τὸν περὶ τῶν παίδων τοῦ Αἰακοῦ λόγον νὰ διέλθω. Διότι ἦλθον κατὰ συνθήκην πρό-

θυμος κήρυξ τῶν αὐξόντων τὰ μέλη ἀγώνων, οὓς οἱ Θεανδρίδαι ἠγωνίσαντο ἐν Ὀλυμπίᾳ καὶ Ἰσθμοῖ καὶ Νεμέᾳ· ὅπου πεῖραν λαμβάνοντες ἐπιστρέφουσιν οἴκαδε οὐχὶ ἄνευ κλυτοκάρπων στεφάνων· καὶ ὅπου ἀκούομεν, ὅτι αὕτη ἡ φατρία τῶν Θεανδριδῶν, ἡ σή, ὦ Τιμάσαρχε, πρώτη θεράπαινα τῶν ἐπινικίων ἐστὶν ᾠδῶν· εἰ δὲ κελεύεις νὰ ἀναθῶ ἔτι Καλλικλεῖ τῷ πρὸς μητρὸς θείῳ στήλην Παρίου λίθου λευκοτέραν, ὁ μὲν χρυσὸς κεχωνευμένος εἰς στήλην δείκνυσιν αὐγὰς πoῤῥωτάτω διϊκνουμένας· ὁ ὕμνος ὅμως τῶν ἀγαθῶν ἔργων καθίστησι τὸν ἄνδρα ἴσον τοῖς βασιλεῦσι κατὰ τὴν δόξαν. Ἐκεῖνος λοιπὸν διαιτώμενος περὶ τὸν Ἀχέροντα ἀκουσάτω τῆς ἐμῆς γλώσσης ὑμνούσης αὐτὸν ἀπὸ τοῦ ἐν ἀγῶνι βαρυκτύπου Ποσειδῶνος, ὅπου ἤνθησε τὴν κεφαλὴν Κορινθίοις σελίνοις· ὃν ζῶντα ὁ νῦν γηραιὸς Εὐφάνης, ὁ σὸς προπάτωρ, ὦ παῖ, ὕμνησεν· διότι ἄλλοι ἄλλοις σύγχρονοί εἰσιν· εἰς ἃ δὲ αὐτὸς ἂν τύχῃ σύγχρονος ὤν, ταῦτα ἕκαστός τις ἐλπίζει, ὅτι ἐξοχώτατα θὰ ὑμνήσῃ· ὡς ἐν παραδείγματι, ὑμνῶν τις τὸν Μελησίαν (σύγχρονος αὐτῷ ὤν), ἐὰν τοῖς μὲν ἀγαθοῖς εὖ φρονῇ, τοὺς δὲ φθονεροὺς τραχέως μισῇ, δύναται πᾶσαν ἔριδα νὰ καταβάλῃ· πλέκων στεφάνους ῥημάτων ἐν τῷ λόγῳ νικᾷ.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Ε'.

ΠΥΘΕΑι ΑΙΓΙΝΗΤΗι

ΠΑΓΚΡΑΤΙΑΣΤῌ ΕΝ ΠΑΙΣΙΝ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος σύγκειται ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. — ⊥ ⏑ ⊥ | ⏕ ⊥ ⏑ ⊥ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

„ 2. ⊥ ⏑ ⊥ — | ⊥ ⏑ ⊥ — | — Τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον.

„ 3. ⏓ ⏑ — ⏑ ⏑ — | — ⊥ ⏑ ⊥ Ἐγκωμιολογικὸν ἐλειπούσης τῆς τελευταίας συλλαβῆς· τὸ δὲ πενθημιμερὲς δακτυλικόν ἐστιν Αἰολικόν· διότι ὁ πρῶτος ποὺς ἐστιν ἀεὶ εἷς τῶν δισυλλάβων.

„ 4. ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ — ⏑ Δακτυλικὸν τρίμετρον καταληκτικόν.

„ 5. ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ | ⏑ ⊥ ⏑ ⊥ — Ἐγκωμιολογικόν.

„ 6. ⊥ ⏑ ⊥ — | ⊥ ⏑ ⊥ ⏑ Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

„ 7. ⊥ ⏑ ⊥ — | ⊥ ⏑ ⊥ ⏑ Τὸ αὐτό.

„ 8. ⊥ ⏑ ⊥ — | ⊥ ⏑ — Εὐριπίδειον.

„ 9. — ⊥ ⏑ ⊥ — | ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ Ἰαμβέλεγος.

„ 10. — ⊥ ⏑ ⊥ | — ⊥ ⏑ ⊥ | — Ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

„ 11. ⊥ ⏑ ⊥ — | ⊥ ⏑ ⊥ — Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. ⏑ ⏑́ ⏑ ⏑́ | — ⏑ ⏑ — | — Χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον.

" 2. —́ ⏑ —́ — | —́ ⏑ —́ ⏑ Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

" 3. —́ ⏑ ⏑ —́ ⏑ ⏑ —́ | — —́ ⏑ —́ — Ἐγκωμιολογικόν.

" 4. —́ ⏑ —́ — | —́ ⏑ —́ Εὐριπίδειον.

" 5. — —́ ⏑ ⏑ — | ⏑ ⏑ — ⏑ Ἀναπαιστικὸν δίμετρον καταληκτικόν.

" 6. —́ ⏑ —́ — | —́ ⏑ —́ Εὐριπίδειον.

" 7. — —́ ⏑ —́ | — — ⏑ ⏑ | — — ⏑ ⏑ Ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον.

" 8. —́ ⏑ ⏑ —́ | — —́ ⏑ —́ Χοριαμβικὸν δίμετρον ἀκατάληκτον.

" 9. — —́ ⏑ ⏑ —́ | ⏑ ⏑ —́ — —́ | ⏑ ⏑ Ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον· ἡ τελευταία συλλαβή ἐστι μακρὰ διὰ τὸ ἀδιάφορον.

" 10. — ⏑ —́ — | — ⏑ ⏑ — ⏑ ⏑ — Ἰαμβέλεγος· ἡ πρώτη βραχεῖα ἢ μακρὰ συλλαβὴ τοῦ ἰαμβικοῦ πενθημιμεροῦς λείπει· ἐν δὲ τῇ τρίτῃ ἐπῳδῷ ἀντὶ μακρᾶς συλλαβῆς, ὡς ἔστιν ἐν ταῖς λοιπαῖς δυσὶ κεῖται τροχαῖος α ν θ ε.

" 11. ⏑ ⏑ — — | — ⏑ — ⏑ Ἰωνικὸν δίμετρον ἀκατάληκτον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ὦ γλυκεῖα ᾠδή, διάγγελλε πανταχοῦ τῆς γῆς τὸν στέφανον τοῦ Πυθέα, τοῦ υἱοῦ τοῦ Λάμπωνος, ὅστις πρὸ τοῦ καιροῦ τοῦ γενειάσκειν λαβὼν αὐτὸν ἐγέραρε τοὺς Αἰακίδας καὶ τὴν αὐτῶν

μητρόπολιν· ἣν εὔανδρον καὶ περὶ τὰ ναυτικὰ κλυτὴν κατέστησαν, καὶ ἐν ᾗ ἐλιτάνευσαν τὸν Ἑλλήνιον Δία ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος (ἀπὸ στ. 1-24). Ἐντεῦθεν (ἀπὸ στ. 25-33) ἀναγκαζόμενος νὰ εἴπῃ τὸ αἴτιον τῆς ἐξ Αἰγίνης μετοικήσεως τῶν Αἰακιδῶν, μετ' ὑπαινιγμοῦ καὶ μεγίστης φρονήσεως λέγει περὶ τοῦ φόνου τοῦ Φώκου. Ἐντεῦθεν ὑπισχνεῖται νὰ ἐξυμνήσῃ τὴν μετὰ τὴν ἐξ Αἰγίνης μετοίκησιν μεγίστην εὐτυχίαν καὶ δόξαν τῶν Αἰακιδῶν (ἀπὸ στ. 34-39)· ἀλλ' ἀρκεῖται μόνον εἰς τὰ περὶ τὸν Πηλέα (ἀπὸ στ. 40-69). Ἐντεῦθεν λαμβάνει εὐκαιρίαν νὰ ἐπανέλθῃ εἰς τὸν Πυθέαν, καὶ ἐξυμνῶν αὐτὸν ἐπὶ ταῖς ἱεραῖς νίκαις νὰ μνημονεύσῃ ἅμα καὶ τὰς νίκας τῶν συγγενῶν. (ἀπὸ στ. 70 μέχρι τέλους).

ΕΙΣΑΓΩΓΗ

Ὁ Πυθέας ἦν υἱὸς Λάμπωνος Αἰγινήτου (στ. 7) καὶ ἀδελφὸς Φυλακίδα (Ἴσθ. Ε'. 27) πρεσβύτερος (αὐτόθι 75. κ. ἑξῆς, καὶ ΣΤ'. 9). Ὁ δὲ Λάμπων ὁ πατὴρ ἦν υἱὸς Κλεονίκου (Ἰσθμ. ΣΤ'. 23) ἀνήκων τῇ φατρίᾳ τῶν Ψαλυχιδῶν. Ὅθεν ὁ ἐνταῦθα Πυθέας οὐκ ἦν υἱὸς τοῦ πὰρ' Ἡροδότῳ (Θ'. 78) μνημονευομένου Λάμπωνος τοῦ ἐν Σαλαμῖνι ναυμαχήσαντος, ὃς ἦν μὲν βεβαίως τοῦ αὐτοῦ γένους, υἱὸς δὲ Πύθεω. Ὅθεν οὐδὲν δύναταί τις ἀκριβῶς νὰ εἰκάσῃ περὶ τοῦ χρόνου, καθ' ὃν γέγραπται ἡ παροῦσα ᾠδή· ὅτι ὅμως ὀλίγον μετὰ τὰ Μηδικά, δῆλον ἐκ τῶν Ἰσθμ. Ε'. 60-64. Πότερον ἐν κώμῳ ἢ ἐν πομπῇ ᾔσθη ὁ ὕμνος, οὐδὲ τοῦτο δύναται νὰ δηλωθῇ.

Σ. ά. Κ. ιά.

Ουκ ἀνδριαντοποιός εἰ-
μ', ὥστ' ἐλινύσοντά μ' ἐργάζε-

— Στ. 1-3. Οὐκ ἀνδριαντοποιὸς . . . βαθμίδος ἑσταότ'] «ὁ νοῦς· οὐκ εἰμὶ ἀνδριαντοποιὸς, ὥστε ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα διηνεκῶς καὶ οὐ δυνάμενα ἀλλαχοῦ τὴν τοῦ νικηφόρου διαβοᾶν εὐδοξίαν. Ἐνδείκνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων εἰσὶ βελτίους». Π. Σ. Οἱ Π. Σ. ἀναφέρουσι καὶ τὴν ἑξῆς παράδοσιν, ἥτις διὰ τὴν ἀκρίβειαν τῆς διηγήσεως οὐκ ἔστιν ἀποῤῥιπτέα «φασὶν, ὅτι οἱ οἰκεῖοι τοῦ Πυθέου ἦλθον πρὸς αὐτὸν παρακαλοῦντες, ὅπως γράψῃ ἐπίνικον. Πινδάρου δὲ αἰτήσαντος τρεῖς (ἴσως τρισχιλίας, ὡς εἰκάζει ὁ Boeckhius) δραχμὰς, ἔφησαν ἐκεῖνοι κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς ἢ τὸ ποίημα· χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες ἦλθον τὸ αὐτὸ διδόντες· ὁ δὲ ἐξονειδίζων αὐτοὺς οὕτως ἤρξατο, καί φησι μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντουργοὶ τοὺς χαλκοῦς ἀνδριάντας, ἀλλὰ τὰ ποιήματα, ἅπερ πανταχόσε διϊκνεῖται, ὥστε τὴν ἀρετὴν τῶν ἐπαινεθέντων πολλοῖς εἶναι δήλην». Σημειωτέον δὲ, ὅτι ὁ ποιητὴς ἤρξατο οὕτως, οὐχὶ, ὡς ὁ Π. Σ. λέγει, ἐξονειδίζων, ἀλλὰ λαμβάνων εὐκαίρως, ἢ τοῦτο, ὅπερ διηγεῖται ὁ Π. Σ. ἢ ἕτερόν τι ὅμοιον μὲν τῷ τοῦ Π. Σ. ἀλλ' ἄγνωστον ἡμῖν, ὡς ἀφορμὴν νὰ διαγγείλῃ τὴν νίκην τοῦ Πυθέα. — ἐλινύσοντα] τελικὴ μετοχή· ἵνα ἐλινύωσιν,

στ. 2. ἐλινύσσοντα ἐν τοῖς πλείστοις τῶν χειρογρ· ἀλλὰ κρεῖσσον τὸ ἐλινύσοντα χειρογρ. τινῶν.

σθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
Ἑσταότ'. ἀλλ' ἐπὶ πάσας
Ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά,
Στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλ-
λοισ', ὅτι Λάμπωνος υἱὸς
Πυθέας εὐρυσθενὴς
Νικῇ Νεμείοις παγκρατίου στέφανον.
Οὔπω γένυς φαίνεν τέρειναν
Ματέρ' οἰνάνθας ὀπώραν,

ἀναπαύωνται. — ἐπ' αὐτᾶς βαθμίδος] πρόσεχε μὴ συντάξῃς τῷ ἑ σ τ α ό τ α, ἀλλὰ τῷ ἐ λ ι ν ύ ο ν τ α· διότι εἰς τὸ ἑ σ τ α ό τ α συνεπτύχθη κατ' ἔφελξιν πρότασις ἀναφορική. Τὸ δὲ πλῆρές ἐστιν «ἐλινύσοντα ἐπ' αὐτᾶς βαθμίδος, ἐφ' ἧς ἑστᾶσι». Ὅθεν τὸ ἐ π' α ὐ τ ᾶ ς οὐ σημαίνει τὸ «ἐπὶ τῆς αὐτῆς», ἀλλ' ἔχει τὴν συνήθη σημασίαν «ἐπ' αὐτῆς μόνης». Ἡ δὲ ἀντίθεσις τῆς θέσεως, ἢ βαθμίδος, ἐφ' ἧς ἵστανται τὰ ἀγάλματα, πρὸς τὴν θέσιν, ἤτοι τὴν πόλιν, ἢ τὸ μέρος τῆς πόλεως, ἐν ᾧ προσδιωρίσθη νὰ ᾀσθῇ ὁ ὕμνος, ἔχει οὕτως· «τὰ μὲν ἀγάλματα ἀναπαύονται ἐπὶ ἐκείνης μόνης τῆς βάσεως, ἐφ' ἣν ἂν ἑστῶσιν· ὁ δὲ ὕμνος οὐ μόνον ᾄδεται ἐν ἐκείνῃ τῇ πόλει, ἐν ᾗ ἂν προσδιωρισμένος ᾖ, ἀλλὰ πανταχοῦ».

— Στ. 4-16. ἀλλ' ἐπὶ πάσας . . . ἄρουραν] «διὰ παντὸς οὖν πλοίου φορτηγοῦ τε καὶ μικροτέρου, ὦ γλυκεῖά μου ᾠδή, πορεύου βοῶσα πρὸς πάντας τὰς τοῦ

στ. 9. νίκη ἐκ διορθώσεως ἀντὶ τοῦ ἐ ν ί κ η ἐκ τοῦ ν ί κ η μ ι· ἡ δὲ γραφὴ τῶν χειρογρ. ν ι κ ῇ ἀντὶ τοῦ ν ι κ ᾷ Αἰολικὸν ἴσως. — Ν ε μ έ ο ι ς γραφὴ τῶν χειρογρ. ἡ δὲ Ν ε μ ε ί ο ι ς ἐκ διορθώσεως καλῶς ἴσως ἐχούσης.

στ. 10. γ έ ν υ σ ι ἐν δυσὶ χειρογρ. καὶ ὁ Π. Σ. οὕτω, φαίνεται ἀνέγνω. — φ α ί ν ω ν ἔν τινι χειρογρ. καὶ ὁ Π. Σ. κατὰ μετοχὴν ἑρμηνεύει.

Πυθέου νίκας· ὃς οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων νικήσας τοὺς ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρεΐδων Αἰακίδας καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν ἐκόσμησεν». Π. Σ. — ἀλλ' ἐπὶ πάσας] βραχυλογία ἀναπληρωτέα «ἀλλ' ἀοιδός εἰμι· ἐπὶ πάσας οὖν στεῖχε κ. τ. λ.». — ὁλκάδος] «ὁλκὰς εἶδος φορτηγοῦ» Π. Σ. — ἀκάτῳ] «ἄκατος πλοῖον βραχύτατον» Π. Σ. — στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ'] Στείχει, ἤτοι πορεύεται ἡ ᾠδὴ ἀπ' Αἰγίνης πρὸς ἅπαντα τὰ μέρη κατὰ δύο τρόπους· ἢ ὁ νικηφόρος ἀγοράζει παρὰ τοῦ ποιητοῦ καὶ τὸ δικαίωμα τῆς ἰδιοκτησίας τῆς ᾠδῆς, καὶ οὕτω μετὰ τὴν πομπὴν ἢ κῶμον ἐκδίδωσι τὸ ποίημα εἰς ἀντιγραφὴν καὶ πώλησιν· ἢ ποιεῖ τοῦτο αὐτὸς μὲν ὁ ποιητής, μετὰ τὸ ᾀσθῆναι ὅμως ἐν τῇ πόλει τοῦ νικηφόρου τὸν ὕμνον. — εὐρυσθενὴς] καλῶς ἔχει πρὸς παγκρατιαστήν. — Νικῇ] ἀντὶ τοῦ νικᾷ «κατὰ μετάθεσιν τοῦ $\bar{α}$ εἰς $\bar{η}$» Π. Σ. — στέφανον] «ἐνίκησε νίκην στεφάνου». — οὔπω γένυς φαῖνεν] ὅτε δηλ. ἐνίκησεν. Λίαν ἀξιοσύστατος ἡ διόρθωσις τοῦ Ἑρμάννου γένυϊ φαίνων ἀντὶ φαῖνεν ἐκ τῆς παρὰ τοῖς Π. Σ. ἐξηγήσεως τοῦ Διδύμου «θέλει οὖν λέγειν, ὅτι οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων. Τὸ σχῆμα περίφρασις ἐξ ἀλληγορίας· τῆς ἁπαλῆς οἰνάνθης τὴν μητέρα ὀπώραν φαίνων». — τέρειναν . . . ὀπώραν] «Δίδυμός φησι μὴ τὸν καρπόν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ ὁμώνυμος καρπὸς πεπαίνεται· ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος (Ὀδυσσ. ξ. 384.) Καί φάτ' ἐλεύσεσθαι ἢ ἐν θέρει ἢ ἐν ὀπώρῃ· (ὅρα καὶ αὐτόθ. μ. 76). Οἰνάνθην δὲ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν· μήτηρ δὲ τοῦ γενειάσκοντος γίνεται ἡ ὥρα· ὁ δὲ νοῦς· οὐδέπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἁπαλὴν ὥραν καὶ ὀπώραν». Π. Σ. — τέρειναν] ἁπαλήν· ἐφειλκύσθη ἀπὸ τοῦ ὀπώραν ἀντὶ τοῦ «τερείνης (οἰνάνθης)»· διότι ἐν τῇ ὥρᾳ ταύτῃ οἱ

Ἀ. ά. Κ. ιά.

Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέντας
Καὶ ἀπὸ χρυσέων Νηρηΐδων
Αἰακίδας ἐγέραρεν,
Ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
Τάν ποτ᾽ εὔανδρόν τε καὶ ναυ-
σὶ κλυτὰν θέσσαντο, πὰρ βω-
μὸν πατέρος Ἑλλανίου
Στάντες πίτναν τ᾽ εἰς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ

καρποὶ ὥριμοι γενόμενοί εἰσιν ἁπαλοί, ὡς καὶ ἐν τῇ ἥβῃ αἱ τρίχες τῆς γένυός εἰσιν ἁπαλαί. — ἐκ δὲ Κρόνου . . . Αἰακίδας] «Συλλήψει κέχρηται, ἀπὸ Κρόνου καὶ Ζηνὸς καὶ Νηρεΐδων λέγων εἶναι τοὺς Αἰακίδας. Αἰακὸς γὰρ Διός, Αἰακοῦ δὲ καὶ Ἐνδηΐδος τῆς Χείρωνος Τελαμὼν καὶ Πηλεύς· ὁ δὲ Χείρων Κρόνου πάλιν ἀπὸ τῶν Νηρεΐδων Φῶκος καὶ Ἀχιλλεύς. Ἀχιλλεὺς μὲν γὰρ παῖς Θέτιδος, ἔκγονος ὢν Αἰακοῦ· Φῶκος δὲ Ψαμάθης Νηρηΐδος καὶ αὐτῆς ἐξ Αἰακοῦ· ἐκ δὲ Κρόνου καὶ Ζηνὸς Τελαμὼν καὶ Πηλεύς· Κρόνου μὲν γὰρ Χείρων καὶ Φιλύρας, Χείρωνος δὲ Ἐνδηΐς, Ἐνδηΐδος δὲ Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ. Τούτους οὖν τοὺς ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρεΐδων φυτευθέντας τουτέστι τοὺς Αἰακίδας ἐγέραρε καὶ ἐκόσμησεν ὡς προγόνους αὐτοῦ» Π. Σ. — ματρόπολίν τε] τῶν Αἰακιδῶν· «καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα· γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ ἀπῳκίσθησαν διὰ τὸν

στ. 19. πατρὸς θ᾽ Ἑλλανίου· διόρθωσις, ἣ οὐδὲ τοῦ μέτρου ἕνεκά ἐστιν ἀναγκαία· διότι τὸ τροχαϊκὸν δέχεται κατὰ τὰς ἀρτίους χώρας καὶ ἀνάπαιστον.

Φώκου θάνατον». Π. Σ. — φίλαν ξένων] «φίλαν ξένων ἄρουραν τὴν Αἴγινάν φησιν, ὅτι φιλόξενοι οἱ Αἰγινῆται». Π. Σ.

— Στ. 17-24 Τάν ποτ' εὔανδρόν τε . . . πόντου] «ἥντινα Αἴγιναν ἐποίησαν ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικὰ καὶ στάντες παρὰ τὸν Ἑλλανίου Διὸς βωμὸν πάντες ὁμοῦ οἱ υἱοὶ τῆς Ἐνδηΐδος Τελαμὼν καὶ Πηλεὺς καὶ ὁ υἱὸς τῆς Ψαμάθης Φῶκος ἐλιτάνευσαν». Διὰ δύο λοιπὸν αἰτίας ἐπαινεῖ τοὺς Αἰακίδας· πρῶτον διότι κατεστήσαντο τὴν Αἴγιναν εὔανδρον καὶ κλυτὴν ἐπὶ τῷ ναυτικῷ· δεύτερον, ὅτι ἐλιτάνευσαν παρὰ τὸν βωμὸν τοῦ Ἑλλανίου Διός. — θέσσαντο] οὐχὶ δι' εὐχῆς· ἀλλὰ διὰ τῆς ἐπιμελείας καὶ καλῆς διοικήσεως καὶ ἀγαθῶν θεσμῶν θέσαντο, ἐποίησαν νὰ κατασταθῇ ἡ Αἴγινα εὔανδρος κ. τ. λ. — παρ' βωμὸν . . . χεῖρας] ἢ ἐκληπτέον τὸ σχῆμα ὑπερβατὸν, ἤτοι ὅτι τὸ τ ε (πίτναν τ') οὐκ ἐτήρησε τὴν ἑαυτοῦ θέσιν, δέον νὰ τεθῇ ἐν ἀρχῇ οὕτω πως «πὰρ βωμόν τε πατέρος». ἢ ἐγκριτέον τὴν εἰκασίαν τοῦ Schmidii «παρ' βωμὸν πατρὸς θ' Ἑλλανίου . . . πίτναν τ' εἰς αἰθέρα». Τὴν λιτανείαν, περὶ ἧς ἐνταῦθα ὁ λόγος, ἐποίησε κατὰ τὴν μυθολογίαν ὁ Αἰακός· ἀλλ' ὁ ποιητὴς συνεκδοχικῶς λέγει ὅτι ἐποίησαν οἱ παῖδες αὐτοῦ· «φασὶν αὐχμοῦ ποτε πιέζοντος τὴν Ἑλλάδα, ἔνιοι δὲ κατακλυσμοῦ, συνελθόντας τοὺς Ἕλληνας καθικετεῦσαι τὸν Αἰακὸν, ὡς ὄντα παῖδα Διὸς, ἐξαιτήσασθαι τῶν τότε συστάντων κακῶν τὴν ἴασιν· τοῦτον δὲ εὐξάμενον ἀποθεραπεῦσαι τὰ δεινά, καὶ οὕτω διὰ τὴν τῆς Ἑλλάδος σωτηρίαν Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τετιμῆσθαι Δία. Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ οὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλουμένῳ». Π. Σ. — πίτναν] ἐξέτειναν ἐκ τοῦ πιτνάω καὶ πίτνημι. — καὶ βία . . . πόντου] «καὶ ὁ Φῶκος ὁ τῆς θεοῦ Ψαμάθης παῖς, ὅντινα ἡ Ψαμάθη ἐγέννησε παρὰ τοῖς Αἰγιαλοῖς τῆς θαλάσσης, εἰκότως ὡς Νηρηΐς. Κρέ-

Καὶ βία Φώκου κρέοντος,
Ἐ. ά. Κ. ιά.
Ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια
Τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
Αἰδέομαι μέγα εἰπεῖν, ἐν δίκᾳ τε
Μὴ κεκινδυνευμένον·

οντος δὲ ἢ τοῦ ἐνδόξου, ἢ βασιλέως». Π. Σ. Ἐπισημείωσις· οἱ Π. Σ. τὴν λέξιν θέσσαντο σημαίνουσι διὰ τοῦ ηὔξαντο καὶ ἑρμηνεύουσι τὴν πρότασιν «τάν ποτε . . . στάντες» οὕτως «ἥντινα Αἴγιναν ηὔξαντο ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικά· ηὔξαντο δὲ πάντες παρὰ τὸν Ἑλληνίου Διὸς βωμόν». Ἐν ᾧ λοιπὸν ἡ εὐχὴ αὕτη κατὰ τὴν ἐξήγησιν τοῦ Π. Σ. σαφῶς ἐγένετο ὑπὲρ μόνης τῆς Αἰγίνης· εὐθὺς ἐπιφέρεται ὑπὸ τοῦ αὐτοῦ Σχ. ὁ μῦθος περὶ τῆς εὐχῆς τοῦ Αἰακοῦ ὑπὲρ τῆς θεραπείας τῶν δεινῶν ἁπάσης τῆς Ἑλλάδος· καὶ οὕτω ὁ Π. Σ. πίπτει εἰς φανερὰν ἀντίφασιν. Ἐκ ταύτης λοιπὸν τῆς ἀντιφάσεως δέον νὰ εἰκάσῃ τις, ὅτι ἐν ταῖς λέξεσιν τοῦ Π. Σ. «Αἴγιναν ηὔξαντο ἀγαθῶν» τὸ ηὔξαντό ἐστι νόθον, ἢ ἐτέθη ἐπὶ τῆς σημασίας τοῦ «ἐπόθησαν, ἐσπούδασαν, ἐπροθυμήθησαν»· καὶ ὅμως τῶν σοφῶν Ἑλληνιστῶν τινες παραδέχονται τὸ θέσσαντο ἐπὶ τῆς κυρίας σημασίας τοῦ ηὔξαντο τῷ Π. Σ. ἑπόμενοι. Ὅτι δὲ ἐκ τοῦ τίθημι ἐγίνετο καὶ θέσω καὶ ἔθεσα, θέσομαι καὶ ἐθεσάμην ὅθεν παρακείμ. τέθεμαι καὶ τέθεσμαι· δηλοῦσιν αἱ λέξεις, θέμα, θέσις, θετός· καὶ θεσμός, ἀπόθεστος. Τούτων λοιπὸν οὕτως ἐχόντων, τὸ ἡμέ-

---

στ. 24. ἐπὶ τὸ ῑ μακρὸν διὰ τὸ ἑπόμενον ὑγρόν.

στ. 29. ἀπ᾽ οἰνώνας ἔν τισι χειρογράφοις· καὶ ὁ Π. Σ. ἑρμηνεύων «καὶ τίς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης ἀπήλασε» ἀπ᾽ Οἰνώνας ἀνέγνω.

τερον θέσαντό ἐστι μέσος ἀόριστος ά. ἐκ τοῦ τίθημι ἀντὶ τοῦ θέσαντο ἐνὶ σ.

— Στ. 25-29. Αἰδέομαι . . . στάσομαι] Εἰπών, ὅσα οἱ Αἰακίδαι ἀγαθὰ ἐποίησαν ἐν τῇ ἑαυτῶν πατρίδι, μέλλει ἤδη νὰ διέλθῃ καὶ τὰς τιμάς, ἃς ἔσχον παρὰ τῶν θεῶν ἐν ξέναις χώραις, ὅπου ἀπῴκησαν, καὶ τὰς ἀρετὰς καὶ κατορθώματα, ἃ ἔπραξαν ἐν αὐταῖς· ἀναγκάζεται λοιπὸν ὑπ' αὐτοῦ τοῦ ῥοῦ τοῦ λόγου νὰ εἴπῃ καὶ τὸ αἴτιον, δι' ὃ κατέλιπον τοιοῦτοι ὄντες τὴν πατρίδα· διότι ἥρωες γεννηθέντες ἐκ Διὸς καὶ Κρόνου καταστήσαντες τὴν πατρίδα εὔανδρόν τε καὶ κλυτὴν ἐπὶ τῷ ναυτικῷ καὶ πλούτῳ, τιμώμενοι ἐπὶ ἀρετῇ καὶ θεοσεβείᾳ ὑφ' ἁπάντων τῶν Ἑλλήνων· ἥρωες τοιοῦτοι οὐ φεύγουσιν ἄνευ μεγάλου αἰτίου τὴν πατρίδα. Διὸ ὁ λόγος ἀπαιτεῖ παρὰ τοῦ λέγοντος νὰ εἴπῃ καὶ τὸ αἴτιον τῆς φυγῆς. Τὸ αὐτὸ ποιεῖ καὶ ἐν Ὀλ. Ζ΄. (ὅπου παραπέμπει ὁ Heynius) περὶ τοῦ Τληπολέμου. Ὁ Τληπόλεμος εὐδαιμόνει μὲν ἐν Τίρυνθι, μετῴκισε δὲ εἰς Ῥόδον· ὤφειλε λοιπὸν ὁ ποιητὴς νὰ εἴπῃ καὶ αἴτιον τῆς μετοικεσίας. Πολλῷ δὲ μᾶλλον ἐνταῦθα ὁ ποιητής, ὅπου μετὰ τοσούτου ἐπαίνου ἀναφέρει τὸν Φῶκον, ὀφείλει νὰ μὴ παρασιωπήσῃ τὸ αἴτιον τῆς μετοικεσίας τῶν Αἰακιδῶν. Ἀναφέρει ὅμως αὐτὸ οὕτω σεμνῶς καὶ εὐπρεπῶς, ὡς προσήκει να ἀναφέρωνται τῶν ἐνδόξων καὶ μεγάλων εὐεργετῶν τῆς πατρίδος τὰ ἁμαρτήματα. — αἰδέομαι . . . κεκινδυνευμένον] «αἰδοῦμαι καὶ φυλάττομαι διηγήσασθαι μέγα τι καὶ οὐ δικαίως τετολμημένον καὶ πεπραγμένον· εἰς γὰρ τὰ πάτρια τῶν Αἰακιδῶν ἐμπεσὼν καὶ μνησθεὶς Φώκου ὑποστέλλεται τὴν κατ' αὐτὸν τύχην λέγειν. Ἔστι δὲ αὕτη· φασὶ γὰρ Πηλέα καὶ τὸν Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντας Φῶκον, τὸν μὲν δίσκῳ τύψαντα, τὸν Πηλέα, καὶ τὸν Τελαμῶνα σιδήρῳ τὰ μετάφρενα καὶ οὕτω τὸ μύσος φεύγοντας τῆς Αἰγίνης ἐκπεσεῖν, καὶ τὸν μὲν Τελαμῶνα εἰς Σαλαμῖνα τὴν πρὸς τῇ Ἀττικῇ,

Πῶς δὴ λίπον εὐκλέα νᾶσον,
Καὶ τίς ἄνδρας ἀλκίμους
Δαίμων ἀποινώσαις ἔλασεν· στάσομαι·
Οὔ τοι ἅπασα κερδίων
Φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής.
Καὶ τὸ σιγᾶν, πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπων νοῆσαι.

Σ. β'. Κ. ιά.

Εἰ δ' ὄλβον, ἢ χερῶν βίαν

τὸν δὲ Πηλέα εἰς Θεσσαλίαν μετοικῆσαι· ὡς καὶ Ἀπολλώνιος ἐν τῷ καταλόγῳ φησίν.

Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ,
Πηλεὺς δ' ἐν Φθίῃ ἐριβώλακι ναῖε λιασθείς.

Τί οὖν αἰδεῖται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησι μὴ δικαίως κεκινδυνευμένον εἶναι; τὸ ὅτι ἀνεῖλον τὸν Φῶκον». Π. Σ. — πῶς δὴ λίπον . . . στάσομαι] «Πῶς λοιπὸν κατέλιπον τὴν ἔνδοξον νῆσον· τίς δαίμων παραπλάγξας καὶ ἀποπλανήσας τὰς φρένας τοιούτων ἀνδρῶν ἤλασεν εἰς τοιαύτην ἀμπλακίαν· τῆς τοιαύτης διηγήσεως ἀποστήσομαι». — ἀποινώσαις] Τὴν ἐνταῦθα μόνον εὑρημένην ταύτην λέξιν δυνατὸν νὰ παραγάγῃ τις ἐκ τοῦ ἄποινον, ὅπερ κυρίως σημαίνει «λύτρον ἐκ φόνου, δουλείας κ. τ. λ.» Ὅθεν «ἀποινώσας ὁ δαίμων τοὺς ἄνδρας» σημαίνει «ποιήσας αὐτοὺς ἀξίους νὰ ἐξαγοράσωσι τὸν φόνον (ὡς ἁρμόζει αὐτοῖς φονεύσασι τὸν Φῶκον)» Κατὰ ταύτην λοιπὸν τὴν ἐτυμολογίαν ἐξηγητέα ἡ πρότασις «τίς ἄνδρας . . . ἔλασεν» οὕτως· «τίς δαίμων ποιήσας αὐτοὺς ἀξίους νὰ ἐξαγοράσωσι τὴν ἁρμόζουσαν αὐτοῖς ποινὴν λύτροις, ἐξήλασε πρὸς ποινὴν ἐκ τῆς πατρίδος»· καὶ κατὰ ταύτην μὲν τὴν ἐξήγησιν ἡ πρότασις καθ' ἑαυτὴν

καλῶς ἔχει· παραβαλλομένη δὲ πρὸς τὴν ἡγουμένην «πῶς δὴ . . . νᾶσον» ἔστι σχεδὸν ἡ αὐτή. Κάλλιον λοιπὸν νὰ ἐκλάβωμεν τὸ ἀ π ο ι ν ώ σ α ς σύνθετον ἐκ τῆς ἀ π ὸ καὶ ο ἰ ν ώ σ α ς ἐν τῇ σημασίᾳ τοῦ «ὅλως δι' ὅλου μεθύσας αὐτούς», ὡς φαίνεται, ὅτι ἐξέλαβε καὶ ὁ ἡμέτερος Δούκας παραφράσας «τίνος δαίμονος ἐλάσαντος αὐτοὺς εἰς παροινίαν». Ὥστε «ἀποινώσας ἀλκίμους ἄνδρας» ἔστι ἴσον τῷ «ταράξας τὰς φρένας τῶν ἀλκίμων ἀνδρῶν καὶ παραπλάγξας» (παράβ. πρὸς Ὀλ. Ζ.' 55-56). Ἡ δὲ διόρθωσις τῆς λέξεως ταύτης ἀ π ο ι ν ώ σ α ι ς εἰς «ἀπ' Οἰνώνας» οὐκ ἔστιν ἀσφαλὴς καὶ διότι ἐγένετο ἐκ γλωσσήματος, τοῦ Π. Σ. ἐξηγουμένου «τίς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης ἀπήλασε» καὶ διότι ἡ πρότασις φαίνεται ὡς πλεοναστική. — ἤλασε] οὐχὶ «ἐξήλασε τῆς νήσου» ὅπερ ἐστὶ ἴσον τῷ ἡγουμένῳ «λίπον νᾶσον»· ἀλλὰ ἔ λ α σ ε ν αὐτοὺς καὶ παρέωσεν εἰς τὸ μ έ γ α κ α ὶ μ ὴ ἐ ν δ ί κ ῃ κ ε κ ι ν δ υ ν ε υ μ έ ν ο ν».

— Στ. 30-33. Οὔ τοι ἅπασα . . . νοῆσαι] «οὐ φέρει κέρδος πᾶσα ἀλήθεια· ἀλλὰ δεῖ ποτε καὶ ἐπικεκρύφθαι τὸ πρόσωπον τῆς ἀληθείας». Π. Σ. — κερδίων] ἢ «μὴ φαίνοισα πρόσωπον» ἢ ἁπλῶς ἀντὶ θετικοῦ· — φαίνοισα πρόσωπον] «φανερὰ γενομένη» Π. Σ. ὅταν γίγνηται φανερὰ, ὅταν λέγηται. — καὶ τὸ σιγᾶν . . . νοῆσαι] Ἡ σύνταξις «σοφώτατον (πρᾶγμα) ἀνθρώπων ἐστὶ νοῆσαι καὶ τὸ σιγᾶν πολλάκις (τὴν ἀτρεκῆ ἀλήθειαν) κέρδιον ὄν». Ἡ λέξις «σοφώτατον» ἐτέθη κατ' ἔφελξιν ὑπὸ τοῦ παραλειπομένου «ἔργον, πρᾶγμα» ἀντὶ «σοφωτάτων ἀνθρώπων ἔργον ἐστὶ νοῆσαι».

— Στ. 34-40. Εἰ δ' ὄλβον . . . αἰετοί] «Τὰ μὲν περὶ τοῦ Φώκου σιωπήσομαι· εἰ δέ τοι ἐπαινέσαι δεῖ ἢ τὴν εὐδαιμονίαν τῶν Αἰακιδῶν, ἢ τὸ σθένος τῶν χειρῶν, ἢ τὴν κατὰ πόλεμον ἀρετὴν, δύναμαι πόρρω ἅλλεσθαι, τοὺς Αἰακίδας ἐν τούτοις ὑμνῶν· ὑποσκαπτέτω

Ἢ σιδαρίταν ἐπαινῆσαι
Πόλεμον δεδόκηται, μακρά μοι
Αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις· ἔχω γονάτων ἐλαφρὰν ὁρμάν.
Καὶ πέραν πόντοιο πάλλον-

τίς μοι πήδημα τῶν μεγάλων σημείων, ὥστε κούφως διὰ τῶν γονάτων ἐπὶ τὸ ἐξώτερον φέρεσθαι· οἱ ἀετοὶ οὐ μόνον τὰ περίγαια πέτονται, ἀλλὰ καὶ πελαγίζουσι· καὶ ἐγὼ οὖν ὡς ἀετὸς πελαγιῶ ἐν τοῖς ποιήμασιν». Π. Σ. — χερῶν βίαν] ἰσχὺν σώματος. — σιδαρίταν πόλεμον] «πόλεμον, ἐν ᾧ γίνεται χρῆσις σιδήρου». — εἰ δεδόκηται ἐπαινέσαι] «εἰ δέδοκται τοῖς ἀθλοθέταις». Ἐκ τῶν ἑπομένων γίνεται δῆλον, ὅτι παραβάλλει ἑαυτὸν πρὸς πένταθλον πηδῶντα μέγιστα ἁπάντων τῶν ἄλλων πηδήματα· τὸν δὲ ἔπαινον τῶν Αἰακιδῶν πρὸς τὸν ἀγῶνα τοῦ ἅλματος, ἢ τὸ στάδιον, ἐν ᾧ ἀγωνίζονται ἅλμα· τοὺς δὲ παραγγείλαντας αὐτῷ νὰ ποιήσῃ τὸν ὕμνον, πρὸς τοὺς ἀθλοθέτας. — μακρά μοι ἅλμαθ' ὑποσκάπτοι τις] «ἡ μεταφορὰ ἀπὸ τῶν πεντάθλων, οἷς σκάμματα σκάπτονται, ὅταν ἅλλωνται· ἐκείνων γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, ὑποσκάπτεται βόθρος ἑκάστου τὸ ἅλμα δεικνύς· φησὶν οὖν ὅτι βουλομένῳ μοι τοὺς Αἰακίδας ἐγκωμιάζειν ἤδη τις μακρὰ ὑποσκαπτέτω μοι ἅλματα, (ὥστε) νικῆσαι καθάπαξ τοὺς ἐναντιοῦσθαι μοι καὶ ἐγκωμιάζειν βουλομένους». Π. Σ. Ὁ Dissenius οὐ πάνυ καλῶς ἐνόησε τὸν Π. Σ. λέγων «jam clarius etiam perspicitur, quod Scholiastes tradidit de βόθρῳ post saltum fosso ad spatium emensum notandum, ab hoc loco alienum esse». Ὁ Π. Σ. τοῦτο βούλεται νὰ

στ. 37. δ' αὐτόθεν ἐν τοῖς χειρογρ. Ἴσως, ὡς εἰκάζει Heynius δύναταί τις ἀντὶ τοῦ δ' νὰ γράψῃ γ'.

στ. 38. ἐλαφρόν· διόρθωσις ἕνεκα τοῦ μέτρου.

εἴπῃ, ὅτι «ἐν ᾧ μέλλουσιν οἱ πένταθλοι νὰ πηδήσωσι (καὶ οὐχὶ ἐν ᾧ πηδῶσιν), ὑποσκάπτονται βόθροι, ἤτοι ὑποσκάπτονται ὑποκοίλως τόποι τοσοῦτοι, ὅσοι εἰσὶ καὶ οἱ πένταθλοι, δεικνύοντες, ποῦ ἕκαστος θὰ πηδήσῃ». Ἐὰν δὲ ἐκληφθῇ ὁ Π. Σ. ὡς ἐξέλαβεν ὁ Dissenius, τότε ἀντιφάσκει πρὸς ἑαυτὸν προστιθέμενος «φησὶν οὖν, ὅτι βουλομένῳ μοι . . . ἅλματα». Ἅλματα λοιπὸν, ἢ σκάμματα, ὡς καλεῖ ὁ Π. Σ. ἢ βόθροι ἐννοηθήτωσαν οὕτως· ἐν τῷ σταδίῳ ἐσκάπτετο ἑκάστῳ πεντάθλῳ τόπος τις κατὰ μικρὸν μὲν πλάτος μέγα δὲ μῆκος, ἵνα οἱ πόδες τοῦ πηδῶντος εὐδιακρίτως καταλείπωσιν ἴχνη καὶ τοῦ μέρους, ὅθεν ἤρξατο τὸ πήδημα, καὶ τοῦ μέρους, ὅπου ἐτελεύτησεν. Ἐπειδὴ δὲ οἱ ἐσκαμμένοι οὗτοι τόποι ἐγίνοντο ὀλίγον βαθύτεροι τοῦ ἐπιπέδου τοῦ σταδίου· διὰ τοῦτο ὁ Π. Σ. καλεῖ αὐτοὺς βόθρους. Τούτους λοιπὸν τοὺς τόπους καλεῖ ὁ ποιητὴς ἅλματα· προστίθησι δὲ καὶ τὸ μακρὰ, οὐχὶ ὅτι ἐγίνοντο οἱ βόθροι τοῖς μὲν τῶν πεντάθλων ἐπιμηκέστεροι, τοῖς δὲ, βραχύτεροι, ἀλλὰ ποιητικῇ καταχρήσει, ἵνα δείξῃ, ὅτι αὐτὸς θὰ ὑπερβῇ τοὺς ἄλλους. Φαίνεται ἐξ ὅσων ἀναφέρουσι Ζηνόδοτος καὶ Σουΐδας ἐν τῇ παροιμίᾳ «ὑπὲρ τὰ ἐσκαμμένα, ὑπὲρ τὰ μέτρα», ὅτι τὸ μῆκος τῶν σκαμμάτων ἦν πεντήκοντα ποδῶν. — αὐτόθεν] ἐξ αὐτῆς τῆς στιγμῆς, εὐθύς. — ὑποσκάπτοι] Πολλάκις παραλείπεται τὸ ἂν ὡς καὶ Ὀλ. I.' 22. — ἔχω . . . ὁρμάν] «οἱ πόδες μου εἰσὶν ἐλαφροὶ, ὥστε νὰ πηδήσω μακρὰ πηδήματα ἐν τῷ σταδίῳ τῶν ἐπαίνων τῶν Αἰακιδῶν». — ἐλαφρὰν] ἐφελκυσθὲν ἐκ τοῦ ὁρμάν· ἔστιν ἀντὶ τοῦ «ἐλαφρῶν» ἵνα συναφθῇ τῷ γονάτων. — καὶ πέραν . . . αἰετοὶ] Ἐν τῇ πρώτῃ ἀλληγορίᾳ παρέβαλε τὸ μέγεθος τῶν ἐπαίνων, καθ' ὃ νικᾷ τοὺς λοιποὺς ὁμοτέχνους, πρὸς τὸ μέγεθος τοῦ πηδήματος· ἐνταῦθα παραβάλλει τὸ ἐν τοῖς ἐπαίνοις ὕψος ἅμα καὶ μέγεθος πρὸς τὸ ὑψιπετὲς καὶ μακροπετὲς τοῦ ἀετοῦ.

τ' αἰετοί· πρόφρων δὲ κᾀκεί-
νοις ἄειδεν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός· ἐν δὲ μέσαις
Φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον
Χρυσέῳ πλάκτρῳ διώκων,

Ἀ. β'. Κ. ιά.

Ἁγεῖτο παντοίων νόμων.
Αἱ δὲ πρώτιστον μὲν ὕμνησαν
Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν,
Πηλέα θ', ὥς τέ νιν ἁβρὰ
Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
Ἤθελε, ξυνᾶνα Μαγνή-
των σκοπὸν πείσαισ' ἀκοίταν
Ποικίλοις βουλεύμασι·
Ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,

— Στ. 40-42. Πρόφρων . . . χορός] Ἄρχεται λοιπὸν ἐντεῦθεν ὑμνῶν τοὺς Αἰακίδας. Χρῆται δὲ ἐν τῇ διηγήσει τῶν ἐπαίνων δυσὶ συνεκδοχαῖς· διότι οὔτε ἅπαντας τοὺς Αἰακίδας ἐπαινεῖ, ἀλλὰ μόνον τὸν Πηλέα· οὔτε ἁπάσας τὰς ἀρετὰς αὐτῶν, ἀλλὰ μόνον τὸν ὄλβον. — κᾀκείνοις] Τὸ καὶ ἢ ἔχει, ὥσπερ τινὲς νομίζουσι, ταύτην τὴν ἔμφασιν «καὶ ἐκείνοις, ὥσπερ καὶ ἄλλοις» (παράβ. πρὸς Πυθ. Γ.' 160 κ. ἑξῆς), ἤ, ὥσπερ ἄλλοι, συνδέεται ἡ παροῦσα πρότασις τῇ ἑπομένῃ διὰ τῶν «καὶ

στ. 41. ἀείδει ἐν τοῖς χειρογρ. ἐγὼ παρεδεξάμην τὴν διόρθωσιν ἄειδεν.

στ. 42. ἐν δὲ Μοίσαις ἡ κοινὴ τῶν χειρογρ. γραφή. Καλῶς ἔχει ἡ διόρθωσις ἐν δὲ μέσαις.

στ. 49. Κρηθηῒς ἡ κοινὴ γραφή· διωρθώθη δὲ οὐχὶ ἕνεκα τοῦ μέτρου· διότι καὶ ἡ θη συλλαβὴ ἑπομένου φωνήεντος δύναται νὰ θεωρηθῇ βραχεῖα· ἀλλὰ τὸ ὄνομά ἐστι παρὰ Πινδάρῳ σύνηθες Κρηθεῒς. — στ. 50. ξυνεῶνα ἐν ἑνὶ χειρογράφῳ.

— δε», ἀντὶ τῶν «καὶ — καὶ» ἢ «τὲ — καί». Ἡ δὲ δοτικὴ ἐ κ ε ί ν ο ι ς σημαίνει «πρὸς δόξαν ἐκείνων».— Παλίῳ] «ἐν τῷ Πηλίῳ ὄρει παρὰ Χείρωνι».

— Στ. 42-45. Ἐν δὲ μέσαις . . . νόμων] «ἐν αἷς Μούσαις ὁ Ἀπόλλων κιθάραν ἑπτάφωνον τῷ πλήκτρῳ κρούων ἐξῆρχε πάσης μελῳδίας, τουτέστι νόμων μελῳδικῶν» Π. Σ. — ἑπτάγλωσσον] «ἑπτάφωνον, ἢ ἑπτάχορδον· ἑπτὰ γὰρ οὐσῶν φωνῶν τῇ μουσικῇ· ἑπτὰ χορδὰς καὶ τῷ ὀργάνῳ τιθέασιν, ἄλλην ἄλλης μιᾷ φωνῇ παραλλαττούσης». Δούκας. — πλάκτρῳ διώκων] «ἀντὶ τοῦ συνάπτων (τὰς φωνὰς) τῷ πλήκτρῳ, κιθαρίζων τῷ πλήκτρῳ· διώκειν δέ φησιν αὐτὸν (τὸν Ἀπόλλωνα), τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως» Π. Σ. — νόμων] «τρόπος φωνῆς, ἢ μᾶλλον μέλους ὁ νόμος, ὁ καθ᾽ἡμᾶς ἐν τῇ ἐκκλησίᾳ λεγόμενος ἦχος» Δούκας.

— Στ. 46-52. Αἱ δὲ πρώτιστον . . . βουλεύμασιν] «Αἱ Μοῦσαι, φησί, πρῶτον μὲν ὕμνησαν τὸν Δία, μετὰ δὲ τὸν Δία ὕμνησαν δευτέραν τὴν Θέτιν, ἔπειτα τρίτον τὸν Πηλέα, καὶ διηγήσαντο, ὅπως αὐτὸν ἡ ἁβρὰ Κρηθηΐς ἀνελεῖν ἐβουλήθη» Π. Σ. — πρώτιστον] σύναπτε τῷ Δ ι ὸ ς ἀ ρ χ ό μ ε ν α ι. «Τὸ προοίμιον οὖν ἀπὸ Διὸς ἐποιήσαντο· καὶ ἀλλαχοῦ (Νεμ. Β.΄ 1). Ὅθεν περ καὶ Ὁμηρίδαι, Διὸς ἐκ προοιμίου· καὶ Ἄρατος· Ἐκ Διὸς ἀρχώμεσθα» Π. Σ. — νὶν δόλῳ πεδᾶσαι ἤθελε] «ἤθελε νὰ δεσμεύσῃ αὐτὸν δόλῳ» (ὅρα τὰ εἰς Νεμ. Δ.΄ 92). — ξυνᾶνα πείσαισα ἀκοίταν] «πείσασα τὸν σύντροφον ὁμόκοιτον, ἤτοι τὸν σύζυγον»· περὶ τοῦ ξ υ ν ᾶ ν, ν ᾶ ν ο ς ὅρα λεξικόν. — σκοπὸν Μαγνήτων] «τὸν Ἄκαστον τῆς Μαγνησίας τὸν ἐπίσκοπον καὶ βασιλέα» Π. Σ. — ποικίλοις βουλεύμασι] «διαβολαῖς τεχνηέντως πλασθείσαις».

— Στ. 53-56. Ψεύσταν δὲ . . . ἔσκεν] «ποικίλοις λόγοις τὸν ἑαυτῆς ἄνδρα πείσασα ἡ Κρηθηΐς ἐπεβούλευσε τῷ Πηλεῖ· τὸ δὲ πλάσμα, ψεύστης ἦν λόγος, ὅτι

Ὣς ἄρα νυμφείας ἐπεῖρα
Κεῖνος ἐν λέκτροις Ἀκάστου
Ἐ. β'. Κ. ιά.
Εὐνᾶς· τὸ δ' ἐναντίον ἔσκεν.
Πολλὰ γάρ μιν παντὶ θυμῷ
Παρφαμένα λιτάνευεν· τοῦ δὲ γ' ὀργὰν
Κνίζον αἰπεινοὶ λόγοι.
Εὐθὺς δ' ἀπανάνατο νύμφαν,
Ξεινίου πατρὸς χόλον
Δείσαις· ὁ δ' ἐφράσθη κατένευσέν τέ οἱ
Ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεύς, ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
Ποντίαν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

ἄρα ἐπειρᾶτο ὁ Πηλεὺς ἐπιβουλεῦσαι τῇ κοίτῃ τοῦ Ἀκάστου καὶ μοιχεῦσαι τὴν Κρηθηΐδα· ἦν δὲ τὸ ἐναντίον» Π. Σ. Ἡ διήγησις ἐξακολουθεῖ ὡς ἐκ τῶν Μουσῶν ᾀδομένη. — ποιητόν] ὃν αὐτὴ ἐποίησεν, ἔπλασεν. — — νυμφείας . . . εὐνᾶς] «ἐπεῖρα, ἐδοκίμαζεν αὐτὴν ἐν λέκτροις τῆς νυμφείας εὐνῆς τοῦ Ἀκάστου».

— Στ. 57-58. Πολλὰ γὰρ . . . λιτάνευεν] «Πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ μέσης ψυχῆς ἐλιτάνευε καὶ παραπείθειν ἐπεχείρει συνελθεῖν αὐτῇ» Π. Σ. — παντὶ θυμῷ] «ἐξ ὅλης ψυχῆς καὶ καρδίας». — παρφαμένα] οὐχὶ ἀόριστος μέσος, ἀλλ' ἐνεστώς.

στ. 56. ἐναντίον ἡ πρώτη συλλαβὴ ε μακρά ἐστι διὰ τὸ ἑπόμενον ὑγρόν.

στ. 58. τοῦ δὲ τ' ὀργάν· τοῖο δ' ὀργάν· τοῦ μὲν ὀργὰν διορθώσεις ἐξ εἰκασίας. Ἡ κοινὴ καὶ ἀρίστη γραφή ἐστιν, ἣν παρεδεξάμεθα ἐν τῷ κειμένῳ.

στ. 62. ὁ δ' εὖ φράσθη· ἐν δυσὶ χειρογρ.

— Στ. 58-59. τοῦ δὲ γ᾽ ὀργὰν . . . λόγοι] «ὁ νοῦς· τούτου δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον ἔκνιζον καὶ ἐλύπουν οἱ ἄδικοι λόγοι» Π. Σ. — αἰπεινοί] «οἱ προσάντεις καὶ χαλεποί, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων· προσάντεις οὖν εἰσι καὶ δυσπρόσιτοι οἱ ἀντίτυποι λόγοι» Π. Σ.

— Στ. 60-61. Εὐθὺς δ᾽ . . . χόλον δείσαις] «παραχρῆμα δὲ ἀπηρνήσατο αὐτὴν εὐλαβηθεὶς τὴν τοῦ ξενίου Διὸς ὀργήν» Π. Σ. — νύμφαν] νύμφη ἐκαλεῖτο οὐχὶ μόνον ἡ καθ᾽ ἡμᾶς νύμφη (ἡ σύζυγος τοῦ ἀδελφοῦ), ἀλλὰ καὶ πᾶσα νέα γυνὴ ὕπανδρος οὖσα. — ξενίου πατρός] «ἢ καθόλου ἀκουστέον, ὡς Ὅμηρος (Ἰλιαδ. α. 544) Πατὴρ ἀνδρῶν τε θεῶν τε· ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός» Π. Σ. Τὸ δὲ ξενίου καλῶς ἐνταῦθα· διότι ὁ Πηλεὺς ἐξενίζετο παρ᾽ Ἀκάστῳ καθαιρόμενος (ὅρα εἰς Νεμ. Δ.' 95).

— Στ. 62-67. Ὁ δ᾽ ἐφράσθη . . . Ποσειδάωνα πείσαις] «ὁ δὲ Ζεὺς ἔγνω, καὶ ἀντὶ τῆς σωφροσύνης ἐπένευσεν αὐτῷ καὶ παρέσχεν, ὥστε λαβεῖν γυναῖκα τὴν Θέτιν πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα» Π. Σ. — ἐφράσθη ἐξ οὐρανοῦ] «παρετήρησεν, εἶδεν ἐκ τοῦ οὐρανοῦ τὴν εὐσέβειαν καὶ σωφροσύνην τοῦ Πηλέως». — κατένευσέν οἱ ὥστε τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν] ἡ τάξις «κατένευσεν ὥστε πράξειν οἱ ἄκοιτίν τινα Νηρεΐδων» ὑπέσχετο διὰ κατανεύσεως τῆς κεφαλῆς, ὅτι θὰ συμπράξῃ νὰ γίνῃ αὐτῷ σύζυγος μία τῶν Νηρεΐδων. Τὸ «ὥστε πράξειν» ἴσον τῷ καθ᾽ ἡμᾶς «μὲ τὸν σκοπὸν νὰ πράξῃ». — γαμβρὸν . . . πείσαις] «πείσας εἰς τοῦτο τὸν γαμβρὸν τῶν Νηρεΐδων Ποσειδῶνα»· διότι ὁ Ποσειδῶν «ἔγημε τὴν Ἀμφιτρίτην» Π. Σ. καὶ αὕτη μὲν ἐστιν ἡ συνήθης ἐξήγησις· ἀλλὰ κρεῖσσόν ἐστι νὰ ἑρμηνεύσωμεν οὕτω. Ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς ἠρῶντο τῆς Θέτιδος· ἦσαν ἄρα γαμβροὶ τῶν Νηρεΐδων, ἤτοι μέλλοντες γαμβροί. Ἡ Θέμις ἐν ἐκκλησίᾳ τῶν θεῶν συνε-

Σ. γ'. Κ. ιά.

Γαμβρὸν Ποσειδάωνα πεί-
σαις· ὃς Αἰγᾶθεν ποτι κλειτὰν
Θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·
Ἔνθα μιν εὔφρονες ἶλαι
Σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
Καὶ σθένει γυίων ἐρίζον-
τι θρασεῖ. Πότμος δὲ κρίνει
Συγγενὴς ἔργων περὶ
Πάντων· τὺ δ' Αἰγίνᾳ θεᾶς, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πιτνῶν,

βούλευσεν αὐτοῖς νὰ ἀπόσχωνται τοῦ τοιούτου ἔρωτος (ὅρ. Ἰσθμ. Η'. 70 κ. ἑξῆς). Φαίνεται λοιπόν, ὅτι εἰς τὴν συμβουλὴν τῆς Θέμιδος πεισθεὶς πρῶτος ὁ Ζεὺς ἔπεισε καὶ τὸν Ποσειδῶνα. Ὅθεν τὸ «γαμβρὸν» σημαίνει «τὸν μέλλοντα γενήσεσθαι ἐπὶ τῇ Θέτιδι γαμβρὸν τῶν Νηρεΐδων. Προσέθηκε δὲ τὰς λέξεις ταύτας ὁ ποιητής, ἵνα παρασκευάσῃ διὰ τῶν ἑπομένων τὴν αὐτοῦ εἰς τὸν νικηφόρον ἐπάνοδον.

— Στ. 68-69. ὃς Αἰγᾶθεν . . . Δωρίαν] «Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ (οὐκ ὀρθῶς, ἀντὶ τοῦ «πόλις ἐστὶν ἐν Εὐβοίᾳ· ὅρα Στραβ. Η.' 386.) καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται· ἀπὸ τῶν Αἰγῶν οὖν φησι τὸν Ποσειδῶνα συνεχῶς ἐπὶ τὸν Ἰσθμὸν πορεύεσθαι» Π. Σ. Δυνατὸν ὅμως νὰ λέγῃ ὁ Πίνδαρος «ἀπ᾿ ἀμφοτέρων τῶν Αἰγῶν, τῶν τε ἐν Εὐβοίᾳ καὶ τῶν ἐν Ἀχαΐᾳ»· διότι ἐν ἀμφοτέραις ἐτιμᾶτο ὁ Ποσειδῶν. — Ἰσθμὸν] «Διὰ τί δὲ ὠνόμασε νῦν τὸν Ἰσθμόν; ὅτι ἦν οἰκεῖός τις τοῦ νικηφόρου Πυθέου Εὐθυμένης, ὃς ἐνίκησεν Ἴσθμια» Π. Σ.

— Στ. 70-74. ἔνθα μὶν . . . ἔργων περὶ πάντων] «ὅπου δὴ μάλιστα αἱ εὔφρονες τάξεις καὶ συστροφαὶ ὑποδέχονται αὐτὸν, τὸν Ποσειδῶνα, μετὰ βοῆς αὐλῶν καὶ διαφιλονεικοῦσιν ἰσχὺν σωμάτων θρασεῖαν· τότε δὲ ἑκάστου δείκνυται καὶ διακρίνεται τὸ συγγενηθὲν θράσος ἐπὶ πάντων τῶν τελουμένων ἔργων» Π. Σ. — εὔφρονες ἶλαι] «αἱ τάξεις καὶ συστροφαὶ τῶν νέων αἱ ἐν τῷ χορῷ γινόμεναι· ὅθεν καὶ εἰλαπίναι, ὅπου αὐτὸν (τὸν θεὸν) αἱ ἶλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας εὔφρονες οὖσαι, τουτέστιν εὐφραντικαὶ, ἐκδέχονται μετὰ μελῶν· ὅπου γὰρ κῶμος, ἐκεῖ ἐστιν εὐφροσύνη» Π. Σ. — σὺν καλάμοιο βοᾷ] ἴσον τῷ «χορεύουσαι» ὅρα Πυθ. ΙΒ.΄ 48, ὅπου οἱ δόνακές εἰσι Πιστοὶ χορευτᾶν μάρτυρες. — σθένει . . . θρασεῖ] «καὶ ὅπου ἐρίζουσι περὶ σθένους μελῶν σώματος, ᾧ ἐστιν ἡνωμένον καὶ τὸ θάρσος» ἤτοι «ἀγωνίζονται». — πότμος δὲ . . . περὶ πάντων] Παράλαβε καὶ ἐνταῦθα τὸ «ἔνθα» ἤτοι ἐν ᾧ Ἰσθμῷ. Ὅσοι νομίζουσιν, ὅτι τοῦτο ἐτέθη ὡς ἀξίωμα, δι' οὗ μεταβαίνει εἰς τοὺς ἐπαίνους τῶν συγγενῶν τοῦ νικηφόρου, οὗτοι ἄνευ αἰτίας χαλῶσι καὶ παραλύουσι τὴν στενὴν συνάφειαν τῶν ἐννοιῶν τοῦ ποιητοῦ. Ἀξίωμα λοιπὸν οὐκ ἔστιν· ἀλλὰ ὁ συγγενὴς πότμος κρίνει περὶ τῆς νίκης ἐν Ἰσθμῷ, ὡς οἱ Π. Σ. ἐκλαμβάνουσιν. — πότμος συγγενὴς] οὐχὶ ἁπλῶς «ἀρετὴ» ἢ «δύναμις σύμφυτος»· ἀλλὰ μοῖρα, ἥτις ἐπειδὴ εὐθὺς ἐν τῇ γεννήσει προσδιορίζει ἑκάστῳ τὸ μέλλον, διὰ τοῦτο καλεῖται ἐνταῦθα ποιητικῶς συγγενής. Ὅθεν ἴσον τῷ «πότμος εὐδαίμων, ἢ κακοδαίμων».

— Στ. 75-77. τὺ δ' Αἰγίνᾳ . . . ὕμνων] Καὶ ἐνταῦθα παραληπτέον τὸ «ἔνθα». Ἡ τάξις «καὶ ἔνθα (ἐν Ἰσθμῷ) τὺ, Εὐθύμενες, Νίκας ἐν ἀγκώνεσσι πιτνῶν, ποικίλων Αἰγίνᾳ ἔψαυσας ὕμνων». Ὀρθότατα λέγει ὁ Π. Σ. ὅτι ὁ Εὐθυμένης ἐνίκησεν ἐν Ἰσθμῷ· ἡ δὲ συνέχεια τῶν ἐννοιῶν δείκνυσιν, ὅτι πυγμὴν καὶ παγκράτιον

Ποικίλων ἔψαυσας ὕμνων.

Ἀ. γ'. Κ. ιά.

Ἦτοι μεταΐξαντα καὶ
Νῦν τεὸς μάτρως ἀγάλλει κεί-
νου ὁμόσπορον ἔθνος Πυθέας.

ἐνίκησεν (ὅρα τὴν ἑπομένην Σημ.). Ἡ γνώμη τῶν δοξαζόντων, ὅτι ἐνίκησεν ἐν Αἰγίνῃ, ἐστὶν ὅλως ἀπαράδεκτος. — Αἰγίνᾳ] ἄπορόν μοί ἐστι, πῶς τινες τὸ «Αἰγίνᾳ» συνάπτουσι τῷ «πιτνῶν» — Νίκας . . . πιτνῶν] οὕτω καὶ ἐν Ἰσθμ. Β.' 39. ἀντὶ τοῦ νικήσας.

— Στ. 78-80. Ἦτοι μεταΐξαντα . . . Πυθέας] Τὸ χωρίον τοῦτο θεωρηθὲν ὑπὸ πολλῶν διεφθαρμένον ἔλαβε πολλὰς διορθώσεις· ἀλλὰ οὐδεμιᾶς ἔχει ἀνάγκην, εἰ μόνον ὀρθὴν ἀναπλήρωσιν καὶ ἐξήγησιν λάβει. Τὸν λόγον ἀποτείνει ὁ ποιητὴς καὶ ἐνταῦθα πρὸς τὸν Εὐθυμένη, ὃς ἦν συγγενὴς τοῦ Πυθέα ἔχων καὶ αὐτὸς πάππον πρὸς μητρὸς τὸν Θεμίστιον, ὅστις ἐνενικήκει πυγμὴν καὶ παγκράτιον· περὶ οὗ ὅρα ἐν τοῖς ἑπομένοις στ. 91. Ὁ δὲ νοῦς «Καὶ νῦν ὁ σός, ὦ Εὐθύμενες, ἐκ μητρὸς συγγενὴς Πυθέας νικήσας ἐν Νεμέᾳ (*Ἁ Νεμέα μὲν ἄρηρεν*) εὐφραίνει καὶ γεραίρει σε, ὅστις ἐζήλωσας καὶ ἐμιμήσω τὸν κοινὸν ἀμφοτέροις πάππον, ἤτοι ζηλώσας ἐκεῖνον ἐνίκησας καὶ πυγμὴν καὶ παγκράτιον»· ἡ δὲ σύνταξις καὶ ἀναπλήρωσίς ἐστιν. *Ἦτοι καὶ νῦν σὲ μεταΐξαντα ἀγάλλει τεός, μάτρως Πυθέας*, ὅς ἐστιν *ὁμόσπορον ἔθνος ἐκεί-*

στ. 78-80. Ἐν τῷ χωρίῳ τούτῳ αἱ λέξεις *μεταΐξαντα* καὶ *κείνου* καὶ *Πυθέας* ἔλαβον πλείστας ἐξ εἰκασίας διορθώσεις· διότι ἕκαστος τῶν ἑρμηνευτῶν ἀπαιτεῖ παρὰ τοῦ Πινδάρου γλῶσσαν πεζοῦ συγγραφέως καὶ οὐκ ἀποδέχεται οὔτε βραχυλογίας οὔτε ὑπερβατὰ οὔτε ἀναπληρώσεις, καὶ ὅλως οὐδὲν ἐκείνων, οἷς πρέπει νὰ ὑποτίθηται, ὅτι χρῆται ποιητής, ὃς αὐτὸς ὁμολογεῖ (Ὀλ. Β'. 149-154), ὅτι ἡ γλῶσσα αὐτοῦ ἑρμηνέων δεῖται.

ν ο υ, ὃν μετήϊξας»· ἡ ἀντωνυμία σὲ ἀναπληροῦται εὐκόλως ἐκ τῆς τ ε ό ς· τὸ μ ε τ α ΐ ξ α ν τ α ἐτέθη ἄνευ ἀντικειμένου· διότι εὐκόλως ἀναπληροῦται ἐκ τῆς ἀντωνυμίας ἐ κ ε ί ν ο υ· ἡ πρότασις «ὃν μετήϊξας» διὰ τοῦτο πρέπει ἐξ ἀνάγκης νὰ ἀναπληρωθῇ, διότι τὸ μ ε τ α ΐ ξ α ν τ α ἐτέθη ἄνευ ἀντικειμένου. — μεταΐξαντα] «σὲ, ὅστις μετήϊξας, ἐζήλωσας, ἐμιμήθης». — τεὸς μάτρως] «ὁ ἐκ μητρὸς συγγενής σου». Ὅτι τὸ μάτρως, ἢ μήτρως ἔχει καὶ ταύτην τὴν σημασίαν παρὰ Πινδάρῳ, δῆλον ἐκ τοῦ Π. Σ. ὅστις λέγει «μήτρως ἢ ὁ τῆς μητρὸς ἀδελφὸς, ἢ ὁ κατὰ μητέρα συγγενής· χρῆται γὰρ οὕτως ὁ Πίνδαρος». Οὐ μόνον δὲ ὁ Πυθέας ἦν μάτρως τοῦ Εὐθυμένους, ἀλλὰ καὶ ὁ Εὐθυμένης ἦν μάτρως τοῦ Πυθέα· διότι ἀμφότεροι ἦσαν ἐκ δύο ἀδελφῶν, θυγατέρων τοῦ αὐτοῦ πατρὸς Θεμιστίου, ὡς λέξομεν κατωτέρω. — καὶ νῦν ἀγάλλει] «καὶ πρότερον σὺ ψαύσας ποικίλων ὕμνων ἤγαλες τὸν πάππον, ὃν μετήϊξας, ἐζήλωσας· καὶ νῦν σε ὁ σὸς μάτρως (μεταΐξας σὲ) ψαύων ὕμνων ἀγάλλει σε· ποιεῖ σε νὰ ἀγάλλησαι διὰ τὸ συγγενές. — κείνου ὁμόσπορον ἔθνος] «τὸ ἔθνος, τὸ γένος ἐκείνου, ὃν μετήϊξας, ἤτοι τοῦ πάππου, τὸ ὁμόσπορον, ὅπερ κατάγεται ἐκ τοῦ αὐτοῦ, ἐξ οὗ καὶ σὺ, ὦ Εὐθύμενες, σπόρου». Καλεῖ δὲ ὁμόσπορον ἔθνος τὸν Πυθέαν. — ἐκείνου] ἐκ τοῦ ὁ μ ό σ π ο ρ ο ν ἔ θ ν ο ς κατάδηλον γίνεται, ὅτι τὸ ἐ κ ε ί ν ο υ σημαίνει «τοῦ πάππου». Ὅτι δὲ ὁ Θεμίστιος ἦν πάππος καὶ τοῦ Εὐθυμένους, καταφαίνεται διὰ τῆς παραβολῆς πρὸς Ἰσθμ. ΣΤ.' 84-97. ὅπου ὁ Πυθέας καὶ ὁ ἀδελφὸς αὐτοῦ Φυλακίδας καὶ ὁ Εὐθυμένης ὀ ρ θ ώ σ α ν τ ε ς τ ὸ ν ο ἶ κ ο ν Θ ε μ ι σ τ ί ο υ καὶ ὄντες ἀ γ λ α ο ὶ π α ῖ δ έ ς τ ε κ α ὶ μ ά τ ρ ω ε ς εἶχον πάππον τὸν Θεμίστιον ἐκ μητέρων. Κακῶς ἄρα δοξάζουσιν οἱ ἐξηγηταὶ οἱ λέγοντες τὸν Εὐθυμένη μητράδελφον τοῦ Πυθέα. — ἔθνος] σαφὲς, ὅτι ἐτέθη ἐνταῦθα ἀντὶ τοῦ «γένος».

Ἁ Νεμέα μὲν ἄρηρεν,
Μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων.
Ἅλικας δ' ἐλθόντας οἴκοι
Τε κράτει Νίσου τ' ἐν εὐαγ-
κεῖ λόφῳ· χαίρω δ', ὅτι
Ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
Ἴσθι, γλυκεῖάν τοι Μενάνδρου
Σὺν τύχᾳ μόχθων ἀμοιβὰν

— Στ. 81-82. Ἁ Νεμέα . . . Ἀπόλλων] Ἐξακολουθεῖ νὰ ἀποτείνηται πρὸς τὸν Εὐθυμένη μέχρι τοῦ στ. 85. Εἰπὼν ὅτι ὁ Πυθέας ἀγάλλει τὸν Εὐθυμένη, ἐπιφέρει ἤδη καὶ τὸ αἴτιον, δι' ὃ ἀγάλλει αὐτόν. — ἁ Νεμέα μὲν ἄρηρεν] «Σοὶ μέν, ὦ Εὐθύμενες, ἥρμοσται πρὸς μίμησιν τοῦ πάππου ὁ Ἴσθμιος ἀγών, Πυθέᾳ δὲ πρὸς μιμησιν σοῦ ὁ ἐν Νεμέᾳ ἀγών». — μεὶς . . . Ἀπόλλων] «ὁμοίως ἥρμοσται τῷ Πυθέᾳ καὶ ὁ Δελφίνιος μὴν, καθ' ὃν ἠγωνίσατο τὸν εἰς τιμὴν τοῦ Ἀπόλλωνος ἀγῶνα, τὰ Ὑδροφόρια». — μεὶς ἐπιχώριος] μείς, Αἰολικῶς ἀντὶ τοῦ μήν, μηνός· «ὁ πάτριος παρ' Αἰγινήταις μὴν Δελφίνιος καλούμενος, ὃν ὁ Ἀπόλλων ἐφίλησεν, ἐν ᾧ θύουσιν Αἰγινῆται Ἀπόλλωνι οἰκιστῇ καὶ δωματίτῃ, καθ' ἅ φησι Πυθαίνετος· καὶ καθ' ὃν τελεῖται Ἀπόλλωνος ἀγὼν Ὑδροφόρια καλούμενος» Π. Σ.

— Στ. 83-85. ἅλικας . . . λόφῳ] «ὁμήλικας γὰρ ἀγωνισαμένους πρὸς αὐτὸν ἔν τε τῇ πατρίδι κατὰ τὸν ἀγῶνα τοῦ Ἀπόλλωνος καὶ ἐν Μεγάροις ἐνίκα». — ἐλθόντας] εἰς τοὺς ἀγῶνας, ἵνα ἀγωνίσωνται. — οἴκοι] συναπτέον οὐχὶ τῷ ἐλθόντας, ἀλλὰ τῷ ἐκράτει.

στ. 81. μὶν ἐξ εἰκασίας.

στ. 84. κρατεῖ ἡ κοινὴ γραφή· ἡ δὲ γραφὴ κράτει ἐκ δ ορθώσεως Heynii.

— ἐν εὐαγκεῖ λόφῳ Νίσου] ἐν Μεγάροις. Ἴσως κατὰ τοὺς ἀγῶνας τοὺς αὐτόθι εἰς τιμὴν τοῦ Ἀπόλλωνος τελουμένους, τὰ καλούμενα Πύθια (ὅρα περὶ τῶν ἐν Μεγάροις ἀγώνων εἰς Ὀλ. Ζ.' 157-159). Εὐαγκὴς λόφος ἐστὶ λόφος εὖ κείμενος ἐν κοιλάσιν. «Νίσος δὲ βασιλεὺς Μεγάρων» Π. Σ.

— Στ. 85-86. χαίρω . . . πόλις] Ἐμπεσὼν εἰς τοὺς ἀγῶνας τοὺς ἐν Αἰγίνῃ ἐν ἐπιχωρίῳ μηνὶ τελουμένους, λαμβάνει ἐκ τούτου ἀφορμὴν νὰ πλέξῃ ἐν ὀλιγίσταις λέξεσι μέγαν ἔπαινον καὶ εἰς ἅπασαν τὴν πόλιν Αἴγιναν, ὅτι πολλὴν σπουδὴν ποιεῖται περὶ τὰ καλά. — μάρναται περὶ ἐσλοῖσι] οὔτε τὸ μάρναται ἐνταῦθα σημαίνει κυριολεκτικῶς «ἀγωνίζεσθαι ἐν ἀγῶσι» οὔτε τὸ περὶ ἐσλοῖς σημαίνει «περὶ βραβείων νίκης»· ἀλλὰ τὸ μὲν μάρναται σημαίνει «διὰ πάσης φιλοτιμίας καὶ δαπάνης καὶ κόπου ἀγωνίζεται, ὡς τέθειται καὶ ἐν Ὀλ. Ε.' 35. τὸ δὲ περὶ ἐσλοῖς σημαίνει «περὶ τῆς ἐκτελέσεως ἀγαθῶν ἔργων»· τοιαῦτα δὲ ἔργα εἰσὶν αἱ δημόσιαι θυσίαι καὶ ἑορταὶ καὶ ἀγῶνες, ἡ περὶ τὸ δίκαιον σπουδὴ τῶν πολιτῶν, τὸ πρὸς τοὺς ξένους σέβας· ἃ ἀγαθὰ τῆς πόλεως ταύτης περιγράφει μὲν ἐν Πυθ. Η.' 30-39. Ὀλ. Η.' 28-36. Πυθ. Η.' 30-39. καὶ ἀλλαχοῦ· ἐνταῦθα δὲ συμπεριλαμβάνει ἐν μόνῃ τῇ λέξει ἐσλοῖς. — πᾶσα πόλις] «οὐ μόνον ἕκαστος ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ πᾶσα ἡ πόλις».

— Στ. 87-89. Ἴσθι . . . ἀμοιβὰν ἐπαύρεο] «γίγνωσκε, ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μενάνδρου παρουσίᾳ» Π. Σ. Ἀποτείνεται νῦν πρὸς τὸν Πυθέαν. — ἴσθι, ἐπαύρεο] «λείπεται τὸ ὅτι» Π. Σ. — γλυκεῖαν ἀμοιβὴν μόχθων] «τὴν νίκην». — σὺν τύχᾳ Μενάνδρου] «εὐτυχήσας νὰ ἔχῃς ἀλείπτην τὸν Μένανδρον». Λέγων τοῦτο ὁ ποιητὴς οὐκ ἀφαιρεῖται τὴν ἐπὶ τῇ νίκῃ δόξαν τοῦ Πυθέα· διότι εἶχε μὲν ὁ Πυθέας φύσιν νὰ νικᾷ· ἀλλ' ἡ φύσις μόνη

Ἐ. γ'. Κ. ιά.

Ἐπαύρεο· χρὴ δ' ἀπ' Ἀθανᾶν
Τέκτον' ἀθληταῖσιν ἔμμεν.
Εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν,
Μηκέτι ῥίγει· δίδου
Φωνάν, ἀνὰ δ' ἱστία τεῖνον
Πρὸς ζυγὸν καρχασίου,
Πύκταν τέ νιν καὶ παγκρατίου φθέγξαι ἑ-
λεῖν Ἐπιδαύρῳ διπλόαν

ἄνευ μαθήσεως προσφυοῦς οὐδὲν κατορθοῖ· τοιαύτην δὲ προσφυᾶ μάθησιν οὐ παντὸς διδασκάλου ἐστὶ νὰ διδάξῃ· διὸ εὐτυχής ἐστιν ὁ Πυθέας τυχὼν ἀλείπτου τοῦ Μενάνδρου. «Μένανδρος Ἀθηναῖος, ἀλείπτης Πυθέου» Π. Σ.

— Στ. 89-90. χρὴ δ' ἀπ' . . . ἔμμεν] «χρὴ δ' ἀπ' Ἀθηνῶν τοὺς ἐπιστάτας εἶναι τῶν ἀθλητῶν. Ἴσως ὁ Πίνδαρος οὐκ ἀργῶς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ ἐπειδὴ πρότερον ὁ Θησεὺς Ἀθηναῖος ὢν εὗρε παγκράτιον ἄνευ μυρμήκων (ὅρα λεξικόν)· ἡνίκα γὰρ ἐν τῷ Λαβυρίνθῳ ἐξησθένει πρὸς τὴν ἰσχὺν τοῦ Μινωταύρου, παγκρατίῳ αὐτὸν διαπαλαίων περιγέγονεν· οὐ γὰρ εἶχε μάχαιραν· καὶ οὕτως ἐνομίσθη εὑρετὴς τῆς πυγμῆς· ἢ ἐπειδή, ὥς φασιν, ἐν Ἀθήναις εὕρητο ἡ παλαιστρικὴ ὑπὸ Φόρβαντος τοῦ παιδοτρίβου Θησέως. Φερεκύδης δὲ ἡνίοχον τὸν Φόρβαντά φησι Θησέως, σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει· καὶ Πολέμων δὲ ἱστορεῖ πάλην εὑρηκέναι Φόρβαντα Ἀθηναῖον· ὅτι δὲ Θησεὺς παρ' Ἀθηνᾶς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ» Π. Σ.

— Στ. 91. Εἰ δὲ . . . ἀείδειν] Ἀποτείνει τὸν λόγον πρὸς ἑαυτόν· «εἰ δὲ βούλει, φησίν, καὶ ἦλθες

στ. 95. πύκτα τε (ἀντὶ πύκτου) ἐξ Aldina ἐκδόσεως· ἴσως ἐστὶ γλώσσημα.

ὑμνεῖν τὸν Θεμίστιον» Π. Σ. — ἵκεις, ὥστ' ἀείδειν] τὸ σύνηθες «ἵκεις ᾀσόμενος».

— Στ. 92. μηκέτι . . . δίδου φωνὰν] «μηκέτι εὐλαβούμενος, φησί, φθέγγου, μηδὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ μηδεμίαν εὐλάβειαν ἔχων, θαύμαζε, ὡς καὶ μεγαλοφώνως βοᾶν» Π. Σ.

— Στ. 93-94. ἀνὰ δ' ἱστία . . . καρχασίου] «θαύμαζε αὐτὸν οὕτω μεγαλοφώνως καὶ θαῤῥούντως, ὥσπερ οἱ πλέοντες ἐπὶ πνεύματος οὐρίου εἰς ἄκρον τὸ καρχήσιον ἀνατείνουσι τῆς κεραίας» Π. Σ. — ζυγὸν καρχασίου] «ζυγὸν καρχησίου λέγει τὴν σύνθεσιν καὶ τὸ ἄκρον τοῦ καρχησίου, περιφραστκῶς δὲ αὐτὸ τὸ καρχήσιον, ἐν ᾧ τὸν ἱμάντα ἐνείρουσιν» Π. Σ.

— Στ. 95-99. «φθέγξαι δὲ καὶ πυκτικὴν αὐτὸν καὶ παγκράτιον νενικηκέναι ἐν Ἐπιδαύρῳ διπλῆς ἀρετῆς κτησάμενον δόξαν· καὶ φθέγξαι κομίζειν αὐτὸν Αἰγίνῃ φαιδρὰ τὰ ἄνθη τῶν στεφάνων μετὰ τῶν Χαρίτων ἐν τῷ Ἡρῴῳ τοῦ Αἰακοῦ» Π. Σ. — Πύκταν νιν φθέγξαι ἑλεῖν νικῶντ' ἀρετὰν] ἡ Σύνταξις «φθέγξαι νικῶντά νιν πύκτην ἑλεῖν ἀρετήν»· ἤτοι βόησον μεγαλοφώνως, ὅτι αὐτὸς (ὁ Θεμίστιος) νικῶν ὡς πύκτης ἔλαβεν ἀρετὴν, ἤτοι δόξαν ἀρετῆς, στέφανον. — πύκταν τε καὶ παγκρατίου] ἀντὶ τοῦ εἰπεῖν «πύκταν τε καὶ παγκρατιαστήν» τῇ ἐννοίᾳ «νικῶν ὡς πύκτης καὶ παγκρατιαστὴς εἶλεν ἀρετήν», ἢ ἀντὶ τοῦ εἰπεῖν «πυκτικῆς τε καὶ παγκρατίου» τῇ ἐννοίᾳ «νικῶν εἶλεν ἀρετὴν πυκτικῆς καὶ παγκρατίου», ἀντὶ λέγω τούτων ἔτρεψε ποιητικῶς τὴν σύνταξιν καὶ τὸ μὲν πρῶτον συνῆψε τῷ ν ι ν (πύκτην νιν), τὸ δὲ δεύτερον ἐξήρτησεν ἐκ τοῦ ἀ ρ ε τ ὴ ν (ἀρετὴν παγκρατίου). — Ἐπιδαύρῳ] «ἐν Ἐπιδαύρῳ Ἀσκληπιοῦ ἱερὸς ἀγὼν ἄγεται» Π. Σ. — διπλόαν ἀρετὰν] διπλῆν ἀρετήν· ἤτοι δόξαν διπλῆς ἀρετῆς «ὡς διττὰ Ἀσκληπιεῖα νενικηκότος αὐτοῦ, ἢ ὡς δύο στεφάνους εἰληφότος ἐνὶ ἀγῶνι πυγμῆς καὶ παγκρατίου» Π. Σ. Τοὺς δύο

Νικῶντ᾽ ἀρετάν· προθύροισιν δ᾽ Αἰακοῦ
Ἄνθεα ποιάεντα φέρειν στεφανώ-
ματα, σὺν ξανθαῖς Χάρισσιν.

ἀγῶνας τὸν μὲν πυγμῆς, τὸν δὲ παγκρατίου ὁ Π. Σ. θεωρεῖ ἕνα ἀγῶνα, ὡς ἑνὶ χρόνῳ (ἐν μιᾷ ἡμέρᾳ) γεγονότα, ἵνα τὸ σχῆμα ᾖ ἀντιθέσεως «εἷς ἀγὼν — διπλῆ νίκη». Ἐάν τις βουληθῇ νὰ ἐξαγάγῃ ἔννοιαν τοιαύτην «πυγμῆς τε διπλῆν ἀρετὴν καὶ παγκρατίου διπλῆν ἀρετὴν ἐν τῷ αὐτῷ τόπῳ (ἐν Ἐπιδαύρῳ), ἤτοι τέσσαρας νίκας, οὐκ ὀρθῶς ποιήσει. — προθύροισιν Αἰακοῦ] «ὡς ἐν Αἰγίνῃ ἐν τῷ τεμένει τοῦ Αἰακοῦ ἐπὶ τῶν προπύλων ἀνακειμένων τῶν ἐξ Ἐπιδαύρου διπλῶν στεφάνων τοῦ Θεμιστίου» Π. Σ. — σὺν Χάρισσιν] «ἀφιέρου τοὺς στεφάνους τῷ ἥρῳῳ τοῦ Αἰακοῦ μετὰ πομπῆς, παρασχουσῶν τάς τε νίκας καὶ τὴν πομπὴν τῶν Χαρίτων, αἳ πάντα τὰ τερπνὰ καὶ ἡδέα, ὡς πολλάκις εἴρηται, παρέχουσιν.

ΜΕΤΑΦΡΑΣΙΣ.

Οὐκ εἰμὶ ἀνδριαντοποιός, ὥστε νὰ ἐργάζωμαι ἀγάλματα, ἵνα ἀναπαύωνται ἐπὶ μιᾶς μόνης βαθμίδος, ἐφ᾽ ἧς ἑστήκασιν, (ἀλλὰ ποιητὴς ᾠδῶν)· ἐπὶ πάσης λοιπὸν ὁλκάδος καὶ παντὸς ἀκάτου πορεύου, γλυκεῖα ᾠδή, ἀπ᾽ Αἰγίνης πανταχοῦ ἀγγέλλουσα, ὅτι ὁ υἱὸς τοῦ Λάμπωνος ὁ εὐρυσθενὴς Πυθέας ἐνίκησεν ἐν Νεμέᾳ στέφανον παγκρατίου, οὔπω φαίνων τῇ γένυϊ τὴν ἁπαλὴν ὥραν τὴν μητέρα τοῦ ξανθοῦ ἰούλου· τοὺς δὲ πολεμιστὰς ἥρωας τοὺς

ἐκ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρηΐδων γεννηθέντας Αἰακίδας αὐτούς τε ἐγέραρε καὶ τὴν μητρόπολιν αὐτῶν, τὴν φίλην τοῖς ξένοις γῆν· ἥν ποτε κατέστησαν εὔανδρόν τε καὶ τὰ ναυτικὰ ἔνδοξον· καὶ στάντες παρὰ τὸν βωμὸν τοῦ Ἑλληνίου πατρὸς ἔτειναν εἰς τὸν αἰθέρα τὰς χεῖρας οἱ περικλεεῖς υἱοὶ τῆς Ἐνδαΐδος ὁμοῦ καὶ ὁ ἄρχων ἰσχυρὸς Φῶκος, ὃν ἐγέννησεν ἡ θεὰ Ψαμάθεια παρὰ τοῖς αἰγιαλοῖς τῆς θαλάσσης. Αἰδοῦμαι νὰ εἴπω μέγα τι καὶ οὐ δικαίως τετολμημένον. Ὅθεν, πῶς ἔλιπον ἄνδρες ἄλκιμοι τὴν εὐκλεᾶ νῆσον, καὶ τίς δαίμων τοιούτων ἀνδρῶν ἀποπλανήσας τὰς φρένας ἤλασεν εἰς τοῦτο, ταῦτα ἀποσιωπήσω· διότι οὐ πᾶσα βεβαία ἀλήθεια φανερὰ γενομένη ἐστὶν ὠφέλιμος· τὸ δὲ νοῆσαι, ὅτι καὶ τὸ σιγᾶν τὴν ἀλήθειάν ἐστι πολλάκις ὠφελιμώτερον, σοφωτάτων ἀνδρῶν ἔργον ἐστίν· οἱ δὲ δέδοκται τῷ νικηφόρῳ νὰ ἐπαινέσω ἢ ἰσχὺν χειρῶν ἢ σιδηρίτην πόλεμον, μακρὰ ἅλματα εὐθὺς δύναται νὰ ὑποσκάπτῃ ἐμοί τις· διότι ἔχω ταχύτητα ἐλαφρῶν γονάτων· καὶ οἱ ἀετοὶ πέραν πόντου πέτονται. Πρόφρων λοιπὸν καὶ ἐκείνοις ἐν Πηλίῳ καὶ ὁ κάλλιστος χορὸς τῶν Μουσῶν ᾖδε, καὶ ὁ Ἀπόλλων ἐν τῷ μέσῳ αὐτῶν κρούων τῷ χρυσῷ πλήκτρῳ τὴν ἑπτάφωνον κιθάραν ἐξῆρχε παντοίων μελῶν· αἱ δὲ Μοῦσαι πρώτιστον μὲν ἀπὸ Διὸς ἤρξαντο, εἶτα δὲ ὕμνησαν τὴν σεμνὴν Θέτιν καὶ τὸν Πηλέα, καὶ διηγήσαντο, πῶς ἡ ἁβρὰ Κρηθεῒς Ἱππολύτη ἤθελε νὰ δεσμεύσῃ αὐτὸν δόλῳ,

πείσασα τὸν βασιλέα τῶν Μαγνήτων τὸν ἑαυτῇ σύντροφον ὁμόκοιτον ἐντέχνοις διαβολαῖς· ψευδῆ δηλονότι πλαστὸν λόγον συνέπλεξεν, ὅτι ἄρα ἐκεῖνος ἐπειρᾶτο τῆς νυμφείας ἐν τοῖς λέκτροις εὐνῆς τοῦ Ἀκάστου· ἦν δὲ τοὐναντίον· διότι πολλὰ αὐτὸν παραπείθουσα ἐξ ὅλης ψυχῆς ἐλιτάνευεν· ἐκείνου δὲ τὴν καρδίαν ἔκνιζον οἱ χαλεποὶ λόγοι· εὐθὺς λοιπὸν ἀπηρνήσατο τὰς προτάσεις τῆς νύμφης, φοβηθεὶς τὴν ὀργὴν τοῦ ξενίου Διός. Ὁ δὲ ὀρσινεφὴς Ζεὺς ὁ βασιλεὺς τῶν ἀθανάτων ἔγνω καὶ κατένευσεν αὐτῷ ἐξ οὐρανοῦ, ἵνα ἐν τάχει παράσχῃ ἄκοιτιν ποντίαν τινὰ τῶν χρυσηλακάτων Νηρηΐδων, πείσας τὸν γαμβρὸν αὐτῶν Ποσειδῶνα· ὅς ἀπὸ τῶν Αἰγῶν συνεχῶς πρὸς τὸν ἔνδοξον Ἰσθμὸν τῶν Δωριέων πορεύεται· ὅπου τὸν θεὸν αὐτὸν εὔφρονες τάξεις (χορευτῶν) ὑποδέχονται μετὰ βοῆς αὐλῶν, καὶ γίνεται ἔρις περὶ τολμηρᾶς ἰσχύος μελῶν. Ἡ δὲ συγγενὴς μοῖρα κρίνει περὶ ἁπάντων τῶν ἐκεῖ τελουμένων ἔργων· καὶ ὅπου σύ, ὦ Εὐθύμενες, πεσὼν εἰς τὰς ἀγκάλας τῆς θεᾶς Νίκης ἤκουσας ποικίλων ὕμνων ἐν Αἰγίνῃ· σὲ δὲ νῦν ζηλώσαντα ἀγάλλει ὁ σὸς ἐκ μητρὸς συγγενής, ὁ Πυθέας, τὸ ὁμόσπορόν σοι γένος ἐκείνου, ὃν ἐζήλωσας· ἐκείνῳ ὅμως ἤρεσεν ἡ Νεμέα καὶ ὁ ἐγχώριος μήν, ὃν ἐφίλησεν Ἀπόλλων· τοὺς δὲ ὁμήλικας τοὺς ἀγωνισαμένους πρὸς αὐτὸν καὶ ἐν τῇ πατρίδι ἐνίκησε καὶ ἐν τῷ μεταξὺ κοιλάδων εὖ κειμένῳ λόφῳ τοῦ Νίσου. Χαίρω δέ, ὅτι καὶ πᾶσα ἡ πόλις ἐρίζει περὶ τῶν καλῶν. Γίνωσκε,

ὦ Πυθέα, ὅτι ἀπέλαυσας γλυκείας ἀμοιβῆς τῶν μόχθων εὐμοιρήσας (τῆς διδασκαλίας) τοῦ Μενάνδρου· πρέπει λοιπὸν νὰ ἔχωσιν οἱ ἀθληταὶ διδάσκαλον ἀπ' Ἀθηνῶν. Εἰ δὲ ἀφίκου, ὦ θυμὲ, εἰς τὸ ᾄδειν Θεμίστιον, μὴ νῦν ῥιγῇς· ἔκβαλε φωνὴν, ἀναπέτασον τὰ ἱστία πρὸς τὸν ζυγὸν τοῦ καρχησίου, βόησον, ὅτι αὐτὸς νικῶν ἐν Ἐπιδαύρῳ καὶ πύκτης καὶ παγκρατιαστὴς ἔλαβε διπλῆς ἀρετῆς δόξαν, τὰ δὲ θαλερὰ ἄνθη τῶν στεφάνων κομίσας ἀνέθηκεν ἐπὶ τῶν προπύλων τοῦ Αἰακοῦ, σὺν τῇ βοηθείᾳ τῶν ξανθῶν Χαρίτων.

ΝΕΜΕΑ

ΕΙΔΟΣ ΣΤʹ.

ΑΛΚΙΜΙΔΗι ΑΙΓΙΝΗΤΗι

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων δέκα καὶ τριῶν.

Κῶλον 1. – –́ – –́ | – –́ ⏑ ⏑ –́ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον χοριαμβικὸν καλούμενον διὰ τὸ ἅπαντας τοὺς πόδας πλὴν τῆς κατακλεῖδος σπονδείους εἶναι.

„ 2. ⏑ –́ ⏑ ⏒́ | – Ἰαμβικὸν πενθημιμερές.

„ 3. –́ ⏑ –́ ⏑ | ⏒́ Τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον.

„ 4. ⏑ – – ⏑ | – ⏑ – ⏑ | ⏑ – Ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον· τοῦ δευτέρου ἀντισπάστου μεταβαλόντος κατὰ τὴν αὐτοῦ φύσιν τὸν πρότερον δισύλλαβον εἰς τροχαῖον.

„ 5. ⏒́ ⏑ –́ ⏑ ⏑ | –́ ⏑ Τροχαϊκὸν δίμετρον βραχυκατάληκτον.

„ 6. ⏑ ⏑ –́ ⏑ ⏑ –́ | ⏑ ⏑ –́ ⏑ ⏑ –́ | Δίμετρον ἀναπαιστικὸν ἀκατάληκτον.

„ 7 ⏑ ⏑ –́ ⏑ ⏑ –́ | ⏑ ⏑ –́ ⏑ ⏑ –́ | Τὸ αὐτό.

„ 8. – – – ⏑ | – ⏑ ⏑ – Ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον προηγουμένης τοῦ χοριάμβου συζυγίας ἀντισπαστικῆς, ἧς ὁ πρότερος δισύλλαβος ἐτράπη εἰς σπονδεῖον· διότι τοῦ ἀντισπάστου ὁ

Κῶλον 8. πρῶτος δισύλλαβος τρέπεται καὶ εἰς τοὺς τέσσάρας δισυλλάβους πόδας.

„ 9. ⏒⏑⏑⏒⏑⏑⏒ Δακτυλικὸν πενθημιμερές.

„ 10. ⏒⏑⏑⏒⏑⏑⏒ Τὸ αὐτό.

„ 11. – – ⏑ ⏑ | – ⏑ ⏑ – Προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου.

„ 12. – ⏓ – ⏑ | ⏓ ⏓ – Ἀντισπαστικὸν δίμετρον καταληκτικόν· τοῦ πρώτου ἀντισπάστου ὁ δισύλλαβος τρέπεται εἰς τροχαῖον ἢ σπονδεῖον· τοῦ δὲ δευτέρου, τοῦ καταληκτικοῦ εἰς σπονδεῖον ἢ εἰς πυῤῥίχιον.

„ 13. ⏓ ⏓ – ⏑ | ⏑ – ⏑ – | ⏑ – Ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον· διαφέρει δὲ τοῦ Φαλαικείου, καθ᾽ὅσον ἐκεῖνό ἐστι τρίμετρον καταληκτικόν.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. ⏒ ⏑ ⏑ ⏒ | ⏒ ⏑ ⏑ ⏒ Χοριαμβικὸν δίμετρον ἀκατάληκτον.

„ 2. ⏑ ⏑ ⏓ ⏑ ⏓ | – Ἰαμβικὸν πενθημιμερές.

„ 3. – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ Δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ἀντιστοιχοῦν κῶλον τῆς β'. ἐπῳδοῦ ἴσως ἐστὶν Αἰολικόν, ἐν ᾧ ἡ λέξις ἑσπέριος ἀναγνωστέα ὡς τρισύλλαβος, τῶν συλλαβῶν ι ο ς ἀντὶ μιᾶς ἐκφωνουμένης.

„ 4. – – ⏑ ⏑ | – ⏑ ⏑ – Ἐξ Ἰωνικῆς καὶ χοριαμβικῆς συζυγίας, ὅπερ ἐστὶ προσοδιακόν.

„ 5. ⏑ ⏑ – – | ⏑ ⏑ – Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικόν.

„ 6. – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ Δακτυλικὸν τρίμετρον ἀκατάληκτον.

„ 7. – – ⏑ ⏑ | – – Ἰωνικὸν ἀπὸ μείζονος βραχυκατάληκτον.

Κῶλον 8. ⏑ ⏑ – ⏑ ⏑ – – | ⏑ ⏑ – ⏑ ⏑ Ἀναπαιστικὸν δίμετρον καταληκτικόν.

„ 9. ⏑ – ⏑ – | – ⊥ – ⊥ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς τῆς δευτέρας συζυγίας ἐστὶ σπονδεῖος, ὡς τὸ τρίμετρον χοριαμβικόν.

„ 10. ⏑ ⏓ – ⏑ | ⏓ – ⏑ | ⏑ – Ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον.

„ 11. ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ Ἀναπαιστικὸν μονόμετρον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἐν τῷ προοιμίῳ (ἀπὸ στ. 1-13) λέγει, ὅτι ἕτερόν ἐστι τὸ γένος τῶν θεῶν καὶ ἕτερον τὸ τῶν ἀνθρώπων· ἐγεννήθησαν ὅμως ἀμφότερα ἐκ μιᾶς μητρὸς τῆς Γῆς· διὰ τοῦτο ἄρα καίτοι τὸ γένος τῶν ἀνθρώπων διαφέρει τοῦ τῶν θεῶν, ἔχει ὅμως καὶ ὁμοιότητάς τινας. Ἐπειδὴ δὲ ἐγεννήθη ἐκ τῆς Γῆς· διὰ τοῦτο ἔχει καὶ πρὸς τὴν Γῆν ὁμοιότητας. Ὅτι δὲ (ἀπὸ στ. 14. κ. ἑξῆς) ἔχομεν ὁμοιότητα καὶ πρὸς τοὺς θεοὺς καὶ πρὸς τὴν Γῆν, παρέχει τεκμήριον ὁ Ἀλκιμίδας· διότι τὴν πρὸς τοὺς θεοὺς ὁμοιότητα ἔδειξε διὰ τῆς εὐφυΐας τοῦ τε σώματος καὶ τοῦ νοός, ὧν ἕνεκα ἐνίκησεν ἐν Νεμέᾳ· τὴν δὲ πρὸς τὴν Γῆν ὁμοιότητα ἐδήλωσεν· διότι οὐκ ἐμιμήσατο τὸν αὑτοῦ πατέρα, ὅστις μείνας ἀργὸς ὡς ἄρουρα οὐκ ἔδωκε καρποὺς νικηφορίας, ἀλλὰ τὸν πάππον Πραξιδάμαντα, ὃς καὶ αὐτὸς ἐμιμήσατο οὐ τὸν ἀργὸν μείναντα πατέρα Σωκλείδαν, ἀλλὰ τὸν καρποφορήσαντα νίκας πάππον Ἀγησίμαχον (ἀπὸ 14-34). Ἐντεῦθεν

ἐξυμνεῖ τὸν οἶκον τοῦ Σωκλείδα, οὗ οἱ τρεῖς υἱοὶ Πραξιδάμας, Καλλίας καὶ Κρεόντιος δυοκαίδεκα νίκας ἤραντο, ἤτοι τὸ ἥμισυ σχεδὸν τῶν νικῶν, ὅσας ἤραντο ἅπαντες οἱ οἶκοι τῆς φατρίας τῶν Βασσιδῶν, ᾗ προσήκει ὁ Ἀλκιμίδας (ἀπὸ στ. 35-74). Ἐνταῦθα ἐπαινεῖ συντόμως τοὺς Αἰακίδας (ἀπὸ στ. 75-90). Ἐντεῦθεν διὰ καταλλήλου προοιμίου μεταβαίνει πάλιν εἰς τοὺς ἐπαίνους τοῦ Ἀλκιμίδα καὶ τῆς φατρίας αὐτοῦ λέγων ἅπαντα ἁπασῶν τῶν νικῶν τὸν ἀριθμόν· (ἀπὸ στ. 91-104)· Προσθεὶς δὲ καὶ ἑτέρας δύο νίκας, ἃς ἀφῃρέθη ὑπὸ τῶν Ἑλλανοδικῶν αὐτὸς ὁ Ἀλκιμίδας καὶ ἕτερος συγγενὴς Τιμίδας, εἶτα ἐπαινέσας τὸν ἀλείπτην Μελησίαν τελευτᾷ τὸν ὕμνον.

ΕΙΣΑΓΩΓΗ

«Τοῦτον τὸν Ἀλκιμίδαν ἀναγράφεσθαί φησιν Ἀσκληπιάδης ἀντὶ Αἰγινήτου Κρῆτα οὕτως. Ἀλκιμίδας Θέωνος Κρής» Π. Σ. Ἐκ τῆς ἀναγραφῆς ταύτης οὐκ ἀπιθάνως ὁ Dissenius συμπεραίνει, ὅτι ὁ Ἀλκιμίδας ἦν ἅμα καὶ πολίτης Κυδωνιάτης ἐκ τῶν εἰς Κυδωνίαν ἀποικησάντων κατὰ τὸν Μύλλερον (Aeginet. p 83-112) Αἰγινητῶν. Ἴσως ὁ πατὴρ τοῦ Ἀλκιμίδα κατεγράφη εἰς τοὺς εἰς Κυδωνίαν ἀποικήσαντας, ἀλλὰ ἔμενεν ἔτι ἐν Αἰγίνῃ. Τὸν πατέρα τοῦ νικηφόρου οὐκ ἀναφερόμενον ὑπὸ Πινδάρου γινώσκομεν μόνον ἐκ τοῦ Π. Σ. Διὰ τί ἄρα οὐδαμῶς ἀναφέρει τὸν πατέρα τοῦ παιδὸς Ἀλκιμίδα; ἄρα ἦν τεθνηκώς, καὶ διὰ τοῦτο οὐκ ἀναφέρει αὐτόν; ἀπίθανον. Ἄρα ἦν ὅλως ἄσημος; Ἴσως. Ἡ ᾠδὴ βεβαίως ᾔσθη ἐν Αἰγίνῃ.

Σ. ά. Κ. ιγ'.

Ἐν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ
Μιᾶς δὲ πνέομεν
Ματρὸς ἀμφότεροι·
Διείργει δὲ πᾶσα κεκριμένα

— Στ. 1-3. Ἓν ἀνδρῶν . . . ἀμφότεροι] «ἕν ἐστι θεῶν καὶ ἀνθρώπων τὸ γένος· ἐκ μιᾶς γὰρ μητρὸς ὑπάρχομεν καὶ ζῶμεν, τῆς Γῆς, οἵ τε θεοὶ καὶ οἱ ἄνθρωποι». Π. Σ. Τὴν ἐξήγησιν ταύτην τῶν Π. Σ. ἐκτὸς ὀλίγων τινῶν ἅπαντες οἱ νεώτεροι παρεδέξαντο ἑρμηνεύοντες τὸ τοῦ Π. Σ. «ἕν ἐστι θεῶν καὶ ἀνθρώπων τὸ γένος» σαφέστερον οὕτως «ἓν καὶ τὸ αὐτὸ ἐσμὲν γένος ἀνδρῶν καὶ θεῶν». Ὅσοι δὲ οὐ παραδέχονται τὴν ἐξήγησιν ταύτην, ἑρμηνεύουσιν «ἓν γένος ἐστὶν ἀνθρώπων, ἕτερον δὲ θεῶν· unum genus est hominum, alterum deorum». Ἐάν τις ἐξετάσῃ τὸν σκοπὸν τοῦ προοιμίου, θὰ δικαιώσῃ τὸν ποιητὴν, ὅτι οὕτως ἐπροοιμιάσατο. Ὁ ποιητὴς κατεῖδεν ὁμοιότητά τινα τοῦ γένους τοῦ Ἀλκιμίδα πρὸς τὰς ἀρούρας τῆς γῆς· ἡ δὲ ὁμοιότης ἐστὶν αὕτη· ὥσπερ αἱ ἄρουραι τῆς γῆς οὐ κατὰ πᾶν ἔτος σπείρονται, ἀλλὰ ἀνὰ δεύτερον ἔτος, καὶ οὕτω διδοῦσιν ἀφθόνους καρποὺς, οὕτω καὶ τὸ γένος τοῦ Ἀλκιμίδα οὐ κατὰ πᾶσαν γενεὰν, ἀλλὰ ἀνὰ δευτέραν δίδωσιν ἀθλητικὰς ἀρετάς. Κατιδὼν λοιπὸν ταύτην τὴν ὁμοιότητα προοιμιαζόμενος λέγει, ὅτι τὸ γένος τῶν ἀνδρῶν ἐγένετο ἐκ τῆς αὐτῆς μητρὸς, ἤτοι τῆς Γῆς, ἐξ ἧς καὶ οἱ θεοί. Διὰ τί δὲ λέγει, συνάμα καὶ περὶ τῶν θεῶν, ὅτι καὶ αὐτοὶ ἐγένοντο ἐκ τῆς αὐτῆς μητρός; ἵνα ἐξηγήσηται, πῶς οἱ ἐκ τοῦ γένους τοῦ νικηφόρου φυόμενοι ἔχουσι τοσούτῳ μεγαν νοῦν καὶ μεγάλην

εὐφυΐαν εἰς τὸ ἀθλεῖν· ἵνα δηλονότι παραβάλῃ τὸν νοῦν καὶ τὴν φύσιν τοῦ γένους τοῦ Ἀλκιμίδου πρὸς τοὺς θεούς. Ἤδη δὲ ἐξετάσωμεν τὰ καθ' ἕκαστα. — ἓν ἀνδρῶν, ἓν θεῶν γένος] «ἓν καὶ μόνον ἐστὶ τὸ γένος τῶν ἀνθρώπων οὐχὶ δύο ἢ πολλά· ἓν καὶ μόνον ἐστὶ τὸ γένος τῶν θεῶν, οὐχὶ πολλά». Ὅτι τὸ εἷς σημαίνει καὶ τὸ εἷς μόνον γνωστόν· ὅτι δὲ καὶ ἐνταῦθα τὸ ἓν ἀνδρῶν γένος σημαίνει τὸ ἓν μόνον, δῆλον ἐκ τῶν στ. 14-15. διότι εἰ ἦσαν πολλὰ τὰ γένη τῶν ἀνθρώπων, οὐκ ἠδύνατο νὰ εἴπῃ, ὅτι τεκμαίρει καὶ νῦν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν. Ἔτι δὲ καὶ τὸ (στ. 3) ἀμφότεροι δηλοῖ, ὅτι τὸ γένος τῶν ἀνθρώπων οὐ ταὐτόν ἐστι τῷ γένει τῶν θεῶν· διότι ἔπρεπε νὰ εἴπῃ ἀντὶ τοῦ ἀμφότεροι «ἅπαντες». — ἀνδρῶν] ἔφη ἀνδρῶν καὶ οὐχὶ «θνητῶν» ἢ «ἀνθρώπων» ἤ τι τοιοῦτον ἴσως, διότι πρὸ τῆς Πανδώρας οὐχ ὑπῆρχον γυναῖκες· οὕτω καὶ Ἡσίοδος (Θεογ. 512) τοὺς πρὸ τῆς Πανδώρας ἀνθρώπους καλεῖ ἄνδρας. — πνέομεν] ζῶμεν, ὑπάρχομεν, ἐγενόμεθα. — μιᾶς ματρὸς] ἐκ μιᾶς μητρός. Ποίας δὲ μητρὸς ἐγεννήθη ὁ ἄνθρωπος αἱ παλαιαὶ μαρτυρίαι οὐ βεβαιοῦσι σαφῶς. Ἐπειδὴ ὅμως οἱ θεοὶ σαφῶς ἐγεννήθησαν ἐκ τῆς Γῆς (Ἡσιοδ. Θεογ. 126. κ. ἑξῆς) καὶ ἐπειδὴ κατὰ τὸν Πίνδαρον οἱ ἄνθρωποι ἐγεννήθησαν ἐξ ἧς μητρὸς καὶ οἱ θεοί· ἕπεται ἄρα, ὅτι ὁ Πίνδαρος ἐννοεῖ μητέρα τῶν ἀνθρώπων τὴν Γῆν. Λέγει δὲ τὴν Γῆν μητέρα τῶν ἀνθρώπων οὐχί, διότι ἔμαθε τοῦτο ἐκ τῆς τοῦ Ἡσιόδου θεογονίας, ἢ ἐξ ἄλλης παλαιᾶς παραδόσεως, ἀλλὰ κατὰ ποιητικὴν ἄδειαν προσποιεῖται, ὅτι εἰκάζει τοῦτο ἐκ τῆς ὁμοιότητος, ἣν εὗρεν, ὡς εἴπομεν ἀνωτέρω, τῆς γῆς καὶ τοῦ γένους τοῦ Ἀλκιμίδα.

— Στ. 4-13. Διείργει . . . στάθμαν] «οὕτω δὲ διαχωρίζει τὰ δύο ταῦτα γένη δύναμις, ἥτις σαφῶς διαγινώσκεται ἅπασα, ὥστε τὸ μὲν γένος τῶν ἀνθρώπων ποιεῖ οὐδέν, τὸ δὲ τῶν θεῶν καθίστησιν ἀεὶ ἐν οὐρανῷ

Δύναμις· ὡς τὸ μὲν οὐδέν,
Ὁ δὲ χάλκεος ἀσφαλὲς αἰεὶ ἕδος
Μένει οὐρανός· ἀλλά τι προσφέρομεν
Ἔμπαν, ἢ μέγαν νόον, ἤ-
τοι φύσιν, ἀθανάτοις·
Καί περ ἐφαμερίαν
Οὐκ εἰδότες, οὐδὲ μετὰ
Νύκτας ἄμμε πότμος ἄν-
τιν' ἔγραφε δραμεῖν ποτὶ στάθμαν.

Ἀ. ά. Κ. ιγ΄.

Τεκμαίρει καὶ νῦν Ἀλκιμίδας

ἀσφαλὲς καὶ ἀθάνατον, ἔτι δὲ ἐκεῖνοι μὲν γινώσκουσι τὰ πάντα, ὑμεῖς δὲ οὐδὲ, πότε θὰ τελευτήσωμεν τὸ στάδιον τοῦ βίου, οὐδὲ ἐὰν ἡμέραν, οὐδὲ ἐὰν νύκτα, γινώσκομεν· ἀλλ' ὅμως ἔχομεν καί τι ὅμοιον ἐκείνοις ἢ μέγαν νοῦν ἢ εὐφυΐαν σώματος καὶ κάλλος». Εὑρὼν μέγαν νοῦν καὶ κάλλος σωματικὸν τῷ Ἀλκιμίδῃ, ἐκ τούτου ὁρμᾶται νὰ περιγράψῃ τὰς διαφορὰς καὶ ὁμοιότητας τῶν θεῶν πρὸς τοὺς ἀνθρώπους, ἵνα δείξῃ, ὅτι ὅμοιος ὢν τοῖς θεοῖς κατὰ πάντα ἐκεῖνα, καθ' ἃ δύναται ὁ ἄνθρωπος νὰ παραβληθῇ πρὸς αὐτοὺς, τέλειός ἐστιν ἄνθρωπος. — πᾶσα κεκριμένη] «ὁλόκληρος διακεκριμένη, ἅπασα σαφῶς διεγνωσμένη». Τὴν αὐτὴν σημασίαν ἔχει τὸ κρίνεται καὶ ἐν Ἰσθμ. Ε'. 13. — ὡς] ὥστε· οὕτω διείργει, ὥστε. — τὸ μὲν οὐδὲν] «τὸ μὲν γένος τῶν ἀνθρώπων ἐστὶ οὐδέν». Ἐν τῇ λέξει οὐδὲν ἐνυπάρχει ἡ σημασία τοῦ θνητόν. Ἐνταῦθα ὤφειλε νὰ προσθέσῃ «οὐδὲ οἶδέ τι τῶν μελλόντων»· ἀλλὰ τοῦτο ἔλεξε τελευταῖον (ἐν στ. 10-13). — ὁ δὲ μένει] Ἀντὶ τοῦ «τῷ δὲ (τῷ δὲ γένει τῶν θεῶν) μένει» ἐγένετο ἕφελξις ὑπὸ τοῦ «χάλκεος οὐρανός». Ὅθεν ἡ σύνταξις «ὁ δὲ χάλκεος οὐρανὸς μένει (τοῖς

θεοῖς) αἰεὶ ἀσφαλὲς ἕδος»· ἤτοι οὐδέποτε οἱ θεοὶ καταλείπουσι τὴν ἐν τῷ οὐρανῷ ἕδραν, οὐδέποτε ἀποθνήσκουσιν. — ἀλλά τι . . . ἀθανάτοις] «ἀλλ' ὅμως καίπερ οὐδαμινοὶ ὄντες ἐμφερές τι ἔχομεν τοῖς θεοῖς, ἢ κατὰ νοῦν ἢ κατὰ τὰς εὐφυΐας τῶν σωμάτων καὶ τὰ κάλλη». Π. Σ. — ἢ μέγαν νοῦν] «θεῖος γὰρ (νοῦς) τις ἐν ἡμῖν κατὰ τὸν Εὐριπίδην» Π. Σ. — καί περ ἐφαμερίαν . . . στάθμαν] Ἡ σύνταξις «καίπερ οὐκ εἰδότες ποτὶ ἄν τινα στάθμην ἐφαμερίαν, οὐδὲ μετὰ νύκτας ἔγραφε πότμος ἄμμε δραμεῖν». Ὁ νοῦς «καίπερ οὐκ εἰδότες εἴτε ἐν ἡμέρᾳ, εἴτε ἐν νυκτὶ πότμος ἔγραφε τὴν εἱμαρμένην ἡμῖν καὶ τὸν θάνατον». Π. Σ. — ἢ μᾶλλον οὕτως «καίπερ οὐκ εἰδότες, (πρὸς ἥντινα στάθμην) εἰ τὸ στάδιον τοῦ βίου ἔσεται βραχὺ ἢ μακρὸν, καὶ (ἐφημερίαν, ἢ μετὰ νύκτας) εἰ δραμούμεθα πρὸς τὴν στάθμην, ἣν ἔγραφεν ὁ πότμος, ἡ Μοῖρα, τοῦ σταδίου τοῦ βίου νύκτα ἢ ἡμέραν». — καίπερ οὐκ εἰδότες] ἀντίθετον πρὸς τὸ «π ρ ο φ έ ρ ο μ ε ν μ έ γ α ν ν ο ῦ ν». — ἐφαμερίαν οὐδὲ μετὰ νύκτας] ἴσον τῷ «ἐφημερίαν οὐδὲ νυκτερίαν» ἤτοι «ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ» — οὐδὲ μετὰ νύκτας] τὸ μ ε τ ὰ ν ύ κ τ α ς ἴσον «ἐν νυκτὶ» ἤτοι «νυκτερίαν». Ὅθεν ἀναπλήρωσον «οὐδὲ εἰδότες πρὸς ἄντινα νυκτερίαν» ἄμμε ἔγραφε δραμεῖν] «ἔγραφε, προσδιώρισεν ἡμᾶς νὰ δράμωμεν». — ποτὶ ἄντινα στάθμην δραμεῖν] «πρὸς ἥντινα στάθμην ἐγγυτέραν ἢ ἀπωτέραν καὶ ἡμερινὴν ἢ νυκτερινὴν νὰ δράμωμεν». Στάθμην λέγει τὸ τέρμα τοῦ βίου μεταφορικῶς ἐκ τῆς γραμμῆς, ἤτοι τοῦ ὁρίου πρὸς ὃ οἱ σταδιοδρόμοι τρέχοντες ἀφικνοῦντο. Ὅθεν τὸν μὲν βίον παραβάλλει πρὸς τὸ διάστημα, ὃ οἱ σταδιοδρομοῦντες ὤφειλον νὰ δράμωσι· τὸν δὲ θάνατον πρὸς τὸ τέρμα τοῦ διαστήματος.

— Στ. 14-15. Τεκμαίρει . . . ἰδεῖν] «Παρέχει δὲ τεκμήριον καὶ νῦν, ὥστε νὰ καταμάθῃ τις τὴν συγγένειαν τῶν ἀνθρώπων πρὸς τοὺς θεοὺς καὶ τὴν ἐκ τῆς

Τὸ συγγενὲς ἰδεῖν.
Ἄγχι καρποφόροις
Ἀρούραισιν, αἵ τ' ἀμειβόμεναι
Τόκα μὲν ὦν βίον ἄνδρεσ-
σιν ἐπηετανὸν πεδίων ἔδοσαν,
Τόκα δ' αὖτ' ἀναπαυσάμεναι, σθένος ἔ-
μαρψαν· ἦλθέ τοι Νεμέας
Ἐξ ἐρατῶν ἀέθλων

Γῆς γένεσιν ἡμῶν, ὁ Ἀλκιδάμας, ὅστις ὅμοια τοῖς θεοῖς καὶ νοῦν μέγαν ἔχει καὶ σῶμα εὖ πεφυκὸς καὶ καλὸν, δι' ὧν τοσαῦτα κατώρθωσε, καὶ ὅστις, ὡς καταγομένων τῶν ἀνθρώπων ἐκ τῆς Γῆς, παραπλησίως ταῖς καρποφόροις ἀρούραις τῆς Γῆς ἀπέδειξεν ἀρετὰς ὡς καρπούς». Ὅλως ἀπαράδεκτος ἔμοι γέ ἐστιν ἡ ἐξήγησις Ἑρμάννου, ὡς ἐλαχίστην πρὸς τὸ προοίμιον ἔχουσα σχέσιν καὶ Πινδαρικὸν ὕφος οὐκ ἐμφαίνουσα. Οὗτος ἀφαιρῶν τὴν διάστιξιν μετὰ τὴν λέξιν ἰδεῖν θεωρεῖ τὸν λόγον συνεχῆ ἀπὸ τοῦ τεκμαίρει μέχρι τοῦ ἔμαρψαν. Ἔστι δὲ ἡ ἐξήγησις αὐτοῦ καὶ τῶν ἀκολουθούντων αὐτῷ ἥδε «τοῦτό φησιν· οὐ δεῖν τοὺς ἀνθρώπους πρὸς τοὺς θεοὺς παραβάλλεσθαι, ὡς πανταχοῦ ὑποκειμένους τῷ εἱμαρμένῳ. Ἔτι καὶ Ἀλκιμίδας παρέχει τοὺς ἑαυτοῦ συγγενεῖς ἐξετάζεσθαι κατὰ τὸ παράδειγμα τῶν ἀγρῶν· ὥσπερ γὰρ οὗτοι ἐναλλὰξ ἀναπαύονται, οὕτω καὶ ἐκεῖνοι πολλοῦ δεῖν διετήρησαν ὡς θεοὶ τὴν αὐτὴν ἀεὶ τῶν σωμάτων καὶ τῶν ψυχῶν ἀκμήν· ὥστε ἐπεὶ τάχιστα ἡ τύχη ἑνί τινι αὐτῶν ἔδωκε τὴν δόξαν τῆς νίκης, τῷ ἑτέρῳ ἀεὶ ἀπηρνεῖτο αὐτὴν, ἵνα ὁ ἑπόμενος λαμπρότερος ἀποβαίη». — τὸ συγγενὲς ἰδεῖν] «ὥστε ἰδεῖν τινα τὸ συγγενές». Ἡ λέξις συγγενὲς σημαίνει οὐ μόνον τὴν συγγένειαν τῶν δύο γενῶν (στ. 1) ὡς παραχθέντων ἐκ τῆς αὐτῆς μητρὸς τῆς Γῆς· ἀλλὰ καὶ τὴν πρὸς τὴν

μητέρα συγγένειαν. Κακῶς ὁ Heynius ἐκλαμβάνει τὸ ἰ δ ε ῖ ν· ἐξηγούμενος «cognationem cum diïs arguit victor divina corporis specie, adspectu, τῷ ἰδεῖν». — τὸ συγγενὲς] τίνος; ἐκ τῶν ἀνωτέρω παράλαβε «τοῦ γένους τῶν ἀνδρῶν πρὸς τὸ γένος τῶν θεῶν καὶ πρὸς τὴν μητέρα ἀμφοτέρων τὴν Γῆν».

— Στ. 16-29. Ἄγχι καρποφόροις . . . ὁμαιμίου] Ἄρχεται ἤδη ἐκτιθέμενος τὸν τρόπον, καθ' ὃν ὁ Ἀλκιμίδας τ ε κ μ α ί ρ ε ι τ ὸ σ υ γ γ ε ν ὲ ς ἰ δ ε ῖ ν. «Ὡς αἱ ἄρουραι τῆς γῆς ἀνὰ δεύτερον ἔτος σπειρόμεναι διδοῦσι τοῖς ἀνδράσι βίον πλούσιον· τὸ δὲ ἔτος, καθ' ὃ ἀναπαύονται, λαμβάνουσι σθένος· οὕτω καὶ Ἀλκιμίδας ὡς ἄρουρα τοῦ ἀνθρωπίνου γένους ἐγέννησεν ἀρετὰς ἀγωνισάμενος μετὰ σθένους καὶ δόξης μιμησάμενος εὐτυχῶς τὸν προπάτορα Πραξιδάμαντα». — ἄγχι ἀρούραισιν] «ἐγγὺς καὶ παραπλησίως ταῖς ἀρούραις» Π. Σ. Ὅτι τὸ ἄ γ χ ι οὐκ ἀπέχει κατὰ τὴν σημασίαν πολὺ τοῦ ὁμοίως, δῆλον ἐκ τῆς λέξεως ἀ γ χ ί θ ε ο ι, ἥτις παρ' Ὁμήρῳ (Ὀδυσσ. ε. 35) σημαίνει ὅμοιοι τοῖς θεοῖς. Σύνταττε δὲ οὕτως «παῖς ἦλθε ἄγχι καρποφόροις ἀρούραις» ἤτοι «ὁμοίως, ὥσπερ ἔρχεται ὁ καρπὸς ἐκ τῶν καρποφόρων ἀρουρῶν». — αἵ τ' ἀμειβόμεναι . . . ἔμαρψαν] Ἐνταῦθα λέγει τὸ πρῶτον μέρος τῆς ὁμοιώσεως, τί ποιοῦσιν αἱ ἄρουραι· ἐν δὲ ταῖς ἑπομένοις θὰ εἴπῃ τὸ δεύτερον μέρος, τί δηλονότι ὅμοιον ταῖς ἀρούραις ἐποίησε τὸ γένος τοῦ Ἀλκιμίδα· «αἵ τ' ἀμειβόμεναι (αἱ ὁποῖαι ἐναλλάξ) τόκα μὲν ἔδοσαν βίον (τοτὲ μὲν, ἤτοι τὸ μὲν πρῶτον ἔτος σπειρόμεναι διδοῦσι πλοῦτον), τόκα δὲ ἀναπαυσάμεναι σθένος ἔμαρψαν (τοτὲ δὲ, ἤτοι τὸ δὲ δεύτερον ἔτος ἀναπαυόμεναι, μὴ σπειρόμεναι λαμβάνουσι σθένος)». — μὲν ὦν] μὲν οὖν. — ἦλθέ τοι . . . ἐναγώνιος] «ἦλθεν ὁ Ἀλκιμίδας, ἐγεννήθη παῖς ἐναγώνιος» ἴσον «ἐγένετο παῖς τοῦ ἀγῶνος». Τὸ «ἐξ ἀέθλων» ἐφειλκύσθη ἐκ τῆς σημασίας τοῦ «ἦλθε»· διότι ἐστὶν ἀντὶ τοῦ «ἐν ἀέθλοις» ἐξηρτημένου

Παῖς ἐναγώνιος, ὅς,
Ταύταν μεθέπων Διόθεν
Αἶσαν, νῦν πέφαντ᾽ οὐκ ἄ-
μοιρος ἀμφὶ πάλᾳ κυναγέτας,
Ἐ. ά. Κ. ιά.
Ἴχνεσιν ἐν Πραξιδάμαν-
τος ἑὸν πόδα νέμων
Πατροπάτορος ὁμαιμίου.
Κεῖνος γὰρ Ὀλυμπιόνι-
κος ἐὼν Αἰακίδαις
Ἔρνεα πρῶτος ἀπ᾽ Ἀλφεοῦ,

ἐκ τοῦ «ἐναγώνιος». Ὅθεν ἐναγώνιος ἐξ ἐρατῶν ἀέθλων Νεμέας ἴσον τῷ «ἐναγώνιος ἐν τοῖς ἐρατοῖς (ἐπεράστοις) ἄθλοις τῆς Νεμέας». Τὸ δὲ «ἦλθε» καλῶς ἔχει πρὸς τὴν παραβολήν· «ἦλθεν, ἐξῆλθε δηλονότι ἐκ τοῦ γένους αὐτοῦ, ὡς ἐξέρχονται οἱ καρποὶ ἐκ τῆς ἀρούρας». Σημείωσαι δὲ, ὅτι ἐχρήσατο τῷ «ἦλθε», συνεκδοχικῶς· διότι δὲν ἦλθεν, ἤτοι ἐξῆλθεν, ἐγεννήθη αὐτὸς ὡς καρπὸς, ἀλλὰ αἱ ἀρεταὶ αὐτοῦ, ἡ νικηφορία ἐξῆλθεν ἐξ αὐτοῦ ὡς ἐξ ἀρούρης καρπός. — ταύταν αἶσαν] «τοῦτον τὸν ἐκ τῆς τύχης κλῆρον, ἤτοι τὸ ἐπιτήδευμα τοῦ ἀθλητοῦ, ὃ προσδιώρισεν αὐτῷ ἡ Μοῖρα». — μεθέπων Διόθεν] «ἐπιτηδεύων ἐκ Διός»· διότι ὁ Ζεὺς ἦν ἔφορος περὶ τὴν ἐκτέλεσιν τοῦ πεπρωμένου. — οὐκ ἄμοιρος κυναγέτας] Προσφυῶς ἐχρήσατο τῇ λέξει «κυνηγὸς», ἵνα μεταβῇ εἰς τὸ δεύτερον μέρος τῆς παρομοιώσεως· «οὐχὶ ἀτυχὴς κυνηγέτης». Τίνα ἐκυνήγει, ἤτοι ἐμιμεῖτο εὐμοίρως; οὐχὶ βέβαια τὸν ἑαυτοῦ πατέρα· διότι κατὰ τὸν χρόνον τοῦ πατρὸς ἀνεπαύετο τὸ γένος τοῦ Ἀλκιμίδα, ὥσπερ αἱ ἄρουραι· ἤτοι ὁ πατὴρ οὐκ ἐπεδόθη τῇ ἀθλητικῇ. Ἐκυνήγει λοιπὸν τὸν πάππον Πραξιδάμαντα. Τὴν παραβολὴν

ταύτην τῆς κατὰ περιόδους διαλείψεως τῶν ἀρετῶν τῶν ἀνθρωπίνων γενῶν ποιεῖ καὶ ἐν Νεμ. ιά. 48. κ. ἑξῆς. Ἐν τῇ παρούσῃ λοιπὸν ᾠδῇ εἰπὼν ἐν τῷ προοιμίῳ, ὅτι γεγόναμεν ἐκ τῆς Γῆς, ἐξηγεῖται οὕτω τὸ αἴτιον, δι' ὃ αἱ ἀρεταὶ ἡμῶν διαλείπουσιν ἐναλλὰξ γενεῶν, ὥσπερ οἱ καρποὶ τῶν ἀρουρῶν ἐναλλὰξ ἐτῶν. — ἐν ἴχνεσι πόδα νέμων] καλῶς πρὸς τὸ κυναγέτας. — Πραξιδάμαντος πατροπάτορος] Ἡ σειρὰ τῆς γενεαλογίας τοῦ Ἀλκιμίδου ἐστὶ, κατὰ τὸν Πίνδαρον αὕτη.

Ἀγησίμαχος	ὁ πρῶτος παρὰ Πινδάρῳ ἀναφερόμενος τῆς γενεαλογίας· νικητὴς κατὰ τὴν ἔννοιαν τοῦ Πινδάρου ἐν τοῖς ἱεροῖς ἀγῶσιν.
Σωκλείδας	υἱὸς τοῦ Ἀγησιμάχου μὴ ἐπιδοθεὶς τῇ ἀθλητικῇ. Ὅθεν ἀνώνυμος κατὰ τοῦτο.
Πραξιδάμας	υἱὸς Σωκλείδου γενόμενος πρῶτος τῶν ἑτέρων δύο ἀδελφῶν ἐν τῇ ἀθλητικῇ, μὴ ὀνομαζομένων ὅμως ἐν τούτῳ τῷ χωρίῳ ὑπὸ Πινδάρου.
Θέων	υἱὸς τοῦ Πραξιδάμαντος ὅλως ἀνώνυμος· διὸ ἴσως οὐκ ἀναφέρεται παρὰ Πινδάρου.
Ἀλκιμίδας	υἱὸς Θέωνος ὁ ἐν τῇ ᾠδῇ ταύτῃ ὑμνούμενος.

— ὁμαιμίου] ἐτέθη ἢ πρὸς καλλονὴν τοῦ λόγου ποιητικῶς, ἢ πρὸς ὁρισμὸν τοῦ προπάτορος, ἵνα σημάνῃ τὸν πάππον πρὸς διάκρισιν τοῦ Σωκλείδα καὶ Ἀγησιμάχου, οἳ καὶ αὐτοὶ λέγονται προπάτορες.

— Στ. 30-41. Κεῖνος γὰρ . . . ἐγεύσαντο] «διότι ἐκεῖνος πρῶτος τῶν Αἰγινητῶν γενόμενος Ὀλυμπιονίκης καὶ πεντάκις Ἰσθμοῖ στεφανωθεὶς, ἐν Νεμέᾳ δὲ τρὶς, ἐδόξασεν ἐσαεὶ Σωκλείδαν τὸν ἑαυτοῦ πατέρα, ὃς ἐξοχώτατος τῶν Ἀγησιμάχου υἱῶν ἐγένετο· ἐπειδὴ οὗτος σὺν τῷ Πραξιδάμαντι καὶ ἑτέρους δύο υἱοὺς ἔσχε, καὶ τοὺς τρεῖς εἰς τὸ ἄκρον τῆς ἀθλοφορικῆς ἀρετῆς ἀφικομένους, οἳ καὶ πόνων ἐγεύσαντο». — Κεῖνος γὰρ . . .

Καὶ πεντάκις Ἰσθμοῖ
Στεφανωσάμενος, Νεμέᾳ δὲ τρὶς,
Ἔπαυσε λάθαν Σωκλεΐδα,
Ὃς ὑπέρτατος Ἀγησιμάχῳ
Υἱέων γένετο·

Σ. β'. Κ· ιγ'

Ἐπεί οἱ τρεῖς ἀεθλοφόροι
Πρὸς ἄκρον ἀρετᾶς
Ἦλθον, οἵ τε πόνων

Σωκλεΐδα] Ἀναπλήρωσον τὴν βραχυλογίαν καὶ σύνταττε οὕτω «Κεῖνος γὰρ πρῶτος Αἰακιδῶν Ὀλυμπιόνικος ἐὼν στεφανωσάμενος Αἰακίδαις ἔρνεα ἀπ' Ἀλφεοῦ καὶ πεντάκις Ἰσθμοῖ . . . Σωκλεΐδα». — πρῶτος Ὀλυμπιόνικος] ἐκ τοῦ «Αἰακίδαις» ἀναπλήρου «πρῶτος Αἰακιδῶν» Δύναται δὲ νὰ ἀναπληρωθῇ καὶ «πρῶτος τῶν υἱῶν τοῦ Σωκλεΐδα»· ἀλλ' ἐπειδὴ παρὰ Παυσανίᾳ (ΣΤ.' 18. 5.) ἀναφέρεται ὁ Πραξιδάμας οὕτω «Πρῶτοι δὲ ἀθλητῶν ἀνέθεσαν εἰς Ὀλυμπίαν εἰκόνας Πραξιδάμαντος Αἰγινήτου νικήσαντος πυγμὴν τὴν ἐννάτην Ὀλυμπιάδα ἐπὶ ταῖς πεντήκοντα». Ὅπως ἂν δήποτε ἐξηγήσηταί τις τὸ ἐν τῷ χωρίῳ τοῦ Παυσανίου «πρῶτοι», φαίνεται, ὅτι ὁ Πραξιδάμας ἔλαβε ταύτην τὴν τιμήν, ἐπειδὴ πρῶτος Αἰγινητῶν ἐνίκησεν ἐν Ὀλυμπίᾳ. — Αἰακίδαις] σύνταττε τῷ «στεφανωσάμενος», ἵνα σημάνῃ «στεφανωσάμενος πρὸς τιμὴν καὶ δόξαν τῶν Αἰγινητῶν». — ἔπαυσε . . . Σωκλεΐδα] Φαίνεται, ὅτι εἷς τῶν Π. Σ., ὃν τῶν κριτικῶν τινες διορθοῦντες διέφθειραν, λέγων «ὢν ὁ Πραξιδάμας πρῶτος» τὴν ἐν στ. 32. λέξιν «πρῶτος»

στ. 38. Ἐπεὶ οἱ πολλοὶ γράφουσιν ἐκλαμβάνοντες τὸ οἱ· ἄρθρον καὶ οὐχὶ ἀντωνυμίαν οἷ, καὶ ἐννοοῦντες «οἱ τρεῖς μνημονευθέντες ἀθλοφόροι, Ἀγησίμαχος, Πραξιδάμας καὶ Ἀλκιμίδας».

συντάσσει οὕτως «πρῶτος τῶν υἱῶν ἔπαυσεν». Ὁ δὲ νοῦς τοῦ χωρίου ἐστὶν «ὁ Σωκλείδας πρὸ τῆς πρώτης νίκης τοῦ Πραξιδάμαντος ἄσημος ἦν καὶ ἄγνωστος· νικήσας δὲ τοσαύτας νίκας ὁ υἱὸς ἐποίησε καὶ τὸν πατέρα Σωκλείδαν γνώριμον καὶ περίδοξον» — ὃς . . . γένετο] «ὃς Σωκλείδας (οὗτος γὰρ) ἐγένετο ἐξοχώτατος κατὰ τὴν δόξαν τῶν υἱῶν τοῦ Ἀγησιδάμου». Λέγει λοιπὸν ἐνταῦθα καὶ ἐν τοῖς ἑπομένοις τὸ αἴτιον, δι᾽ ὃ ἐπαύθη ἡ λήθη τοῦ Σωκλείδα. — ὑπέρτατος] κάκιστα ἐκλαμβάνουσι τὴν λέξιν «πρεσβύτατος»· ἡ δεδομένη αὕτη σημασία καθίστησι τὴν λέξιν παντάπασιν ἀργὴν ἐν Πινδαρικῷ μάλιστα ᾄσματι· ὅρα καὶ κατωτέρω ἐν Σημ. στ. 41-44. Σημαίνει λοιπόν, ὅτι καὶ οἱ λοιποὶ υἱοὶ τοῦ Ἀγησιμάχου ἐγένοντο ἔνδοξοι· ἀλλ᾽ οὐχὶ ὡς ὁ ἀδελφὸς αὐτῶν Σωκλείδας. Ἐννόει ὅμως, ὅτι ἐδοξάσθησαν οὐχὶ δι᾽ ἑαυτοὺς ὡς νικήσαντες ἐν τοῖς ἀγῶσιν, ἀλλὰ διὰ τοὺς ἑαυτῶν παῖδας· διότι ἐὰν ὑποτεθῇ, ὅτι οἱ ἀδελφοὶ τοῦ Σωκλείδου ἐνίκησαν, ὁ Πίνδαρος ἀντιφάσκει πρὸς ἑαυτὸν λέγων, ὅτι ἡ γενεὰ τοῦ Ἀλκιμίδου παραβάλλεται πρὸς τὰς ἀρούρας· διότι ἀρκεῖ εἷς ὅστις δήποτε τῶν υἱῶν τοῦ Ἀγησιμάχου νὰ νικήσῃ, ἵνα μὴ διάλειψις γένηται. — ἐπεὶ οἱ τρεῖς . . . ἐγεύσαντο] Σαφηνίζει ἔτι μᾶλλον τὸ αἴτιον, δι᾽ ὃ ὁ Σωκλείδας ἐγένετο ὑπέρτατος τῶν ἀδελφῶν. Ὁ Π. Σ. ἐνόησε κάλλιστα τὸ χωρίον τοῦτο «ἄρθρον ἐστὶ τὸ οἱ ἀντὶ τοῦ, τῷ, τουτέστι τῷ Σωκλείδῃ· τρεῖς γὰρ παῖδες ἐγένοντο αὐτῷ, ὧν ὁ Πραξιδάμας πρῶτος· οἵτινες παῖδες, φησίν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς, τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο» Π. Σ. — οἱ τρεῖς] «τρεῖς υἱοὶ αὐτοῦ (τοῦ Σωκλείδου)»· τὸ υἱοὶ παραλαμβάνεται εὐκόλως ἐκ τοῦ υἱέων. Τῶν τριῶν ὁ εἷς ἦν ὁ Πραξιδάμας· ἀλλὰ τοὺς ἑτέρους δύο διὰ τί οὐκ ὀνομάζει, καίτοι καὶ αὐτοὶ ἦλθον ἀεθλοφόροι πρὸς ἄκρον ἀρετῆς; Ἀναμφιβόλως οἱ δύο ἕτεροί εἰσιν Καλλίας ὁ

Ἐγεύσαντο· σὺν θεοῦ δὲ τύχᾳ
Ἕτερον οὔ τινα οἶκον
Ἀπεφάνατο πυγμαχία πλεόνων
Ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἀ-
πάσας· ἔλπομαι μέγα εἰ-
πὼν σκοποῦ ἄντα τυχεῖν
Ὧτ᾽ ἀπὸ τόξου ἱείς.
εὔθυν᾽ ἐπὶ τοῦτον ἄγε,
Μοῖσ᾽, οὖρον ἐπέων εὔ-
κλέα· παροιχομένων γὰρ ἀνέρων

ἐν στ. 63 ὀνομαζόμενος καὶ ὁ Κρεόντιος, ἢ Κρεοντίδας ὁ ἐν στ. 69. — πόνων ἐγεύσαντο] «ἐπὶ τὸ ἐλθεῖν πρὸς ἄκρον ἀρετᾶς» ὅπερ ἐστὶν «οἳ οὐκ ἄνευ πόνων ἦλθον πρὸς τὸ ἄκρον». Οὐδαμῶς δύναμαι νὰ συμφωνήσω τοῖς ἑρμηνεύουσι τὸ χωρίον «ἐπεὶ οἱ τρεῖς οὗτοι Ἀγησίμαχος, Πραξιδάμας καὶ Ἀλκιμίδας ἦλθον»· οὗτοι κατ᾽ ἐμὲ πολὺ ἀπέσχον τῆς ἐννοίας τοῦ ποιητοῦ.

— Στ. 41-44. Σὺν θεοῦ δὲ τύχᾳ . . . Ἑλλάδος ἁπάσας] «οὐδεὶς τῶν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα οἴκων ἔλαβεν ἐν τῇ πυγμαχίᾳ πλείονας στεφάνους τοῦ οἴκου τοῦ Σωκλείδα». — σὺν τύχᾳ θεοῦ] «βοηθοῦντος τοῦ

στ. 43. πλεόνων· ἡ λέξις αὕτη οὐχ ὑπάρχουσα ἐν τοῖς χειρογρ. προσετέθη ὑπό Schmidii εἰκάσαντος ἐκ τῆς ἑρμηνείας τοῦ Π. Σ. τῆςδε «πλείους ἀπενηνοχότα στεφάνους», ὅτι ὁ Π. Σ. πλεόνων ἀνέγνω.

στ. 46. Παρεδεξάμην τὴν εἰκασίαν τοῦ Heynii· ἣ οὐκ ἀπέχει τῆς τῶν χειρογράφων γραφῆς πὼν ἄντα σκοποῦ τυχεῖν.

στ. 47. ὦτ᾽ ἐκ διορθώσεως. Ἐτήρησα τὴν γραφὴν τῶν χειρογρ. — ἱεῖσ᾽ ἡ συνήθης γραφή· ἀλλὰ καὶ ἡ ἱεὶς κατὰ Schmidium ἐστὶ χειρογρ. τινῶν.

στ. 50. κλέα αἱ δύο συλλαβαὶ ὡς μία ἀναγνωστέαι.

θεοῦ τῷ οἴκῳ τοῦ Σωκλείδα». — πλεόνων στεφάνων] Μὴ κατιδόντες οἱ ἑρμηνευταί, ὅτι πάντα ταῦτα ἀπὸ στ. 36-74. λέγονται περὶ τοῦ οἴκου τοῦ Σωκλείδα, ἐξέλαβον τὴν λέξιν (στ. 31) «ὑπέρτατος» ἀντὶ τοῦ πρεσβύτερος. — μυχῷ Ἑλλάδος] «ἐντὸς τῆς Ἑλλάδος», ὡς παρ' Ὁμήρῳ (Ἰλιαδ. ζ.152.) Μυχῷ Ἄργεος ἱπποβότοιο· ἢ ὡς ἑρμηνεύει ὁ Π. Σ. «τὰς πόλεις, ἐν αἷς ἐνίκησε, μυχοὺς Ἑλλάδος κέκληκεν· ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν, ἐν ἑκάστῳ μυχῷ τῆς Ἑλλάδος». Π. Σ. Κατὰ τὴν ἔννοιαν λοιπὸν τοῦ Π. Σ. ἡ λέξις «μυχῷ» συντάσσεται τῷ «ἀπεφάνατο» ἤτοι «ἀπεφήνατο ἐν ἑκάστῳ μυχῷ τῆς Ἑλλάδος»· καθ' ἡμᾶς δὲ ἡ λέξις συντάσσεται τῷ «οὔ τινα οἶκον»· ἤτοι «οὐδένα οἶκον ἐν τῷ μυχῷ ἁπάσης τῆς Ἑλλάδος (ἐν ἁπάσῃ τῇ Ἑλλάδι)».

— Στ. 45-47. Ἔλπομαι . . . ἱεὶς] «Ἐλπίζω δέ, ὅτι ἐπαινέσας τοσούτῳ μεγάλως τὸν οἶκον τοῦ Σωκλείδα ἐπέτυχον τοῦ σκοποῦ ὡς ἄριστος τοξότης». — μέγα] ὅτι δηλαδὴ ἐν μυχῷ ἁπάσης Ἑλλάδος πυγμαχία ἀπεφήνατο τὸν οἶκον τοῦ Σωκλείδα ταμίαν στεφάνων κ. τ. λ. — ἄντα σκοποῦ τυχεῖν] «ἐναντίον τι καὶ εὐθὺ τοῦ σκοποῦ» Π. Σ. — ὥτ' ἀπὸ τόξου] «ὡς ἄριστος τοξότης· τοῦ δὲ ὥτ' ἀπὸ τόξου τὸ ὥτε Δωρικῶς ἀντὶ τοῦ ὥστε (ὡς, καθώς) φησιν» Π. Σ.

— Στ. 48-49. εὔθυν' . . . ἐπέων εὐκλέα] «ἐπὶ τοῦτον λοιπόν, ὦ Μοῦσα, τὸν οἶκον διεύθυνε τοὺς οὐρίως καὶ ἐπιτυχῶς εὐκλεΐζοντας λόγους.

— Στ 50-52. παροιχομένων . . . ἐκόμισαν] «τῶν γὰρ τεθνηκότων ἀνδρῶν τὰ κάλλιστα κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ καὶ οἱ λοιποὶ τῶν σοφῶν τῇ μνήμῃ παραδιδόασιν» Π. Σ. — παροιχομένων ἀνέρων] τῶν τριῶν παίδων τοῦ Σωκλείδα, οἵτινες ἤδη ἦσαν τεθνηκότες. — ἀοιδοὶ καὶ λόγιοι] «ἀοιδοὶ μὲν οἱ ποιηταὶ,) λόγιοι δὲ οἱ πρότερον τὰ κατὰ τὰς πόλεις

Ἀ. β'. Κ. ιγ'·

Ἀοιδοὶ καὶ λόγιοι τὰ καλά
Σφιν ἔργ' ἐκόμισαν,
Βασσίδαισιν ἅτ' οὐ
Σπανίζει· παλαίφατος γενεά,
Ἴδια ναυστολέοντες
Ἐπικώμια, Πιερίδων ἀρόταις
Δυνατοὶ παρέχειν πολὺν ὕμνον, ἀγε-
ρώχων ἐργμάτων ἕνεκεν.
Καὶ γὰρ ἐν ἀγαθέᾳ,
Χεῖρας ἱμάντι δεθείς,

διηγούμενοι» Π. Σ. ἢ μᾶλλον λόγιοι οἱ πεζογράφοι. — ἐκόμισάν σφιν] ἀντιχρονισμὸς ἀντὶ κομίζουσιν· «περιποιοῦνται αὐτοῖς, διασώζουσιν. Ἐν Πυθ. Α.' 182. κεῖται ἀντὶ τοῦ κομίζειν τὸ μηνύειν.

— Στ. 53. «Ἅτινα κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις οὐ σπανίζει, ἀλλὰ πλεονάζει» Π. Σ. Ἐνταῦθα μέχρι στ. 58. ἀναφέρει τὸν λόγον πρὸς ἅπασαν τὴν πάτραν, ἤτοι τὴν φυλὴν τοῦ Ἀλκιμίδου, τοὺς Βασσίδας. — Βασσίδαισιν] «Βάσσος γὰρ πρόγονος τῶν ἀνωτέρω τοῦ Ἀλκιμίδου· ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ Βασσιάδαι. Ὁ Δίδυμός φησι, προσήκει γράφειν Βουδίδαις· γενέσθαι γάρ τινα Βουδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βουδιδῶν· μνημονεύειν δέ φησι τοῦ Βουδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητικῶν γράφοντα οὕτω. Περὶ δὲ ταῦτα τούτων λεγομένων λέγεται Βουδίωνα τυγχάνειν διενηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτοῦ θυγατέρα». Π. Σ.

— Στ. 54-58. Παλαίφατος . . . ἐργμάτων ἕνεκεν] «Παλαιὰ καὶ ἔκπαλαι πεφημισμένη γενεὰ ἡ τῶν Βασσιδῶν ἰδίᾳ καὶ ἰδίοις πόνοις καὶ ἀναλώμασι τελοῦντες ἔργα ἐπαίνου ἄξια ἐγένοντο δυνατοὶ νὰ παρέχωσι τοῖς

ποιηταῖς πολλὴν ὕμνων ὕλην». — ναυστολέοντες ἴδια ἐπικώμια] οὐ παραβάλλεται ἡ ναῦς πρὸς τὰ ἐπικώμια, ὡς ἐν τῷ «ναυστολεῖν τὴν πόλιν», ἀλλ' ἡ διοίκησις μόνον τῆς νεὼς πρὸς τὴν διοίκησιν τῶν ἐπικωμίων. Ὅθεν τὸ ναυστολέοντες ἐνταῦθα σημαίνει «τοσαύτην φροντίδα ποιοῦνται περὶ τῆς ἐπιτυχοῦς ἐκβάσεως τῶν ἐπικωμίων ἔργων, ὅσην ὁ πλοίαρχος περὶ τῆς διοικήσεως τῆς νεώς. Τὸ δὲ ἴδια συναπτέον τῷ ναυστολέοντες ὡς ἐπίρρημα, ἵνα σημάνῃ «φροντίζουσι καὶ διοικοῦσι τὰ ἔργα ταῦτα ἰδίοις πόνοις καὶ κινδύνοις καὶ ἀναλώμασιν», ἀντιθέτως πρὸς τοὺς ἀγωνιζομένους ἐν πολέμῳ κοινοῖς καὶ δημοσίοις. «Ἐπικώμια τὰ ἐπιτήδεια ὑμνεῖσθαι εἰς κῶμον τῆς νίκης· μετὰ γὰρ τὸ νικῆσαι ἐκώμαζον μετὰ τῶν ἡλικιωτῶν» Π. Σ. — Πιερίδων ἀρόταις] οἱ ποιηταὶ ἐν τῇ αὐτῇ ἐννοίᾳ λέγονται, ὅτι νέμονται. — τὸν κῆπον τῶν Χαρίτων (Ὀλυμ. Θ'. 39).

— Στ. 59-71. Καὶ γὰρ ἐν ἀγαθέᾳ . . . Ποσειδάνιον ἀν' τέμενος] Μετὰ τὴν πρὸς ἅπασαν τὴν φυλὴν τοῦ Ἀλκιμίδου προσφώνησιν ἐπανέρχεται εἰς τὸν οἶκον τοῦ Σωκλείδα, ἵνα μετ' ἐγκωμίων μνημονεύσῃ καὶ τῶν ἑτέρων δύο υἱῶν αὐτοῦ Καλλία καὶ Κρεοντίδα, ἢ Κρεοντίου. — καὶ γὰρ] Οἱ ἐνταῦθα ἐπαινούμενοι ἀνήκουσιν εἰς τὴν φυλὴν τῶν Βασσιδῶν. Ὅθεν τὰ ἔργματα τούτων εἰσὶ καὶ ἔργματα τῆς φυλῆς· καλῶς ἄρα ἄρχεται διὰ τοῦ γάρ. «Διότι καὶ ἐν τῇ θαυμασίᾳ Πυθῶνι (ἐν Δελφοῖς) Καλλίας ἀπὸ ταύτης τῆς τῶν Βασσιδῶν φυλῆς ὢν δεθείς ποτε τὰς χεῖρας τὸν πυκτικὸν ἱμάντα ἐνίκησεν ἀρέσας τοῖς παισὶ τῆς Λητοῦς Ἀπόλλωνι καὶ Ἀρτέμιδι, καὶ μέχρις ἑσπέρας ὑμνεῖτο ὑπὸ τῶν πανηγυριζόντων τὴν νίκην αὐτοῦ· καὶ ἐν Ἰσθμῷ κατὰ τὸ τέμενος τοῦ Ποσειδῶνος ἐν τοῖς τριετηρικοῖς ἀγῶσιν ἐκηρύχθη νικητὴς ὁ Κρεοντίδας». — χεῖρας ἱμάντι δεθεὶς κράτησεν] περίφρασις τοῦ «πύκτης ἐνίκησεν». — ἀπὸ ταύτας αἷμα πάτρας Καλλίας] «Καλλίας ὢν αἷμα ἀπὸ

Πυθῶνι κράτησεν ἀπὸ
Ταύτας αἷμα πάτρας χρυσα-
λακάτω ποτὲ Καλλίας ἁδὼν
Ἐ. β'. Κ. ιά.
Ἔρνεσι Λατοῦς, παρὰ Κα-
σταλίᾳ τε Χαρίτων
Ἑσπέριος ὁμάδῳ φλέγεν·
Πόντου τε γέφυρ' Κρεόν-
τιον ἐν Ἀμφικτυόνων
Ταυροφόνῳ τριετηρίδι

ταύτης τῆς πάτρας, τῆς φατρίας, ἤτοι τῶν Βασσιδῶν. Ζεῦ· τεὸν γὰρ αἷμα (Νεμ. Γ.' 114). — ἁδὼν ἔρνεσι χρυσαλακάτω Λητοῦς] Τὸ «ἁδών» δεύτερος ἀόριστος τοῦ ἥδω γνωστόν. Ἔρνη, ἤτοι βλαστήματα καλεῖ τὰ τέκνα τῆς Λατοῦς τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν. Ὁ νοῦς «τέρψας ἐπὶ τῇ νίκῃ τοὺς δύο τούτους θεοὺς τοὺς προστάτας τῶν ἐν Πυθῶνι ἀγώνων». — χρυσαλακάτω] «χρυσηλάκατον δὲ εἶπε τὴν Λητὼ τὸ τῆς Ἀρτέμιδος μετενεγκὼν ἐγκώμιον ἐπὶ τὴν μητέρα τὴν γεννήσασαν» Π. Σ. — παρὰ Κασταλίᾳ] Συνεκδοχικῶς ἀντὶ τοῦ «παρὰ τοῖς Δελφοῖς, ἢ παρὰ τῷ ἐν Δελφοῖς ναῷ» ἔφη «παρὰ Κασταλίᾳ» τῇ παρὰ τοῖς Δελφοῖς πηγῇ. — Χαρίτων . . . φλέγεν] «ὁ νοῦς· παρὰ δὲ τῇ Κασταλίᾳ πηγῇ, τουτέστιν ἐν Δελφοῖς, τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ μέχρις ἑσπέρας ἐλαμπρύνετο· ἔθος γὰρ ἦν καὶ παννυχίδας ὕμνων τοῖς νενικηκόσιν ἀποτελεῖσθαι». — Χαρίτων ὁμάδῳ] «οἱ μὲν τῷ χωρῷ ἀποδεδώκασιν (ἐννοοῦντες δηλονότι ὑπὸ τῆς

στ. 62-63. χρυσαλακάτου ἐκ διορθώσεως. — ἅδων, ᾄδων διάφορι γραφαί, ὁ Π. Σ. ἐξηγούμενος τὴν λέξιν «ἀρέσας» ἀνέγνω ἁδών, ὡς διώρθωσεν ὁ Stephanus.

ὁμηγύρεως τῶν χορευτῶν ἔλαμπεν, ἐλαμπρύνετο)· οἱ δὲ τῷ χαριεστάτῳ θορύβῳ τῆς ἐπὶ τῇ νίκῃ πανηγύρεως, φασὶν, ἐλαμπρύνετο κωμάζων» Π. Σ. Ποιητικώτατα τὸν ὅμαδον, τὸν θόρυβον καὶ φωνὰς τῶν χορευτῶν καὶ πανηγυριζόντων τὴν νίκην καλεῖ ὅμαδον τῶν θεῶν Χαρίτων· διότι αἱ Χάριτες αἱ ποιοῦσαι τοῖς θεοῖς καὶ ἀνθρώποις τὰ τερπνὰ καὶ εὐφρόσυνα, παρεῖχον καὶ τοῖς πανηγυρίζουσιν ἐκείνοις τὸν ἐκ τῆς χαρᾶς ὅμαδον. -- φλέγεν] κατὰ τὴν αὐτὴν σημασίαν ἐτέθη καὶ ἐν Ὀλυμ. Β.' 131. χρῆται καὶ τῷ παθητικῷ ὡσαύτως φ λ έ γ ε τ α ι ἀ ρ ε τ α ῖ ς (Νεμ. Ι.' 4). Φ λ έ γ ε τ α ι Μ ο ί σ α ι ς (Ἰσθ. Ζ.' 33). — Πόντου . . . τέμενος] Καὶ ὁ Ἰσθμὸς ἐν τῇ ταυροφόνῳ τριετηρίδι ἐστεφάνωσε τὸν Κρεόντιον ἐν τῷ τεμένει τοῦ Ποσειδῶνος». — πόντου γέφυρα] «ὡς ἐν Ἰσθμίοις νενικηκότος αὐτοῦ· πόντου γὰρ γέφυρα ὁ Ἰσθμός· τεσσαράκοντα γὰρ τριῶν σταδίων ἀμφιθάλασσος ἦν» Π. Σ. — Κρεόντιον] Παρὰ τοῖς Π. Σ. ἀναφέρεται «Κρεοντίδαν». Κ ρ ε ό ν τ ι ο ν δὲ, ἢ Κρεόντειόν ἐστι κατὰ διόρθωσιν ἐξ εἰκασίας τοῦ Schmidii καὶ τοῦ Mingarelli. Ὁ Π. Σ. θεωρεῖ τὸ ὄνομα τοῦτο, Κ ρ ε ο ν τ ί δ α ν κυρίως πατρωνυμικόν· διὸ λέγει «Κρεοντίδαν δὲ τὸν Καλλίαν φησὶν, ὡς τοῦ πατρὸς αὐτοῦ Κρέοντος καλουμένου». Κατὰ τὴν ἐμὴν ἀπὸ στ. 30-75 ἐξήγησιν, περὶ ἧς τοῦ ὀρθοῦ εἰμι πεπεισμένος, ἀνάγκη ἐστὶν, ὡς εἶπον ἀνωτέρω, νὰ μνημονεύσῃ ὁ Πίνδαρος καὶ τῶν δύο ἔτι ἑτέρων υἱῶν τοῦ Σωκλείδα· τούτων λοιπὸν κατ' ἐμὲ μνημονεύει· καί εἰσιν ὁ Καλλίας καὶ ὁ Κρεόντιος ἢ Κρεοντίδας. Προυτίμησα δὲ τὸ Κ ρ ε ό ν τ ι ο ς μᾶλλον, ἢ τὸ Κρεοντίδας, ὡς δυνάμενον εὐκολώτερον νὰ θεωρηθῇ κύριον ὄνομα· ἀλλὰ καὶ τὸ Κ ρ ε ο ν τ ί δ α ς δύναται νὰ θεωρηθῇ ὡς κύριον ὄνομα πατρωνυμικῶς ἐσχηματισμένον, ὡς ἔστι καὶ Σ ω κ λ ε ί δ α ς, ὅς οὐκ ἔστιν υἱὸς τοῦ Σωκλέους ἀλλὰ τοῦ Ἀγησιμάχου. — ἐν Ἀμφικτυόνων . . . τριετηρίδι] «ἐν τῇ ταυροφόνῳ τριετηρίδι τῶν Ἀμφικτυόνων

Τίμασε Ποσειδά-
νιον ἂν' τέμενος· βοτάνα τέ νίν
Ποθ' ἁ λέοντος νικάσαν-
τ' ἔρεψ' ἀσκίοις Φλιοῦντος ὑπ' ὠ-
γυγίοις ὄρεσιν.

Σ. γ'. Κ. ιγ'.

Πλατεῖαι πάντοθεν λογίοι-
σιν ἐντὶ πρόσοδοι
Νᾶσον εὐκλέα τάν-
δε κοσμεῖν· ἐπί σφιν Αἰακίδαι
Ἔπορον ἔξοχον αἶσαν,

(τῶν οἰκούντων περὶ τὴν γέφυραν τοῦ πόντου)» — ταυροφόνῳ] «ἐν ᾗ ταύρους φονεύουσι καὶ ἱερουργοῦσι τῷ Ποσειδῶνι, ὡς καὶ Ὅμηρος (Ὀδυσσ. γ. 6.)

Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.

Τριετηρίδι δὲ διὰ τὸ διὰ τριετηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι» Π. Σ.

— Στ. 71 74. βοτάνα . . . ὄρεσιν] «καὶ ἡ Νεμέα ποτὲ νικήσαντα αὐτόν, τὸν Κρεόντιον, ὑπὸ τὰ πανάρχαια ὄρη τῆς Φλιοῦντος ἔστεψεν». — βοτάνα λέοντος] Ἐπειδὴ ἡ Νεμέα ἦν διαίτημα καὶ κτῆμα τρόπον τινὰ τοῦ λέοντος, πρὶν ἢ φονευθῇ ὑφ' Ἡρακλέους· τὸ δὲ σέλινον, ᾧ ἐστεφάνουν τοὺς νικητάς, ἐφύετο ἐν Νεμέᾳ· διὰ τοῦτο καλεῖ τὴν βοτάνην ταύτην, τὸ σέλινον «βοτάνα λέοντος» ποιητικῶς ἀντὶ τοῦ «Νεμέα». — ἀσκίοις] «κατ' ἐπίτασιν ληπτέον τοῦτο ἀντὶ τοῦ συσκίοις» Δούκας, ἢ «παρὰ τὸ ὑψηλὸν τοῖς μεγίστην σκιὰν ἀπεργάζεσθαι δυναμένοις» Π. Σ. — ὑπ' ὄρεσι Φλιοῦντος] «Κεῖται ἡ

Νεμέα περὶ τὰ Φλιάσια ὄρη, παράκειται δὲ καὶ πόλις ὁμώνυμος ἡ Φλιοῦς, ἡ πρότερον Ἀραιθυραία καλουμένη, ἣν καὶ Ὅμηρος (Ἰλιαδ. β 571) οὕτω φησίν» Π. Σ. — ὠγυγίοις] ὅτι τὰ παμπάλαια καλοῦνται ὠγύγια, γνωστόν.

— Στ. 75-80. Πλατεῖαι . . . μεγάλας] Τελειώσας ἤδη τοὺς ἐπαίνους τοῦ γένους καὶ τῆς φυλῆς τῆς πατριᾶς τοῦ Ἀλκιμίδα, ἔρχεται νὰ ἐπαινέσῃ καὶ τοὺς ἥρωας τῆς Αἰγίνης, τοὺς Αἰακίδας. Ἡ δὲ τέχνη τῆς μεταβάσεως ταύτης ἐστὶ θαυμαστὴ καὶ ἀξία τοῦ Πινδάρου Ὁ νοῦς «εἴτε ἐκ τῶν ὑπαρχουσῶν ἐν Αἰγίνῃ φυλῶν, εἴτε ἐκ τῶν καθ' ἑκάστους πολιτῶν βούλεταί τις τῶν ποιητῶν νὰ ἐπαινέσῃ τὴν Αἴγιναν, πανταχόθεν εὐχερῶς εὑρίσκει ἄφθονον ὕλην. Τούτου δὲ αἴτιοί εἰσιν οἱ Αἰακίδαι, οἵτινες μεγάλας ἀρετὰς ἐπιδειξάμενοι παρέσχον τοῖς πολίταις τῆς νήσου τὴν εὐτυχίαν ὥστε ζηλοῦντες τὰ ἔργα τῶν ἡρώων ἐκείνων νὰ φιλοτιμῶνται καὶ ἕκαστος χωρὶς καὶ φυλὴ ὅλη νὰ κατορθώσωσί τι ἄξιον τῶν απογόνων ἐκείνων». Ἐκ δὲ ταύτης τῆς ἐννοίας λαμβάνει ἀφορμὴν ὁ ποιητὴς νὰ διηγηθῇ τινα περὶ αὐτῶν ἐν τοῖς ἑπομένοις. — πάντοθεν] «οὐ μόνον ἐκ τῆς φατρίας τοῦ Ἀλκιμίδου ὅλης, οὐδ' ἐξ αὐτοῦ μόνου τοῦ Ἀλκιμίδου· ἀλλὰ καὶ ἐκ πασῶν κοινῇ τῶν φατριῶν καὶ ἐκ πάντων ἰδίᾳ τῶν ἀνηκόντων ταῖς φατρίαις. — λογίοισιν] ὡς εἶπεν ἀνωτέρω «ἀοιδοῖς καὶ λογίοις». — σφίν] ἢ ἑνικοῦ ἀριθ. ἵνα σημάνῃ «τῇ Αἰγίνῃ», ἢ πληθυντικοῦ, ἵνα ἐκ τοῦ (στ. 75) «πάντοθεν» ἁπάσαις ταῖς ἐν Αἰγίνῃ φατρίαις, ἢ πᾶσι τοῖς Αἰγινήταις. — ἔξοχον αἶσαν] «ἔξοχον τύχην, καλλίστην εὐτυχίαν». Τίς δέ ἐστιν ἡ εὐτυχία, ἣν οἱ Αἰακίδαι ἐπόρισαν τῇ Αἰγίνῃ; ποιήσαντες αὐτοὶ ἔξοχα κατορθώματα κατέλιπον τοῖς ἀπογόνοις φιλοτιμίαν τοῦ ζηλοῦν τοιούτους προγόνους, καὶ ὁ ζῆλος οὗτος κατέστησε τοὺς Αἰγινήτας ἀξίους νὰ ἐπαινῶνται ὑπὸ τῶν ποιητῶν. Ὅθεν ἡ πρότασις «ἐπεί σφιν . . . μεγάλας»

Ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
Πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θα-
λάσσας τηλόθεν ὄνυμ' αὐ-
τῶν, καὶ ἐς Αἰθίοπας,
Μέμνονος οὐκ ἀπονο-
στάσαντος, ἐπᾶλτο· βαρὺ
Δέ σφιν νεῖκος ἔμπεσ', Ἀχιλ-
λεὺς χαμαὶ καββαὶς ἀφ' ἁρμάτων

Ἀ. γ'. Κ. ιγ'.

Φαεννᾶς υἱὸν εὖτ' ἐνάρι-
ξεν Ἀοῦς αἰχμᾷ
Ἔγχεος ζακότοι-

σημαίνει τὸ αἴτιον, δι' ὃ οἱ ποιηταὶ εὑρίσκουσι πανταχόθεν πλατείας εἰσόδους εἰς τὸ ἐπαινεῖν τὴν νῆσον. — ἀποδεικνύμενοι] τοῖς Αἰγινήταις.

— Στ. 81-85. Πέταται . . . ἐπᾶλτο] Συνεπέστατα ἤδη ἀναφέρει περὶ τῶν ἀρετῶν τῶν Αἰακιδῶν. Παράβαλε πρὸς Ἰσθμ. ΣΤ.' 31. κ. ἑξῆς. — πέταται] ἵπταμαι, πέτομαι, πέταμαι καὶ πετάομαι. — ἐπᾶλτο] «ἔστι καὶ συνεσταλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο, τουτέστιν ἐπάλθη, ἐβλήθη τὸ κλέος αὐτῶν εἰς Αἰθίοπας» Π. Σ. — Μέμνονος οὐκ ἀπονοστάσαντος] παράβαλ. πρὸς τὸ (Νεμ. Γ.' 109) «ὅπως σφίσι μὴ μόλοι».

στ. 86. σφι καίπερ οὐδὲ τοῦ μέτρου ἀναγκάζοντος. — Ἀχιλ-, διῃρέθη τὸ δεύτερον μακρὸν τοῦ ἀντισπάστου εἰς δύο βραχέα· ἢ πρέπει νὰ ἀναγνωσθῇ ὡς μία συλλαβή.

στ. 87. καταβὰς διόρθωσις ἕνεκα τοῦ μέτρου· καίτοι ἡ διόρθωσις χαμᾶζε καββαὶς πιθανωτέρα ἐστίν.

στ. 89. Ἀόος ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου.

— Στ. 86-90. βαρὺ δὲ σφιν νεῖκος . . . ζακότοιο] «βαρεῖαν δὲ καὶ δεινὴν μάχην ἠγωνίσαντο, ὅτε Ἀχιλλεὺς ἐκ τῶν ἁρμάτων καταβὰς ἐφόνευσε τὸν υἱὸν τῆς Ἠοῦς Μέμνονα». — σφιν] «τοῖς Αἰθίοψιν καὶ Αἰακίδαις πρὸς ἀλλήλους»· τὸ «Αἰακίδαις» παραλαμβάνεται ἐκ τῶν ἀνωτέρω κατὰ συνεκδοχὴν ἀντί τοῦ «Ἀχιλλεῖ». — εὖτ' Ἀχιλλεὺς ἐνάριξεν υἱὸν Ἀοῦς] «Μέμνων υἱός μὲν ἦν Τιθωνοῦ καὶ Ἡμέρας, βασιλεὺς δὲ Αἰθιόπων· οὗτος ἐναντιούμενος τοῖς Ἕλλησιν ὑπὲρ τῶν Τρώων ἀνῃρέθη ὑπὸ Ἀχιλλέως, καὶ διὰ τοῦτό φησι τὴν τῶν Αἰακιδῶν δόξαν καὶ μέχρις Αἰθιόπων διαπτῆναι» Π. Σ. — ἔγχεος ζακότοιο] «οὐκ ἐκ παραδρομῆς ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως, ὡσανεὶ μείλινον ἤ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο· δίκρουν γὰρ (κατεσκεύαστο), ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾷ βολῇ δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι· καὶ Αἰσχύλος ἐν Νηρεΐσι «Κάμακος εἶσι, κάμακος γλώσσημα διπλάσιον». καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς «Ἡ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλλητίου δόρατος»· μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως·

Ἀμφὶ δὲ πόρκης
Χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ δίκροος ἄρδις». Π. Σ. Τοῦ ἑτέρου ὅμως Π. Σ. ἡ ἐξήγησίς ἐστιν ὀρθή· «ζάκοτόν φησι κατὰ μετουσίαν τοῦ φέροντος καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ, ἀπὸ τῶν παρ' Ὁμήρῳ (Ἰλιαδ. Λ. 573).

Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν
Ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι». Π. Σ.

σ· καὶ τάνδε μὲν παλαιότεροι
Ὁδὸν ἀμαξιτὸν εὗρον.
Ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν.
Τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον
Αἰεὶ κυμάτων λέγεται

— Στ. 91-93. καὶ τάνδε μὲν . . . μελέταν] «καὶ ταύτην μὲν τὴν ὁδὸν τοῦ διηγεῖσθαι ἓν καθ' ἓν ἐφεξῆς ἅπαντα, ὅσα τείνουσιν εἰς ἔπαινον τῆς πατρίδος τοῦ νικηφόρου, ἥ ἐστι ἀμαξιτός, ἤτοι ἅπασι τοῖς ἐπαινοῦσι κοινή· ταύτην, λέγω, τὴν ὁδὸν ἄλλοι παλαιότεροι εὗρον πρὸ ἐμοῦ· ταύτην δὲ καὶ ἐγὼ πορεύομαι, ἐπειδὴ μεμελετημένος καὶ παρεσκευασμένος εἰς τοῦτό εἰμι». Σύνηθες τῷ ποιητῇ, ὅταν νομίζῃ, ὅτι ἀρκοῦσιν, ὅσα ἔλεξε περὶ ὑποθέσεως σχέσιν ἐχούσης πρὸς τὴν κυρίαν ὑπόθεσιν, διὰ προοιμίου τινὸς νὰ ἐπανέρχηται εἰς τὴν κυρίαν. Ἐνταῦθα ἡ κυρία ὑπόθεσίς ἐστιν ἡ νίκη τοῦ Ἀλκιμίδα· μέλλων λοιπὸν νὰ ἐπανέλθῃ εἰς τὸν Ἀλκιμίδαν, ἐπροοιμιάσατο κατὰ τὸ σύνηθες. — ὁδὸν ἀμαξιτὸν] οὕτω καὶ ἐν Πυθ. Δ.' 339. τὴν κατὰ τάξιν καὶ ἀκρίβειαν διήγησιν ἁπάντων τῶν κατὰ τὴν ἐκστρατείαν τῶν Ἀργοναυτῶν συμβάντων ἁ μ α ξ ι τ ὸ ν καλεῖ. — ἕπομαι] αὐτοῖς τοῖς εὑροῦσι τὴν ἀμαξιτόν. — ἔχων μελέταν] ἡ τοῦ Heynii ἐξήγησις ἔχουσα οὕτως «ὅτε συντίθημι ὕμνον, quoties hymnum compono» οὐκ ἐπαναπαύει· ἡ δὲ τοῦ Dissenii αὕτη «ἕπομαι καὶ αὐτὸς ἄσμενος καὶ οὐχὶ ἄνευ μελέτης καὶ πείρας sequor et ipse jubens nec sine studio» οὐκ ἀπαρέσκει· ἡ δὲ ἑπομένη γνώμη αὐτοῦ «ἐπεὶ γὰρ ὀλίγα μόνον εἴρηκε περὶ τῶν Αἰακιδῶν, ἵνα μή τις τοῦτο ὑπ' ἀμελείας τοσούτων ὀνομάτων νοήσῃ γενόμενον, ἐπισημειοῖ, ὅτι προθύμως καὶ αὐτὸς ᾄδει τὰ τῶν Αἰακιδῶν κατὰ τὸ παράδειγμα τῶν προτέρων, ἀλλὰ νῦν κωλύεται»· ἡ γνώμη αὕτη μοι

ἀπαρέσκει. Ὁ Πίνδαρος ἐπειδὴ τὰ πλεῖστα περὶ τῶν Αἰακιδῶν διηγήσατο ἐν ὕμνοις ἄλλων νικηφόρων Αἰγινητῶν, οὐ βούλεται καὶ ἐνταῦθα ἐπαναλαμβάνειν τὰ αὐτὰ μετὰ πολλῆς λεπτομερίας· ἀλλὰ νομίζει, ὅτι ἀρκοῦσι ἐνταῦθα, ὅσα εἶπε περὶ τῶν Αἰακιδῶν, καὶ θέλει νὰ ἐπανέλθῃ εἰς τὸν ἥρωα τοῦ ὕμνου ἄνευ φόβου, μὴ φανῇ, ὡς νομίζει ὁ Dissenius, ὅτι προτιμᾷ τοὺς ἐπαίνους τῶν ἀνδρῶν μᾶλλον ἢ τοὺς τῶν θεῶν καὶ ἡρώων. Κατὰ τὴν ἐμὴν λοιπὸν γνώμην καὶ ἐξήγησιν ἣν ἀπέδωκα τοῖς στ. 75-80. τὸ ἕ π ο μ α ι ἔ χ ω ν μ ε λ έ τ α ν σημαίνει «μεμελετημένος ὢν καὶ ἕτοιμος νὰ ἐπαινῶ ἐν τοῖς ὕμνοις τὴν πατρίδα τοῦ νικηφόρου διηγούμενος τὰς ἀνδραγαθίας τῶν ἡρώων αὐτῆς, ὡς ποιοῦσιν οἱ παλαιότεροι, ἐπιθυμῶ να ποιήσω τοῦτο ἀκολουθῶν τοὺς παλαιοτέρους· ἀλλὰ τὸ π α ρ' π ο δ ὶ ν α ὸ ς μ ά λ ι σ τ α κ υ μ ά τ ω ν, ὡς αὐτίκα λέγει, κωλύει με. Ὅτι δὲ ἡ ἐμὴ γνώμη αὕτη ἐστὶ σύμφωνος τῇ ἐννοίᾳ τοῦ Πινδάρου, δηλοῖ τὸ κατωτέρω χωρίον ἑ κ ό ν τ ι δ' ἐ γ ώ . . . κ λ ε ι τ ᾷ γ ε ν ε ᾷ (ἀπὸ στ. 97-104).

— Στ. 94-96. Τὸ δὲ παρ' ποδὶ . . . δονεῖν θυμὸν] ἠδύνατο νὰ εἴπῃ, ὡς συνήθως ποιεῖ, ὅτε ἐπανέρχεται εἰς τοὺς ἐπαίνους τοῦ νικηφόρου, ὥ ρ α δ ὲ σ υ ν ά π τ ε ι· τ ὸ γ ὰ ρ π α ρ' π ο δ ί κ. τ. λ. (παράβαλ. πρὸς Πυθ. Δ'. 440 καὶ πρὸς Ἰσθ. ΣΤ.' 82-83) ἢ οὕτως «τ ὰ μ α κ ρ ὰ δ' ἐ ξ ε ν έ π ε ι ν . . . ἐ π ε ι γ ό μ ε ν α ι (Νεμ. Δ.' 53-55). τ ὸ γ ὰ ρ π α ρ' π ο δ ὶ κ. τ. λ. Παραβάλλει δὲ ἐν τῷ χωρίῳ τούτῳ τὸν μὲν ἔπαινον τοῦ Ἀλκιμίδα καὶ τῆς φυλῆς αὐτοῦ πρὸς τὸ κῦμα, ὃ πρὸ τῶν ὀφθαλμῶν τοῦ κυβερνήτου ἑλίσσεται περὶ τὴν ναῦν, ἤτοι πρὸς τὸν παρόντα, ἐν ᾧ πλέει τὸ πλοῖον, ἄνεμον· τοὺς δὲ ἐπαίνους τῶν ἡρώων τῆς πατρίδος, πρὸς τὰ κύματα καὶ τοὺς ἀνέμους, οἵτινες ἤδη παρῆλθον καὶ οὐχ ὁρῶνται. Οἱ ἔπαινοι λοιπὸν τοῦ Ἀλκιμίδα καὶ τοῦ γένους αὐτοῦ, οἵτινες ἑλκύουσι τὴν προσοχὴν τοῦ ποιητοῦ, ὡς

Παντὶ μάλιστα δονεῖν
Θυμόν· ἑκόντι δ' ἐγὼ
Νώτῳ μεθέπων δίδυμον
Ἄχθος, ἄγγελος ἔβαν, πέμ-
πτον ἐπ' εἴκοσι τοῦτο γαρύων

Ἐ. γ'. Κ. ιά.

Εὖχος ἀγώνων ἄπο, τοὺς
Ἐνέποισιν ἱερούς,
Ἀλκιμίδας, τό γ' ἐπάρκεσε
Κλειτᾷ γενεᾷ· δύο μὲν
Κρονίου πὰρ τεμένει,

τὰ παρόντα κύματα τὴν τοῦ κυβερνήτου, οὐκ ἐῶσιν αὐτὸν νὰ ἐξακολουθήσῃ τὴν διήγησιν τῶν ἐπαίνων τῶν Αἰακιδῶν, καίτοι ἐστὶ μεμελετημένος καὶ ἕτοιμος εἰς τὴν διήγησιν ταύτην. — ποδὶ ναὸς] «ποὺς νεὼς τὸ πηδάλιον» Π. Σ. — λέγεται δονεῖν παντὶ θυμὸν] ὁ νοῦς «τὸ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἑλισσόμενον δονεῖ καὶ ταράσσει τὸν ἑκάστου θυμόν· παραπεμψάμενος οὖν τὰ παλαιά, τῶν νέων καὶ παρόντων ἕξομαι· καὶ γὰρ ἐπὶ τῶν πλεόντων ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν καὶ ὁρώμενον τοῦ κυβερνῶντος ἀνδρὸς ταράσσει τὴν ψυχήν» Π. Σ. — μάλιστα] τῶν ἄλλων κυμάτων.

— Στ. 97-104. ἑκόντι δ' ἐγὼ . . . κλειτᾷ γενεᾷ] «ἐπειδὴ οὖν τὸν ἐμὸν θυμὸν δονεῖ μάλιστα ὁ ἔπαινος τοῦ Ἀλκιμίδα καὶ τῆς γενεᾶς αὐτοῦ, ἤτοι τῶν Βασσιδῶν· διὰ τοῦτο τελευτῶν τοὺς ἐπαίνους τῶν Αἰακιδῶν, εὐχαρίστως ἀναλαμβάνων νὰ ἐκτελέσω συνάμα διπλοῦν χρέος τάς τε νίκας ἁπάσας ἁπάσης τῆς φυλῆς νὰ ἐπαινέσω καὶ τὴν τοῦ Ἀλκιμίδα ἐν ταὐτῷ νὰ ἐξυμνήσω, ἀγγέλλω μετὰ μεγαλοφώνου ᾠδῆς, ὅτι τοῦτο τὸ ἐπὶ τῇ νίκῃ κλέος, ὅπερ Ἀλκιμίδας ταῖς νίκαις τῆς κλειτῆς φατρίας προσέθηκέν, ἐστι τὸ εἰκοστὸν πέμπτον». — ἑκόντι νώτῳ

μεθέπων] «μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων· ἑκὼν ἐδεξάμην ἐπὶ τοῖς ἐμαυτοῦ νώτοις τοῦτο τὸ φορτίον τὸ διπλοῦν» Π. Σ. — ἄγγελος ἔβαν γαρύων] «ἔρχομαι ἄγγελος, ἀγγέλλω ὑμνῶν». — πέμπτον ἐπὶ εἴκοσι τοῦτο εὖχος] «γαρύων πέμπτον ἐπὶ εἴκοσι εἶναι τοῦτο εὖχος». Τοῦτο λοιπόν ἐστι τὸ δίδυμον ἄχθος, τὸ διπλοῦν χρέος, ὃ ἐκτελεῖ· δηλονότι ἀπὸ τῆς λέξεως ἄγγελος μέχρι τῆς (στ. 108.) «Ὀλυμπιάδος». — γενεᾷ] Ἡ σύνταξις τοῦ ὅλου χωρίου «πέμπτον . . . γενεᾷ» ἐστι «γαρύων πέμπτον ἐπὶ εἴκοσι εὖχος ἀπ' ἀγώνων, τοὺς (οὓς) ἐνέποισιν (ἐνέπουσιν) ἱερούς, εἶναι τοῦτο, τὸ γ' (ὅγε) Ἀλκιμίδας ἐπάρκεσε κλειτᾷ γενεᾷ». — ἀπ' ἀγώνων τοὺς ἐνέποισιν ἱερούς] «σεμνολόγημα, ὅπερ ἀπὸ τῶν ἀγώνων ἐδέξαντο, ἀγώνων δὲ τούτων, οὓς ἱεροὺς καλοῦσιν, ἤτοι τοὺς περιοδικούς» Π. Σ. — Αλκιδάμας . . . γενεᾷ] «ὅπερ (τό γ') εὖχος καὶ σεμνολόγημα τὸ εἰκοστὸν πέμπτον ὁ Ἀλκιμίδας προσέθηκε καὶ ἐνήρκησε παρασχεῖν νικήσας τὸν ἀγῶνα τῇ ἐνδοξοτάτῃ αὐτοῦ γενεᾷ (φατρίᾳ)» Π. Σ.

— Στ. 105-108. δύο μὲν Κρονίου . . . Ὀλυμπιάδος] «δύο ἄνθη, ἤτοι νίκας τῆς παρὰ τῷ τεμένει τοῦ Κρονίου Διὸς ἀγομένης Ὀλυμπιάδος ὁ προπετὴς καὶ ὁρμητικὸς κλῆρος ἀπεστέρησεν ὑμᾶς, σέ, ὦ παῖ, καὶ τὸν Τιμίδαν». Ἵνα ἐννοήσῃ τις, τί καλεῖ κλῆρον προπετῆ ὁ ποιητής, καὶ πῶς ὁ κλῆρος ἀπεστέρησεν αὐτοὺς δύο νίκας ἐν Ὀλυμπίᾳ μεταφέρω καὶ ἐγὼ ἐνταῦθα τὸν παρὰ Λουκιανῷ τρόπον τῆς ἐν Ὀλυμπίᾳ διακληρώσεως. «Κάλπις ἀργυρᾶ πρόκειται ἱερὰ τοῦ θεοῦ· εἰς ταύτην ἐμβάλλονται κλῆροι μικροί, ὅσον δὴ κυαμιαῖοι τὸ μέγεθος, ἐπιγεγραμμένοι· ἐγγράφεται δὲ ἐς δύο μὲν ἄλφα ἐν ἑκατέρῳ, ἐς δύο δὲ τὸ βῆτα, καὶ ἐς ἄλλους δύο τὸ γάμμα, καὶ ἑξῆς κατὰ τὰ αὐτά, ἢν πλείους οἱ ἀθληταὶ ὦσι, δύο ἀεὶ κλῆροι τὸ αὐτὸ γράμμα ἔχοντες. Προσελθὼν δὴ τῶν ἀθλητῶν ἕκαστος, προσευξάμενος τῷ

Παῖ, σέ τ' ἐνόσφισε Τιμίδαν
Κλᾶρος προπετὴς ἄν-
θε' Ὀλυμπιάδος. δελφῖνί κεν

Διΐ, καθεὶς τὴν χεῖρα εἰς τὴν κάλπιν, ἀνασπᾷ τῶν κλήρων ἕνα, καὶ μετ' ἐκεῖνον ἕτερος, καὶ παρεστὼς μαστιγοφόρος ἑκάστῳ, ἀνέχει αὐτοῦ τὴν χεῖρα, οὐ παρέχων ἀναγνῶναι, ὅ,τι τὸ γράμμα ἐστὶν, ὃ ἀνέσπακεν. Ἁπάντων δὲ ἤδη ἐχόντων, ὁ Ἀλυτάρχης, οἶμαι, ἢ τῶν Ἑλλανοδικῶν αὐτῶν εἷς (οὐκ ἔτι γὰρ τοῦτο μέμνημαι) περιϊὼν ἐπισκοπεῖ τοὺς κλήρους ἐν κύκλῳ ἑστώτων, καὶ οὕτω τὸν μὲν τὸ ἄλφα ἔχοντα τῷ τὸ ἕτερον ἄλφα ἀνεσπακότι παλαίειν ἢ παγκρατιάζειν συνάπτει, τὸν δὲ τὸ βῆτα τῷ τὸ βῆτα, ὁμοίως καὶ τοὺς ἄλλους τοὺς ὁμογράμμους κατὰ ταὐτὰ (Λουκιαν. Ἑρμοτ. 40. T. IV. p. 55. B. p.). Κατὰ τὴν παράδοσιν ταύτην τοῦ Λουκιανοῦ δύο ἐξηγήσεις δύνανται νὰ ἀποδοθῶσι τοῖς «ὁ προπετὴς κλῆρος ἐνόσφισε τὸν Ἀλκιμίδαν καὶ Τιμίδαν δύο νίκας». Παραβάλλων τις τὸ χωρίον τοῦτο πρὸς τὰ τοῦ Λουκιανοῦ, ἐξάγει, ὅτι ὅσοι προσεφέροντο εἰς τοὺς ἀγῶνας, εἴτε παίδων, εἴτε ἐφήβων, εἴτε ἀνδρῶν, οἱ Ἑλλανοδίκαι οὐ προσεῖχον εὐθὺς, εἰ ἕκαστος τῶν ἀθλητῶν εἶχε τῷ ὄντι τὴν ἡλικίαν, ἣν ὡμολόγει· ἀλλὰ τοσούτους κλήρους ἐνέβαλλον εἰς τὴν κάλπιν, ὅσοι ἦσαν καὶ οἱ ὡς ἔχοντες τὴν αὐτὴν ἡλικίαν προσερχόμενοι· ὅτε δὲ ἕκαστος προσήρχετο, ἵνα ἀνασπάσῃ ἐκ τῆς κάλπιδος κλῆρον, τότε ἐγίνοντο προσεκτικώτατοι, καὶ ἀπήλαυνον ἐκ τῶν τὴν αὐτὴν ἡλικίαν ἐχόντων τὸν λέγοντα μὲν, ὅτι ἔχει τὴν αὐτὴν, μὴ ἔχοντα δὲ κατὰ τὴν ἐκείνων κρίσιν. Τούτων οὖν οὕτως

στ. 106. Δ.Δ. σέ τ' ἐνάσφισε, Τιμίδα. παῖ, σ' ἔτ' ἐνόσφισε, Τιμίδα. παῖδ' ἔτ' ἐνόσφισε Τιμίδαν. Οὐδεμιᾶς διορθώσεώς ἐστιν ἀνάγκη τῷ κατιδόντι τὸ ὑπερβατὸν τοῦ τ'. — Παρὰ τῷ Π. Σ. κεῖται «Πολυτιμίδας» ἀντὶ τοῦ «Τιμίδας» ὡσαύτως καὶ ἐν δυσὶ χειρογρ.

ἐχόντων, τὸ χωρίον τοῦ Πινδάρου δύο ἐξηγήσεις δύναται νὰ λάβῃ, πρώτην τὴν τοῦ Π. Σ. δευτέραν τὴν τῶν νεωτέρων. Καὶ ὁ μὲν Π. Σ. λέγων «ἐν Ὀλυμπίᾳ, φησὶν, ἐνόσφισεν αὐτοὺς καὶ ἐχώρισεν ἡ προεξάνθησις τῶν τριχῶν· ἀπεκρίθη γὰρ, ὡς οὐ παιδικὴν ἔχοντος ἡλικίαν διὰ τὸ προηνθηκέναι τὰς τρίχας· πρὸ ὥρας γοῦν τὸ ἄνθος αὐτῆς τῆς ἥβης, φησὶ, συνεκληρώθη· οὗτος γὰρ κλῆρος ἄνθους· ὁ δὲ Πολυτιμίδας (Τιμίδας) οἰκεῖος τοῦ Ἀλκιμίδου· κληρωθέντες οὗτοι παίδων ἀγωνίσασθαι μεταξὺ γενειάσαντες, ἐξεκρούσθησαν τοῦ ἀγῶνος» ταῦτα λέγων ὁ Π. Σ. ἐννοεῖ ὧδε πως «τὸ ἄνθος τῆς ἥβης προπετῶς (πρὸ ὥρας) παρεγένετο αὐτοῖς· ὅτε λοιπὸν προσῆλθον εἰς τὴν κάλπιν, ἵνα ἀνασπάσωσι τὸν κλῆρον, προσῆλθε τὸ προπετὲς ἄνθος τῆς ἥβης, ἡ προπετὴς (ἡ πρὸ τῆς ὥρας, ἡ ἐν τῇ παιδικῇ ἡλικίᾳ) ἐξάνθησις τῆς ἥβην δηλούσης γενειάδος· ἄρα καὶ ὁ κλῆρος, ὃν ἔπρεπε νὰ ἀνασπάσωσιν, ἦν κατὰ τὴν φαινομένην ἡλικίαν κλῆρος ἐφήβων καὶ οὐχὶ παίδων· ἦν ἄρα κλῆρος πρὸ τῆς ὥρας, προπετής. Τὸ ὄνομα λοιπὸν, προπετὴς, ὃ ἁρμόζει τῇ πρὸ ὥρας ἐξανθήσει τῆς γενειάδος ἀπέδωκεν ὀρθότατα καὶ ποιητικώτατα ὁ Πίνδαρος καὶ τῷ κλήρῳ, ὀνομάσας κλῆρος προπετής». Ἡ ἐξήγησις τοῦ Π. Σ. φαίνεταί μοι ἀξία τοῦ Πινδάρου. Κατὰ δὲ τὴν ἐξήγησιν τῶν νεωτέρων καλεῖ ὁ Πίνδαρος κλῆρον προπετῆ τὴν ἐν τῇ κληρώσει κρίσιν, ἣν προπετῶς καὶ ἄνευ ἀκριβοῦς ἐξετάσεως ἐποίησαν. Μὴ ταραττέσθω δέ τις, εἰ ὁ Ἀλκιμίδης, καίτοι ἐν Ὀλυμπίᾳ ἐξεκρούσθη, ὅμως ἐτόλμησε πάλιν νὰ εἰσέλθῃ ἐν Νεμέᾳ εἰς τὸ στάδιον ὡς παῖς· διότι ἡ τοιαύτη τόλμη οὔτε ἀδύνατος, οὔτε ἀπίθανός ἐστιν· τοὐναντίον δὲ τῶν ἀτοπωτάτων ἐστὶ καὶ ἀπιθανωτάτων νὰ ἐννοῇ ἐνταῦθα ὁ ποιητὴς, ὅτι λαχὼν ὁ Ἀλκιμίδας καὶ Τιμίδας νὰ ἀθλήσωσι πρὸς ῥωμαλεωτέρους ἀφῃρέθη τὴν νίκην· διότι τοῦτο καὶ ἀληθὲς εἰ ἦν, ἐγίνωσκεν ὁ ποιητὴς νὰ ἀποσιωπήσῃ. — παῖ, σέ τ᾽ . . . Τιμίδαν]

Τάχος δι' ἅλμας ἴσον εἴποι-
μι Μελησίαν χερῶν τε καὶ ἰ-
σχύος ἁνίοχον.

Τὸ τ' ἐτέθη καθ' ὑπερβατόν· διότι ἡ θέσις αὐτοῦ ἐστὶν αὕτη «παῖ, σὲ ἐνόσφισε Τιμίδαν τε»· ἢ «σὲ Τιμίδαν τε ἐνόσφισεν». Ὁ Τιμίδας ἦν βεβαίως στενώτατος συγγενὴς τοῦ Ἀλκιμίδα

— Στ. 109-111. Ἐπιτελέσαντι τὸ διπλοῦν χρέος (δίδυμον ἄχθος) οὐδὲν ἄλλο μένει ἢ νὰ μνησθῇ καὶ τοῦ ἀλείπτου τοῦ Ἀλκιμίδα, περὶ οὗ ἐν τῷ Νεμ. Δ.' 151. κ. ἑξῆς πλείονα λόγον ποιεῖται· «Μελησίας εἷς τῶν εὐδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος, ἐπεὶ ταχὺ αὔξει τοὺς ὑπ' αὐτοῦ ἀλειφομένους καὶ κατάγει εἰς τοὺς ἀγῶνας· καὶ τοσοῦτόν φησι διαφέρειν τῶν ἄλλων ἀλειπτῶν τῷ ταχέως τοὺς ἀλειφομένους κατάγειν, εὐχερίας ἡνίοχον ὄντα, ὅσον ὁ δελφὶς τῶν ἄλλων ἐναλίων τῷ τάχει διαφέρει». Π. Σ. Ἡ παραβολὴ γίνεται σαφεστέρα οὕτως· «ὅσον ταχεῖά ἐστιν ἡ διὰ θαλάσσης νῆξις τοῦ δελφῖνος, τοσοῦτον ταχεῖα καὶ ἡ διὰ τῆς διδασκαλίας τοῦ Μελησίου πρόοδος καὶ αὔξησις τῆς δυνάμεως τῶν τε χειρῶν καὶ τοῦ σώματος τοῦ ἀλειφομένου». Σύνταττε «εἴποιμι ἂν κεν Μελησίαν χερῶν τε καὶ ἰσχύος ἡνίοχον ἴσον τάχος δελφῖνι (νηχομένῳ) δι' ἅλμης». — δι' ἅλμας] «δελφῖνι δι' ἅλμης νηχομένῳ». Τὸ «νηχομένῳ» κατ' ἀνάγκην ἐκ τῆς ἐννοίας ἐννοεῖται· διότι εἰπὼν τὸν Μελησίαν «ἡνίοχον» ἐννοεῖ αὐτὸν ὀχούμενον· ἄρα καὶ τὸν δελφῖνα, πρὸς ὃν παραβάλλεται, ἐννοεῖ κινούμενον, ἤτοι νηχόμενον. — χερῶν ἁνίοχον] Ἐκάλεσε τὸν διδάσκαλον τῆς ἀθλητικῆς ἡνίοχον, ἵνα παραβάλῃ τὴν ταχύτητα τῆς ἐπιδόσεως τῶν ἀλειφομένων πρὸς τὴν ταχύτητα τῆς νήξεως τῶν δελφίνων.

ΜΕΤΑΦΡΑΣΙΣ.

Ἓν καὶ μόνον ἐστὶ τὸ γένος τῶν ἀνδρῶν, ἓν καὶ τὸ τῶν θεῶν· ἐγεννήθημεν ὅμως ἀμφότεροι ἐκ μιᾶς μητρός· οὕτω δὲ διαχωρίζει ἡμᾶς δύναμις, ἥτις ἅπασα διαγινώσκεται, ὥστε τὸ μὲν γένος ἡμῶν οὐδέν ἐστι, τῷ δὲ τῶν θεῶν ὁ χάλκεος οὐρανὸς μένει ἀεὶ ἀσφαλὴς ἕδρα· ἀλλ' ὅμως ἐσμὲν ὅμοιοι τοῖς ἀθανάτοις κατά τι, ἢ κατὰ μέγαν νοῦν, ἢ κατὰ φύσιν σώματος, καίπερ οὐ γινώσκοντες, πρὸς οἷον τέρμα τοῦ βίου, καὶ τοῦτο ἐν ἡμέρᾳ, ἢ ἐν νυκτὶ ἔγραψεν ὁ πότμος ἡμῖν νὰ δράμωμεν. Παρέχει δὲ τεκμήριον καὶ νῦν ὁ Ἀλκιμίδας, ὥστε νὰ κατανοήσωμεν τὴν (πρὸς τοὺς θεοὺς καὶ τὴν Γῆν) συγγένειαν ἡμῶν· διότι ὅμοια ταῖς καρποφόροις ἀρούραις, αἵτινες ἐκ διαλειμμάτων τοτὲ μὲν διδόασιν ἐκ τῶν πεδίων τοῖς ἀνθρώποις βίον ἄφθονον, τοτὲ δὲ πάλιν ἀναπαυσάμεναι λαμβάνουσι σθένος· οὕτω καὶ ὁ Ἀλκιμίδας ἐγένετο ἐν τοῖς ἐπεράστοις ἀγῶσι τῆς Νεμέας παῖς νικηφόρος· ὃς τοῦτο τὸ ἐπιτήδευμα ἐκ Διὸς μετερχόμενος νῦν ἐφάνη οὐκ ἀτυχὴς περὶ τὴν πάλιν κυνηγὸς, τοῖς ἴχνεσι τοῦ ἑαυτοῦ πάππου Πραξιδάμαντος ἑπόμενος· διότι ἐκεῖνος πρῶτος τῶν Αἰγινητῶν Ὀλυμπιόνικος γενόμενος κλάδους ἀπ' Ἀλφειοῦ πρὸς τιμὴν αὐτῶν στεφανωσάμενος, καὶ πεντάκις ἐν

Ἰσθμῷ, ἐν Νεμέᾳ δὲ τρίς, ἔπαυσε τὴν ἀδοξίαν τοῦ Σωκλείδου, ὃς ὑπέρτατος τὸ κλέος τῶν υἱῶν τοῦ Ἀγησιμάχου ἐγένετο· διότι οἱ τρεῖς υἱοὶ αὐτοῦ ἀθλοφόροι γενόμενοι εἰς ἄκρον ἀρετῆς ἦλθον καὶ οὐκ ἄνευ πόνων, σὺν ἀγαθοῦ δὲ θεοῦ τύχῃ οὐδένα ἄλλον οἶκον ἐν ἁπάσῃ τῇ Ἑλλάδι ἡ πυγμαχία ἀπέφηνε ταμίαν πλειόνων στεφάνων. Νομίζω, ὅτι μέγα τι εἰπὼν ἐπέτυχον τοῦ σκοποῦ, ὡς ἀπὸ τόξου βαλών. Ἄγε οὖν, ὦ Μοῦσα, διεύθυνε ἐπὶ τοῦτον τὸν οἶκον τὴν εὐκλεᾶ εὐπορίαν τῶν λόγων· διότι τὰ καλὰ ἔργα ἀνδρῶν τεθνηκότων ἀοιδοὶ καὶ λόγιοι διασώζουσιν αὐτοῖς, ἃ τοῖς Βασσίδαις πλεονάζουσιν· διότι πάλαι πολυύμνητος γενεὰ, ἰδίᾳ κατορθοῦντες ἔργα ἄξια ἐγκωμίων, δυνατοὶ ἕνεκα των ἀγερώχων κατορθωμάτων ἐγένοντο νὰ παρέχωσι τοῖς ποιηταῖς ὕλην πολλοῦ ὕμνου· διότι καὶ ἐν τῇ κλεινῇ Πυθῶνι δεθείς ποτε Καλλίας, αἷμα ἀπὸ τῆς αὐτῆς φυλῆς ὤν, τὰς χεῖρας ἱμάντι ἐνίκησε, τέρψας τὰ βλαστήματα τῆς χρυσηλακάτου Λητοῦς καὶ παρὰ Κασταλίᾳ μέχρις ἑσπέρας ἐλαμπρύνετο τῷ θορύβῳ τῆς χαριεστάτης πανηγύρεως. Καὶ ἡ γέφυρα τοῦ πόντου ἐν τῇ ταυροφόνῳ τριετηρίδι τῶν περιοικούντων ἐτίμησε τὸν Κρεόντιον κατὰ τὸ τέμενος τοῦ Ποσειδῶνος· καὶ ἡ βοτάνη τοῦ λέοντος ἔστεψεν αὐτόν ποτε νικήσαντα ὑπὸ τὰ δάσκια ὄρη καὶ πανάρχαια τῆς Φλιοῦντος. Πανταχόθεν εἰσὶν εὐρεῖαι πρόσοδοι τοῖς λογίοις νὰ κοσμῶσι τὴν εὐκλεᾶ ταύτην νῆσον· ἐπειδὴ οἱ Αἰακίδαι ἐπιδεικνύμενοι τοῖς

πολίταις αὐτῆς μεγάλας ἀρετὰς παρέσχον ἔξοχον εὐτυχίαν μιμήσεως· διότι τὸ ὄνομα αὐτῶν μακρόθεν περιΐπταται καὶ ὑπὲρ γῆν, καὶ ὑπὲρ θάλασσαν, καὶ εἰς Αἰθίοπας ἀφίκετο, τοῦ Μέμνονος οὐκ ἐπανελθόντος· βαρὺς δὲ ἀγὼν ἐγένετο αὐτοῖς, ὅτε Ἀχιλλεὺς χαμαὶ καταβὰς ἀπὸ τοῦ ἅρματος ἐφόνευσε τὸν υἱὸν τῆς φαεινῆς Ἠοῦς αἰχμῇ δορὸς λίαν ὠργισμένου. Καὶ ταύτην μὲν τὴν ὁδὸν τοῦ ὑμνεῖν (τοὺς ἥρωας τῆς πατρίδος), τὴν ἁμαξιτὸν παλαιότεροι εὗρον· μεμελέτηκα δὲ καὶ αὐτὸς καὶ παρεσκεύασμαι νὰ ὁδεύσω ταύτην· ἀλλὰ τὸ παρὰ τῷ πηδαλίῳ τῆς νεὼς ἑλισσόμενον κῦμα λέγεται, ὅτι ἀεὶ ταράττει μάλιστα τὴν ψυχὴν ἑκάστου. Ἄσμενος οὖν ἀναλαμβάνω ἐπὶ τῶν νώτων διπλοῦν ἄχθος καὶ ὑμνῶν ἀγγέλλω, ὅτι τοῦτό ἐστιν εἰκοστὸν πέμπτον καύχημα ἀπὸ τῶν ἀγώνων, οὓς ἱεροὺς καλοῦσιν, ὃ προσέθηκεν ὁ Ἀλκιμίδας τῇ κλειτῇ φυλῇ· δύο μὲν ἄνθη Ὀλυμπιάδος ἀπεστέρησεν ἐν τῷ τεμένει τοῦ Κρονίου σὲ, ὦ παῖ, καὶ τὸν Τιμίδαν ὁ προπετὴς κλῆρος. Τὸν δὲ Μελησίαν δύναμαι νὰ εἴπω, ὅτι ἐστὶ παρασκευαστὴς τῆς δυνάμεως τῶν χειρῶν καὶ τοῦ σώματος οὕτω ταχὺς, ὡς ὁ δελφὶς νηχόμενος διὰ θαλάσσης.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Ζ'.

ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗ

ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος σύγκειται ἐκ κώλων δυοκαίδεκα.

Κῶλον 1. ⏑ – – ⏑ | ⏑ – – ⏑ | ⏑ – – ⏑ | ⏓ Ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. Μόνον ὁ πρῶτος ἀντίσπαστος οὐ τρέπει ἐν ἅπασι τοῖς ἀντιστοιχοῦσι κώλοις τὸν πρῶτον πόδα, οἱ δὲ λοιποὶ τρέπουσιν.

„ 2. – ⏑ ⏑ – ⏑ ⏑ ⏑ | ⏑ – ⏑ Ἐγκωμιολογικόν· τὸ δεύτερον ὅμως πενθημιμερὲς ἰαμβικὸν λείπει κατὰ δύο συλλαβάς.

„ 3. – – ⏑ ⏑ | – ⏑ – | ⏑ – ⏑ – Ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον Ἀλκαϊκὸν ἀνεστραμμένον· διότι ἀντὶ νὰ ἔχῃ τὴν ἰαμβικὴν συζυγίαν πρώτην ἔχει αὐτὴν τελευταίαν.

„ 4. – ⏑ ⏑ – ⏑ – | – ⏑ – ⏑ – ⏑ | – Περιοδικὸν ἐκ χοριαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ τροχαϊκοῦ ὡσαύτως διμέτρου βραχυκαταλήκτου· ἡ δὲ τελευταία συλλαβή ἐστιν ἀρχὴ τῆς δευτέρας λειπούσης περιόδου.

„ 5. ⏑ – ⏑ – | – ⏑ ⏑ ⏑ – Ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Κῶλον 6. — ◡ ◡ — | ◡ — — ◡ Χοριαμβικὸν δίμετρον καταληκτικόν· ἡ τελευταία συλλαβὴ ἀδιάφορος.

„ 7. ◡ — ◡ ◡ — — | ◡ — ◡ ◡ — | ◡ — Ἐκ πενθημιμεροῦς ἰαμβικοῦ καὶ διμέτρου βραχυκαταλήκτου ἰαμβικοῦ.

„ 8. — — ◡ ◡ | — ◡ — Ἰωνικὸν δίμετρον καταληκτικόν.

„ 9. — ◡ — ◡ | — ◡ — Εὐριπίδειον· μόνον ἐν τῷ ἀντιστοιχοῦντι κώλῳ τῆς δευτέρας ἀντιστρ. ὁ πρῶτος ποῦς ἐστι τροχαῖος· διότι τὰς συλλαβὰς Ν ε ο π τ ο πρέπει νὰ ἐκφωνήσωμεν ὡς δύο.

„ 10. — — ◡ ◡ | — ◡ — — — | ◡ — ◡ — Ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον.

„ 11. — — ◡ ◡ | — ◡ — ◡ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον.

„ 12. ◡ — ◡ ◡ — | ◡ — ◡ Ἰαμβικὸν δίμετρον καταληκτικόν.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἑπτά.

Κῶλον 1. ◡ — ◡ — | — ◡ ◡ — | ◡ — ◡ Χοριαμβικὸν τρίμετρον καταληκτικόν.

„ 2. — ◡ — ◡ ◡ | — — ◡ ◡ Ἰωνικὸν δίμετρον ἀκατάληκτον.

„ 3. — ◡ — ◡ | — ◡ ◡ ◡ — Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

„ 4. ◡ — — ◡ | ◡ — — Φερεκράτειον.

„ 5. ◡ — — ◡ | — — ◡ — Γλυκώνειον.

„ 6. — ◡ — ◡ ◡ | — ◡ — Τροχαϊκὸν δίμετρον καταληκτικόν.

„ 7. — ◡ — ◡ ◡ | — ◡ — ◡ | — ◡ Τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ὦ Εἰλείθυια, παραστάθητι καὶ ἄκουσον εὐμενῶς τὸν ὕμνον τοῦ Σωγένους· διότι σὺ εἶς αἰτία τῆς γενέσεως αὐτοῦ, ὅστις νικήσας δι' ἀρετὴν πένταθλον ᾄδεται νῦν ἐν τῷ παρόντι κώμῳ· διότι καὶ ἅπαντες οἱ λοιποὶ Αἰγινῆται ἀγαπῶσι νὰ ἀγωνίζωνται, καὶ ὅταν ἐπιτυγχάνωσι τῆς νίκης, ἀγαπῶσι νὰ ᾄδωνται· καὶ καλῶς ποιοῦσιν· διότι αἱ μεγάλαι ἀρεταὶ ἔχουσι πολλὴν ἀνάγκην ὕμνων· (ἀπὸ στ. 1-19). Ἐντεῦθεν ἠρέμα πως ἐμβαίνων ἀπὸ τοῦ προοιμίου εἰς τὴν ὑπόθεσιν παρακινεῖ τὸν Σωγένη νὰ μὴ παύῃ ἀναλίσκων εἰς τοὺς ποιητὰς (ἀπὸ στ. 20-28) φέρων παράδειγμα τὸν Ὀδυσσέα, ὃς οὐκ ἦν κρείσσων τοῦ Αἴαντος, ἀλλ' ἕνεκα τοῦ Ὁμήρου ἐδοξάσθη μᾶλλον ἐκείνου (29-31). Τὴν δὲ νίκην, ἣν ὁ Ὀδυσσεὺς ἐνίκησεν ἐν τῇ περὶ τῶν ὅπλων δίκῃ τοῦ Ἀχιλλέως, ἐξ ἧς δυνατὸν νὰ εἰκάσῃ τις, ὅτι ὁ Ὀδυσσεὺς ἦν κρείσσων τοῦ Αἴαντος, ταύτην ἀποδίδωσι τῇ ἀμαθείᾳ καὶ ἀγνοίᾳ τῶν δικασάντων (ἀπὸ στ. 32-44). Ἐκ δὲ τῆς δίκης τοῦ Αἴαντος λαμβάνων ἀφορμὴν νὰ ἐπαινέσῃ τοὺς Αἰακίδας, ἔρχεται εἰς τὸν Νεοπτόλεμον ὧδέ πως. Ἀλλ' εἰ καὶ ὁ Αἴας ἐκρίθη κατώτερος τοῦ Ὀδυσσέως ὑπὸ τῶν ἀνθρώπων, ὁ θεὸς ὅμως, ὅστις ἀγαπᾷ καὶ φροντίζει τῶν Αἰακιδῶν, δίδωσι τιμὴν αὐτοῖς

μετὰ θάνατον θείαν· διότι ταύτης ἕνεκα τῆς φροντίδος τῶν θεῶν ἦλθε μετὰ τὴν ἐκπόρθησιν τῆς Τροίας ὁ Νεοπτόλεμος εἰς Δελφούς, ἵνα φονευθεὶς ἐνταῦθα ἀπολαύῃ θείων τιμῶν (ἀπὸ στ. 45-73). Ποιεῖ λαμπρότατον ἐπίλογον οἷς εἶπε περὶ Νεοπτολέμου, ἐξυμνῶν ἐν γένει τὰς ἀρετὰς ἁπάντων τῶν Αἰακιδῶν (ἀπὸ στ. 74-78). Μετὰ μικρόν τι κατάλληλον προοίμιον ἐμβαίνει εἰς τοὺς ἐπαίνους τοῦ Θεαρίωνος τοῦ πατρὸς τοῦ Σωγένους (ἀπὸ στ. 79-93). Ἐνταῦθα λαβὼν ἀφορμὴν ἀπολογεῖται πρὸς τοὺς Αἰγινήτας, οἵτινες ἐμέμφοντο αὐτὸν ὡς ἐν παιᾶνί τινι βλάσφημα εἰπόντα περὶ τοῦ Νεοπτολέμου, πειρώμενος νὰ πείσῃ αὐτούς, ὅτι παρενόησαν τοὺς ἐν ἐκείνῳ τῷ παιᾶνι λόγους αὐτοῦ (ἀπὸ στ. 94-103). Ἐμβαίνει ἀμέσως εἰς τοὺς ἐπαίνους τοῦ Σωγένους (ἀπὸ στ. 104-117). Ὑμνεῖ τὸν ἐν Νεμέᾳ Δία (ἀπὸ στ. 118-126). Ἀποτεινόμενος πρὸς τὸν Ἡρακλέα, οὗ δύο τεμένη ἔκειντο παρὰ τὰς πλευρὰς τοῦ οἴκου τοῦ Θεαρίωνος, ἐπικαλεῖται αὐτὸν νὰ εὐνοῇ τὸν Σωγένη καὶ τὸν Θεαρίωνα καὶ ἅπαντας τοὺς ἐν τῷ οἴκῳ καὶ νὰ ἀπαλλάσσῃ αὐτοὺς πάσης ἀμηχανίας· εὔχεται ὑπὲρ ὑγείας καὶ εὐτυχίας ἐμμόνου ἁπάντων τῶν ἐν τῷ οἴκῳ καὶ ὑπὲρ τῆς παρούσης εὐδοξίας, νὰ γένηται κρείσσων ἐν τῷ μέλλοντι (ἀπὸ στ. 118-149). Ὁ δὲ ἐπίλογος (ἀπὸ στ. 15. μέχρι τέλους) ἐστὶν ἐξομολόγησις, ὅτι οὐ καθύβρισε δι᾽ ἀπρεπῶν λόγων τὸν νεκρὸν τοῦ Νεοπτολέμου.

ΕΙΣΑΓΩΓΗ.

«Πρῶτος Αἰγινητῶν ὁ Σωγένης ἐνίκησε παῖς ὢν πεντάθλῳ κατὰ τὴν τεσσαρεσκαιδεκάτην Νεμεάδα. Ἐτέθη δὲ ὁ πένταθλος πρῶτος κατὰ τὴν τρισκαιδεκάτην Νεμεάδα» Π. Σ. Ἐκ τοῦ προοιμίου εἰκάζεται ἀσφαλῶς, ὅτι ἡ ᾠδὴ ᾔσθη ἐν κώμῳ περὶ ναόν τινα ἢ βωμὸν τῆς Ἐλειθυίας, ᾧ καὶ ἀφιέρωσε τὸν στέφανον ὁ Σωγένης. Ταύτην τὴν εἰκασίαν ἐγὼ τοὐλάχιστον θεωρῶ βεβαίαν. Ἂν δὲ ᾖ τοιαύτη, ὁ βωμὸς οὗτος ἔκειτο παρὰ τὴν οἰκίαν τοῦ Θεαρίωνος, ἧς ἑκατέρωθεν ἔκειντο καὶ δύο ναΐσκοι τοῦ Ἡρακλέους (ὅρα Σημ. εἰς στ. 120-127). Ἀλλὰ διὰ τί ἐγένετο ὁ κῶμος παρὰ τὸν Ναὸν τῆς Ἐλειθείας; τὸν πιθανώτατον τοῦτον λόγον δίδωσιν ὁ παρὰ τοῖς Π. Σ. Ἀριστόδημος ὁ Ἀριστάρχου μαθητὴς λέγων «Ὀψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν προήκοντι εὐξαμένῳ τῷ θεῷ Σωγένη τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γέννησιν οἷον Ἐλειθυίας εἶναι χάριν· διὰ τὴν ἰδιότητα γοῦν τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν θεὸν ταύτην ἐπήρεισε τὸν λόγον· ἐπιστοῦτο δέ (ὁ Ἀριστόδημος) τοῦτο (λέγει ὁ Π. Σ.) ἐξ ἐπιγράμματός τινος Σιμωνίδου» Π. Σ.

Σ. ά. Κ. ιβ'.

Ελειθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων,
Παῖ μεγαλοσθενέος, ἄκουσον,
Ἥρας, γενέτειρα τέκνων· ἄνευ σέθεν

— Στ. 1-6. Ἐλείθυια . . . Ἥβαν] Ἀφιεροῖ τὸν ὕμνον τοῦ Σωγένους τῇ Ἐλειθυίᾳ καὶ παρακαλεῖ αὐτὴν νὰ παρασταθῇ τῷ κώμῳ καὶ νὰ ἀκούσῃ εὐμενῶς τὸν ὕμνον· διότι τὴν ἡμετέραν γέννησιν αὐτῇ ὀφείλομεν, οὗ ἕνεκα, καὶ ὅσα τῇ ἡμετέρᾳ ἀρετῇ παρὰ τῶν θεῶν λαμβάνομεν ἀγαθά. Τὸ νὰ προοιμιάζηται ὁ ποιητὴς ἀπὸ τῆς Ἐλειθυίας, δι' ἣν γεννώμεθα καὶ ὑπάρχομεν, καὶ δι' ἣν ὑπάρχων ὁ Σωγένης ἀπέλαυσε τῆς δόξης τῆς νίκης, τοῦτο καλῶς ἔχει, εἰ μόνον ἐδόθη αὐτῷ περίστασις· καὶ βεβαίως ἐδόθη. Ἐκ δὲ τῶν περιστάσεων, ἃς δύναταί τις νὰ εἰκάσῃ, τὴν πιθανωτέραν εἴπομεν ἀνωτέρω (Εἰσαγωγῇ) «ὁ δὲ νοῦς· ὦ Ἐλείθυια, παῖ μὲν τῆς μεγαλοσθενοῦς καὶ ἰσχυρᾶς Ἥρας, πάρεδρε δὲ τῶν συνετῶν Μοιρῶν· ἄνευ σοῦ οὔτε τὴν ἡμέραν θεωρήσαντες οὔτε τὴν νύκτα· ἤτοι ἢ ἐν ἡμέρᾳ, ἢ ἐν νυκτὶ γεννώμεθα, οὐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἐλάβομεν τὴν Ἥβην· οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ' ἂν ἠκμάσαμεν» Π. Σ. — Ἐλείθυια] «Ἑνικῶς δὲ εἶπεν Ἐλείθυια, ὡς καὶ Ἡσίοδος (Θεογ. 321).

Ἡ δ' Ἥβην καὶ Ἄρεα καὶ Εἰλείθυιαν
ἔτικτεν.

Ὁ δὲ Ὅμηρος ἑκατέρως (Ἰλ. π. 187 τ. 103. Ὀδυσσ.

στ. 1. πάρεδρος ἡ κοινὴ γραφή· ἡ δὲ γραφή, ἣν παρεδεξάμεθα, καὶ πρὸς τὴν ἔννοιαν καὶ πρὸς τὸ μέτρον καλῶς ἔχουσα εὕρηται ἐν χειρογράφῳ τινί.

Οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν,
Τεὰν ἀδελφεὰν ἐλάχομεν
Ἀγλαόγυιον Ἥβαν.
Ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα·
Εἴργει δὲ πότμῳ ζυγὸν

τ. 188. ἑνικῶς Ἰλ. λ. 270. τ. 119. πληθυντικῶς)» Π. Σ. -- πάρεδρε Μοιρᾶν] «τοῦτό φησιν ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρεστάναι καὶ ἐπικλώθειν τὰ τῆς εἱμαρμένης» Π. Σ. — παῖ Ἥρας] ὅρα τὸ ἀνωτέρω ὑπὸ τοῦ Π. Σ. μνημονευθὲν χωρίον τοῦ Ἡσιόδου. — ἄκουσον] «παραστάθητι τῷ κώμῳ καὶ ἄκουον εὐμενῶς τὸν ὕμνον τοῦ Σωγένους, ὃς σοὶ ὀφείλει καὶ τὸ ὑπάρξαι ἐν τῇ ζωῇ καὶ τὸ δοξασθῆναι ἐπὶ τῇ νικηφορίᾳ». — ἄνευ σέθεν . . . εὐφρόναν] Ἐπειδὴ γεννώμεθα ἢ ἡμέραν, ἢ νύκτα, λέγει «ἐδράκημεν (εἴδομεν) ἢ τὸ φῶς (τὴν ἡμέραν) ἢ τὴν νύκτα». Πεζῶς δύναται νὰ τραπῇ οὕτω πως «ἄνευ σοῦ οὐχ ὁρῶμεν οὔτε ἡμέραν, οὔτε νύκτα, ἵνα λαγχάνωμεν τὴν ἥβην». — ἀγλαόγυιον Ἥβαν] δυσὶ τρόποις συνάμα κέχρηται, τῷ μὲν προσωποποιΐᾳ, τῷ δὲ συνεκδοχῇ· διότι ἀντὶ τοῦ νὰ εἴπῃ «ἐλάχομεν τὸν βίον» ἐχρήσατο τῷ καλλίστῳ μέρει, τῇ ἥβῃ, ἁπάσης τῆς ἀνθρωπίνης ἡλικίας.

— Στ. 7. «Οὐκ εὐδαιμονοῦμεν δὲ ἅπαντες ἐξ

στ. 5. ἀδελφεάν, αἱ δύο τελευταῖαι συλλαβαὶ ἐκφωνηθήτωσαν ὡς μία.

στ. 8. εἴργει δὲ πότμῳ ζυγένθ' ἕτερον ἕτερα κακὴ διόρθωσις τοῦ Schmidii ἄνευ ἐννοίας· καὶ ὅμως μετ' ἐπαίνων παρεδέξαντό τινες λέγοντες, ὅτι ζυγὸς οὐ σημαίνει τὴν μίαν πλάστιγγα, ἀλλὰ τὸν ὅλον ζυγὸν (τὴν ζυγαριάν), οὐδὲ ἔχει ὁ ζυγὸς δύο ζυγούς. «Ζυγὸς de lance dici non potest. Nec libra duo juga habet, ut ζυγὸς ἕτερος dici possit. Imo ommia firmant praeclaram Schmidii correctionem». Τὸ οὖς ὅμως Ἕλληνος γεγυμνασμένου εἰς τὴν γλῶσσαν ἐννοεῖ εὐκόλως τὴν ὑπαλλαγὴν ταύτην ἀντὶ τοῦ «(τὸ) ἕτερον (τοῦ) ζυγοῦ».

ἴσου». Τὴν ἔννοιαν τούτου ἐκτίθησι σαφέστερον κατωτέρω στ. 79. 81. «Φ υ ᾷ δ' ἕ κ α σ τ ο ς . . . ἄ λ λ ο ι».

— Στ. 8-9. Εἴργει . . . ἕτερα] «διότι τὸ ἕτερον μέρος τοῦ ζυγοῦ τῆς Μοίρας, ἐν ᾧ τίθεται ἡ εὐδαιμονία ἑκάστου τῶν γεννωμένων κωλύουσιν, ὥστε νὰ γένηται ἡ ῥοπὴ ἴση δι' ἅπαντας, τὰ ἐν τῷ ἑτέρῳ τιθέμενα τῆς κακοδαιμονίας· διότι δι' ἄλλους τίθενται τὰ τῆς κακοδαιμονίας πλείονα, δι' ἄλλους δὲ ἐλάσσονα»· τουτέστι «οὔτε ὅλως εὐδαίμονές ἐσμεν, οὔτε ὅλως κακοδαίμονες· ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἔλαττον. — ζυγὸν ἕτερον] ὑπαλλαγὴ πτώσεως ἀντὶ τοῦ «ἕτερον (μέρος) τοῦ ζυγοῦ». — εἴργει ἕτερον] «τὰ τιθέμενα ἐν τῷ ἑτέρῳ μέρει ἕτερα» ἤτοι «ἡ ἐν τῷ ἑτέρῳ μέρει τιθεμένη κακοδαιμονία μὴ ἴση διὰ πάντας τιθεμένη κωλύει· τί; νὰ ῥέψῃ ἡ εὐδαιμονία ἰσάκις διὰ πάντας». Ἵνα ἐννοήσῃ τις καλῶς τὸ χωρίον; τί πράττει κατὰ τὸν Πίνδαρον ὁ πότμος, ἡ Μοῖρα, ὅταν γεννώμεθα. Κρατεῖ τὸν ζυγόν· καὶ ἐπὶ μὲν τῆς μιᾶς πλάστιγγος τίθησιν εὐδαιμονίαν, ἐπὶ δὲ τῆς ἑτέρας κακοδαιμονίαν· ἀλλὰ οὐ τίθησιν ἐπὶ πάντας ἴσην εὐδαιμονίαν καὶ ἴσην κακοδαιμονίαν, ἀλλὰ ἐπὶ ἄλλους μὲν πλείονα εὐδαιμονίαν καὶ ἐλάσσονα κακοδαιμονίαν, ἐπὶ ἄλλους δὲ ἐλάσσονα εὐδαιμονίαν καὶ πλείονα κακοδαιμονίαν· καὶ οὕτω ἡ ῥοπὴ τῶν πλαστίγγων οὐκ ἐστιν ἡ αὐτὴ δι' ὅλους. Παράβαλε κατὰ τὴν ἔννοιαν πρὸς τὸ (στ. 81-83) τ υ χ ε ῖ ν δ' . . . ἀ ν ε λ ό μ ε ν ο ν. Τὴν κατ' εἰκασίαν διόρθωσιν τοῦ Σμιδίου πλεῖστοι παρεδέξαντο, διότι οἱ ἄνθρωποι ἀγαπῶσι τὰ καινότροπα· ἔστι δὲ αὕτη «εἴργει δὲ πότμῳ ζυγένθ' ἕτερον ἕτερα», ἥτις δείκνυσι μὲν εὐφυΐαν τοῦ διορθώσαντος οὐδὲν δὲ ἕτερον. Ὁ δὲ Ἑρμάννος, ὡς εἰ ἔκρινεν οὐχὶ ποιητὴν καὶ μάλιστα Πίνδαρον, ἀλλὰ πεζὸν λέγει· «ζ υ γ ὸ ς περὶ τρυτάνης λεχθῆναι οὐ δύναται· ἡ γὰρ τρυτάνη οὐ ζυγοὺς δύο ἔχει, ὥστε ζ υ γ ὸ ς ἕ τ ε ρ ο ς εἰπεῖν τινα· ἅπαντα οὖν βεβαιοῖ τὴν λαμπροτάτην διόρθωσιν τοῦ Σμιδίου».

Ἕτερον ἕτερα· σὺν δὲ τὶν
Καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς
Εὔδοξος ἀείδεται Σω-
γένης μετὰ πενταέθλοις.

Ἀ. ά. Κ· ιβ'.

Πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι
Σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.
Εἰ δὲ τύχῃ τὶς ἔρδων, μελίφρον' αἰτίαν
Ῥοαῖσι Μοισᾶν ἐνέβαλεν.
Ταὶ μεγάλαι γὰρ ἀλκαὶ

— Στ. 9-12. σὺν δὲ τὶν . . . πενταέθλοις] Ἀντιπαρατίθεται ἡ Εἰλείθυια πρὸς τὴν Μοῖραν (τὸν πότμον). «Ὁ μὲν πότμος οὐ τὰ ἴσα τοῖς πᾶσι δίδωσιν· σὺ δὲ τοῖς πᾶσι δίδως τὸ ζῆν, ὡς ἔδωκας καὶ τῷ παιδὶ τοῦ Θεαρίωνος Σωγένει, ὃς παρὰ σοῦ μὲν λαβὼν τὸ ζῆν, παρὰ δὲ τοῦ πότμου τὴν ἀρετήν, νῦν εὔδοξος ᾄδεται». Ἀνέμιξεν ὁ ποιητὴς οὕτω καλῶς τὰ ἔργα τοῦ πότμου τοῖς τῆς Εἰλειθυίας οὐχὶ τυχαίως, ἀλλ' ἐπίτηδες, ἵνα εἴπῃ ἐμφαντικῶς «ἔλαβε μὲν παρὰ σοῦ, ὦ Εἰλείθυια, ὁ Σωγένης τὸ ζῆν, ἔλαβεν ὅμως καὶ παρὰ τῶν Μοιρῶν, ὧν σὺ εἶ πάρεδρος, τὴν ἀρετήν», καὶ ἵνα δείξῃ ἅμα, ὅτι τὰ τῶν Μοιρῶν ἄνευ τῆς Εἰλειθυίας εἰσὶν οὐδέν. — σύν τιν] «σὺν τῇ παρὰ σοῦ βοηθείᾳ, σὺν τῇ παρὰ σοῦ λήψει τῆς ζωῆς». — ἀρετᾷ κριθεὶς] «κριθεὶς ἐπ' ἀρετῇ ὑπὸ τῶν ἀγωνοθετῶν, νικήσας» ὅπερ ἐστὶ δῶρον τῶν Μοιρῶν. — μετὰ πεντάθλοις] σύνταττε τῷ «ἀρετᾷ κριθείς». — ἀείδεται] ἐν τῷ παρόντι κώμῳ.

στ. 17. ἔβαλεν ἡ τῶν χειρογρ. γραφή· ἡ δὲ ἐνέβαλεν διόρθωσις κατ' εἰκασίαν ἐκ τοῦ Π. Σ. ἑρμηνεύοντος «ταῖς πνοαῖς τῶν Μουσῶν ἐνέβαλεν».

— Στ. 13-17. πόλιν γὰρ . . . ἐνέβαλεν] Διὰ τί ἀείδεται εὔδοξος; «διότι οἰκεῖ πόλιν φιλόμολπον, ἧς οἱ πολῖται ἐθέλουσι νὰ ἔχωσι θυμὸν ἔμπειρον τῶν ἀγώνων» ἢ ὡς λέγει ὁ Π. Σ. πειρᾶσθαι θέλουσι τῶν ἀγώνων, ἤτοι θέλουσι νὰ ἀγωνίζωνται· ἐὰν δέ τις εὐτυχήσῃ ἐν τοῖς ἀγῶσιν, ἡδεῖαν ἀφορμὴν ταῖς πνοαῖς τῶν Μουσῶν, ἤτοι ἡδεῖαν ὕλην τοῖς ποιοῦσιν ἐπινίκους εἰς τοὺς νικῶντας παρέχουσιν, ἀγαπῶσι νὰ ὑμνῶνται ὑπὸ τῶν ποιητῶν». Καὶ αἱ τέσσαρες λοιπὸν προτάσεις ἐτέθησαν πρὸς αἰτιολογίαν τοῦ εὔδοξος ἀείδεται — πόλιν . . , Αἰακιδῶν] ὁ πρῶτος λόγος, δι' ὃν εὔδοξος ἀείδεταί, ἐστιν, ὅτι ἡ πόλις, ἣν οἰκεῖ, ἐστι τῶν Αἰακιδῶν, ἔτι δέ ἐστι καὶ φιλόμολπος. Ὅθεν καὶ ὁ Σωγένης ἐστὶ φιλόμολπος. — μάλα δ'. . . ἀμφέπειν] Δεύτερος δὲ λόγος, δι' ὃν ἀείδεταί, ἐστιν, ὅτι πάντες οἱ πολῖται τῆς Αἰγίνης ἀγαπῶσι νὰ ἀγωνίζωνται. — θυμὸν] ἐπιθυμίαν. — εἰ δὲ τύχῃ . . . ἐνέβαλεν] «ἣν δέ τις ἐπιτύχῃ τῆς νίκης ἀγωνιζόμενος (ὡς ἐπέτυχεν ὁ Σωγένης), διδοῦσιν ἀφορμὴν ὕμνων τοῖς ποιηταῖς, ὡς νῦν καὶ ὁ Σωγένης. Πῶς δὲ διδοῦσιν ἀφορμὴν ὕμνων; πληρόνοντες τοὺς ποιητάς. — ῥοαῖσι Μοισᾶν] Τὰ ἔπη τῶν Μουσῶν παραβάλλει πρὸς τὸν ῥοῦν τῶν ὑδάτων· οὕτω καὶ ἐν Ἰσθμ. 26. Κλυταῖς ἐπέων ῥοαῖσιν.

— Στ. 18-19. Ταὶ μεγάλαι . . . δεόμεναι] «αἱ γὰρ μεγάλαι δυνάμεις καὶ τὰ μεγάλα κατορθώματα σκότον καὶ ἀφάνειαν ἔχουσιν, ἐὰν μὴ ὑμνηθῶσιν» Π. Σ. οὕτω καὶ οἱ λοιποὶ ἑρμηνευταί· ἀλλ' ἐγὼ νομίζω ὅτι παρημέλησαν τῆς ἀκριβοῦς ἑρμηνείας τοῦ χωρίου τούτου. Ὁ ποιητὴς οὐκ ἐχρήσατο συντάξει πεζοῦ λόγου, ἀλλὰ ποιητικῇ ἀδείᾳ ἀνέστρεψεν αὐτήν· διότι ἡ φυσικὴ ἔκφρασίς ἐστιν αὕτη «αἱ μεγάλαι ἀλκαὶ σκότον πολὺν ἔχουσαι ὕμνων δέονται». Ὁ δὲ νοῦς· «αἱ μεγάλαι ἀρεταὶ ἐπειδὴ λαμβάνουσι σκότος καὶ ἀφάνειαν, διὰ τοῦτο ἔχουσιν ἀνάγκην ὕμνων, οἳ οὐκ ἐάσουσιν αὐτὰς νὰ

Σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι.
Ἔργοις δὲ καλοῖς ἔσο-
πτρον ἴσαμεν ἐνὶ σὺν τρόπῳ,
Εἰ Μνημοσύνας ἕκατι λιπαράμπυκος
Εὕρῃ τις ἄποινα μόχθων
Κλυταῖς ἐπέων ἀοιδαῖς.

Ἐ. ά. Κ. ζ'.

Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
Ἔμαθον, οὐδ' ὑπὸ κέρδει βάλον.

γένωνται ἀφανεῖς». Λαμβάνουσι δὲ σκότον, ἢ ἀφάνειαν ἕνεκα τοῦ φθόνου τοῦ παρακολουθοῦντος αὐταῖς (ὅρα Πυθ. Ζ. 18-20. Ὀλ. ΣΤ.' 125)· διότι οἱ φθονοῦντες πείθουσιν εὐκόλως τοὺς λοιποὺς νὰ μὴ πιστεύωσιν ἀκούοντες ἀρετὰς ὑπὲρ τὰς ἑαυτῶν δυνάμεις· καὶ οὕτω αἱ μεγάλαι ἀρεταὶ σιωπῶνται καὶ εἰς λήθην φέρονται, ἐὰν μὴ ὑμνηθῶσιν. Ὅθεν δέονται ὕμνων. Κατὰ ταύτην τὴν ἐξήγησιν καὶ τὸ «δέονται» (δ ε ό μ ε ν α ι) φυλάσσει τὴν συνήθη σημασίαν.

— Στ. 20-24. Ἔργοις . . . ἀοιδαῖς] «ἔργων δὲ καλῶν κάτοπτρον, ἐν ᾧ αὐτὰ ἀεὶ καθορῶνται οὐδαμῶς ὑπὸ τοῦ φθόνου βλαπτόμενα, ἓν μόνον γινώσκομεν, τὰς κλυτὰς ᾠδὰς τῶν ὕμνων, αἵ εἰσιν ἕνεκα τῆς μνήμης, ἣν ἐσαεὶ καταλείπουσιν, ἀμοιβὴ τῶν πόνων». —

στ. 23. ε ὕ ρ η τ α ί τ ι ς ἡ τῶν χειρογρ. γραφή. Καλῶς διωρθώθη ε ὕ ρ ῃ τ ι ς. Ἔστι δὲ καὶ ἑτέρα διόρθωσις ε ὕ ρ η τ α ι ἄνευ τοῦ τ ι ς, ἵνα ὑποκείμενον ᾖ τὸ «ἄποινα».

στ. 25-26. Σ ο φ ο ὶ . . . . β ά λ ο ν. Θαυμάζω, πῶς οἱ εὐφυέστατοι Π. Σ. καὶ τὰ μέγιστα ἐγκύψαντες εἰς τὸν Πίνδαρον, οἵτινες ἐν στ. 89. κ. ἑξῆς κατενόησαν, ὅτι ὁ ποιητὴς δικαιολογεῖται πρὸς τοὺς Αἰγινήτας ὑπὲρ ὧν εἶπεν ἐν τῷ παιᾶνι, οὐ κατενόησαν καὶ ἐνταῦθα, ὅτι διὰ τοῦ «τριταῖον ἄνεμον» ἐννοεῖ τὴν τρίτην μετεμψύχωσιν κατὰ τὸ περὶ μετεμψυχώσεως σύστημα, ὃ ἐξετεθείκει ἤδη ἐν ἑτέρῳ ᾄσματι,

ἔργοις ἔσοπτρον] «κάτοπτρον, ἵνα εἰσορῶνται τὰ καλὰ ἔργα». — ἴσμεν] «γινώσκομεν νὰ ποιῶμεν» — Μνημοσύνας] προσωποποιΐα.

— Στ. 25-28. Σοφοὶ δὲ . . . νέονται] «διὸ (ἐπειδὴ μόνον διὰ τῶν ὕμνων ἡ μνήμη τῶν καλῶν ἔργων ἀεὶ διαμένει) οἱ ἔχοντες πλοῦτον μετὰ σοφίας γινώσκοντες, ὅτι μετὰ δύο μετεμψυχώσεις, τὴν τρίτην ὁ ἄνεμος ἄξει αὐτοὺς εἰς τὴν νῆσον τῶν μακάρων, οὐ φείδονται κέρδους ἕνεκα νὰ δαπανῶσιν ἐπὶ τῷ ὑμνεῖσθαι· διότι καὶ πλούσιος καὶ πένης εἰς τὸν τάφον τοῦ θανάτου τεθήσεται οὐδὲν ἄλλο δυνάμενος εἰς μνήμην ἑαυτοῦ καταλιπεῖν ἢ τοὺς παρὰ τῶν ποιητῶν ἐπαίνους». Τούτοις βούλεται νὰ προτρέψῃ τὸν Σωγένη νὰ μὴ ἀμελῇ τῆς εὐδοξίας φειδόμενος τοῦ πλούτου, ἀλλὰ καὶ τῶν καλῶν ἔργων νὰ ἔχηται, ἵνα ἐν τῇ τρίτῃ μετεμψυχώσει πορευθῇ εἰς τοὺς μάκαρας, καὶ εἰς τοὺς ποιητὰς νὰ δαπανᾷ, ἵνα μετὰ θάνατον ἡ μνήμη αὐτοῦ μένῃ. Φαίνεται δὲ ἔτι ἐκ τούτων, ὅτι ὁ πατὴρ τοῦ Σωγένους Θεαρίων ἦν ἄγαν πλούσιος· διότι ἀδύνατον νὰ συμβουλεύῃ ταῦτα παιδὶ μὴ μέλλοντι νὰ γένηται κληρονόμος μεγάλης οὐσίας. — σοφοὶ . . . ἔμαθον] οὐ λέγει σοφοὺς τοὺς κυβερνήτας ἢ ναυκλήρους νεὼς ἐμπορικῆς, οἵ, ὡς λέγουσι, προγινώσκουσι, τίς τὴν τρίτην ἡμέραν ἄνεμος μέλλει νὰ πνεύσῃ· διότι τοῦτο ἐνταῦθα γελοῖον ἂν ἦν· σοφοὺς καλεῖ τοὺς πράγματι κατὰ Πίνδαρον σοφοὺς ἢ φιλοσόφους καλουμένους (τοὺς Πυθαγορικούς, ὧν ὀπαδὸς φαίνεται, ὅτι ἦν καὶ ὁ Πίνδαρος)· τριταῖον δὲ ἄνεμον καλεῖ τὸν κατὰ τὴν τρίτην μετεμψύχωσιν μέλλοντα νὰ πνεύσῃ, δι' οὗ οἱ μὲν πάμπαν δίκαιοι ἑκατέρωθι (καὶ ἐν γῇ καὶ ἐν Ἅδου) διατελέσαντες θὰ πορευθῶσιν εἰς τὴν νῆσον τῶν μακάρων, οἱ δὲ ἀλιτρὰ πράξαντες θὰ πορευθῶσιν εἰς Ἅδην. Παράβαλε πρὸς τὰ Ὀλ. Β.' 96 κ. ἑξῆς· ὡς εἰ ἔλεγε «πλούσιος εἶ, ὦ Σώγενες· ἤδη γενοῦ καὶ φιλόσοφος, μάθε τὸν μετὰ τὴν τρίτην μετεμψύχωσιν

Ἀφνεὸς πενιχρός τε θανάτου
Παρὰ σᾶμα νέονται.
Ἐγὼ δὲ πλέον ἔλπομαι
Λόγον Ὀδυσσέος, ἢ πάθεν,
Διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον.

Σ. β'. Κ. ιβ'.

Ἐπεὶ ψευδέεσσίν οἱ, ποτανᾷ μαχανᾷ,
Σεμνὸν ἔπεστί τι· σοφία δὲ
Κλέπτει παράγοισα μύθοις· τυφλὸν δ' ἔχει

μέλλοντα πνεύσειν ἄνεμον, ὃς πορεύσει ἡμᾶς ἢ εἰς Ἅδην, ἢ εἰς τὴν νῆσον τῶν μακάρων». — τριταῖον] τὸν ἐν τῇ τρίτῃ μετεμψυχώσει οἷον ἐν τῇ τρίτῃ ἡμέρᾳ. — οὐδ' ὑπὸ κέρδει βάλον] «οἱ μετὰ πλούτου σοφοὶ οὐ βάλλουσιν ἑαυτοὺς ὑπὸ τὸ κέρδος, οὐ κωλύονται ὑπὸ τῆς ἐπιθυμίας τοῦ κέρδους, ὥστε μὴ πράτττειν τὰ καλὰ ἔργα, μηδὲ δαπανᾶν εἰς τοὺς ποιητάς, ἵνα ἀείμνηστοι γένωνται. — βάλον] «ἔβαλον ἑαυτούς». — ἀφνεὸς . . . νέονται] σχῆμα ἀσύνδετον παραλειπομένου τοῦ γ ά ρ.

— Στ. 29-31. Ἐγὼ δὲ . . . Ὅμηρον] Παράδειγμα δὲ τοῦ ὅτι διὰ τοὺς ποιητὰς ὁ πράττων ἐσθλὰ γίνεται ἀείμνηστός, ἐστιν ὁ Ὀδυσσεύς, ὃς κατέλιπε μνήμην καὶ δόξαν μείζονα, ὧν ἔπραξε καὶ ἔπαθε, διὰ τὸν Ὅμηρον». Ἤνεγκε δὲ εἰς τὸ μέσον εὐκαίρως τὸν Ὀδυσσέα, ἵνα ποιήσῃ ὁδὸν πρὸς τοὺς Αἰακίδας. — λόγον πλέον ἢ πάθεν] Ἡ βραχυλογία ἀναπληροῦται οὕτως «λόγον πλείονα διὰ τὰν Ὅμηρον, ἢ δι' ἐκεῖνα, ἃ ἔπαθεν». Τὸ δὲ ἔ π α θ ε ν συνεκδοχικῶς ἀντὶ τοῦ «ἔπαθε καὶ εἰργάσατο. — διὰ τὸν Ὅμηρον] κυρίως διὰ τὴν

στ. 32. ἐ π ε ὶ ψ ε ύ δ ε σ ι ν ο ἱ π ο τ α ν ᾷ γ ε μ α χ α ν ᾷ' διόρθωσις ἕνεκα τοῦ μέτρου.

Ὀδύσσειαν τοῦ Ὁμήρου· διὸ καὶ ἐχρήσατο τῇ λέξει «παθεῖν» καὶ οὐχὶ τῇ ἐργάσασθαι.

— Στ. 32-33. ἐπεὶ ψευδέεσσιν . . . ἔπεστί τι] Ἐνταῦθα ἐγένετο πήδημα παραλειφθέντος τοῦ «οὐκ ἔλπομαι δὲ γενέσθαι πλέονα λόγον Ὀδυσσέως διὰ τὴν νίκην, ἣν ἐνίκησε τὸν Αἴαντα κρινόμενον περὶ τῶν ὅπλων τοῦ Ἀχιλλέως· ἐ π ε ὶ ψ ε υ δ έ ε σ ι ν σ ί κ. τ. λ.». Ὅτι δὲ ἐπήδησε τὰ ἤδη ἐκτεθέντα, δῆλον· διότι εἰ ἐνίκα δικαίως τὸν Αἴαντα, ὃς καθ' Ὅμηρον ἦν δεύτερος μετὰ τὸν Ἀχιλλέα, τὸ κλέος ἂν ἦν τοῦ Ὀδυσσέως διὰ τὸ δίκαιον καὶ οὐχὶ διὰ τὸν Ὅμηρον. Ὅθεν ἡ ἔννοια τοῦ χωρίου ἐστὶν «Ἐπειδὴ, ἐὰν ἐνίκησε τὴν περὶ τῶν ὅπλων τοῦ Ἀχιλλέως δίκην, αἴτιόν ἐστι τὰ πρὸς τοὺς δικάζοντας ψεύδη αὐτοῦ, οἷς διὰ τὸ ὕψος τοῦ λόγου ὑπῆρχε σεμνόν τι. — οἱ] ἀντὶ γενικῆς αὐτοῦ τοῦ Ὀδυσσέως καὶ οὐχὶ τοῦ Ὁμήρου. Πρὸς ταῦτα παράβαλε Νεμ. Η.' στ. 39. κ. ἑξῆς. — ποτανᾷ μαχανᾷ] ποτανὴν δὲ μηχανὴν εἶπε τὴν τέχνην, δι' ἧς ὕψου καὶ μετεώριζε τὸν πρὸς τοὺς δικαστὰς λόγον. — σεμνὸν ἔπεστι] ἤτοι τὰ ψεύδη οἷς ἐχρῆτο τότε πρὸς τοὺς δικαστὰς ὁ Ὀδυσσεὺς, εἶχόν τι, ὃ αὐτοὶ ἠναγκάζοντο ὑπὸ τῆς ῥητορικῆς τέχνης νὰ σεβασθῶσιν. Διότι κατὰ τὸν Ὅμηρον ἦν καὶ λ ό γ ι ο ς.

— Στ. 34-44. σοφία δὲ κλέπτει . . . Ἰλίου πόλιν] «διότι ἡ μὲν ῥητορεία, (οἵαν εἶχεν ὁ Ὀδυσσεὺς), ἀπατᾷ παραπείθουσα τοῖς λόγοις τοὺς ἀκροωμένους· ὁ δὲ πλεῖστος ὄχλος τῶν ἀνδρῶν, (οἷοι ἦσαν τότε οἱ περὶ τῶν ὅπλων τοῦ Ἀχιλλέως δικασταὶ), ἐστὶν ἀμαθὴς καὶ τυφλὸς τὸν νοῦν· καὶ τούτων ἕνεκα ἐνίκησεν ὁ Ὀδυσσεύς· διότι εἰ ἦν δυνατὸν νὰ κατανοήσωσιν οἱ τότε δικασταὶ τὴν πραγματικὴν ἀλήθειαν, ὅτι δηλαδὴ ὁ Αἴας ἦν πολὺ κρείσσων τοῦ Ὀδυσσέως, ἐκείνῳ ἂν ἐδίδοσαν τὰ ὅπλα. Ταύτην δὲ τὴν ἀδικίαν μὴ ὑπομείνας ὁ καρτερὸς Αἴας, ὃς ἦν ἐν τῇ μάχῃ ἄριστος μετὰ τὸν Ἀχιλλέα πάντων, ὅσοι ἦλθον εἰς Ἴλιον, χολωθεὶς ἐνέπηξε

Ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος· εἰ γὰρ ἦν
Ἐὰν ἀλάθειαν εἰδέμεν,
Οὔ κεν ὅπλων χολωθεὶς
Ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
Λευρὸν ξίφος· ὃν κράτι-
στον, Ἀχιλέος ἄτερ, μάχᾳ
Ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι, θοαῖς
Ἐν ναυσὶ πόρευσαν εὐθυ-
πνόου Ζεφύροιο πομπαὶ

διὰ τῶν φρενῶν τὸ ξίφος». — σοφία] οὐκ ἐννοεῖ τὴν περὶ τὴν ποίησιν σοφίαν τοῦ Ὁμήρου, ἀλλὰ τὴν περὶ τοὺς λόγους σοφίαν τοῦ Ὀδυσσέως, ᾗ ἐχρήσατο πρὸς τοὺς δικαστάς· διότι τοῦτο ἐννοεῖ καὶ αὐτὸς ὁ Ὀδυσσεὺς διὰ τοῦ Παλλὰς Ἀθήνη (Ὁμ. Ὀδυσσ. λ. 547). — κλέπτει] ὅρα τὴν ἀντίθεσιν σοφία κλέπτει. — τυφλὸν δ' ἔχει ἦτορ ὅμιλος] τυφλὸν ἦτορ, τυφλὸν νοῦν, διότι οὐχ ὁρᾷ τὸ ἀληθές. — ὅμιλος ὁ πλεῖστος] σχῆμα καθ' ὅλον καὶ κατὰ μέρος, ἀντὶ τοῦ «οἱ πλεῖστοι τῶν ὁμίλων». Λέγει δὲ ταῦτα περὶ τοῦ ἐκ τῶν αἰχμαλώτων Τρώων ὁμίλου, ὃς ἐδίκασε τὴν περὶ τῶν ὅπλων δίκην (Ὁμήρ. ἔνθα ἀνωτέρω)· διὸ καὶ καλεῖ αὐτὸν τυφλὸν τὸν νοῦν. — ἦν εἰδέμεν] «ἦν δυνατὸν ὁ τοιοῦτος ὄχλος νὰ γνωρίσῃ». — ἐὰν ἀλάθειαν] «τὴν ἰδικήν του ἀλήθειαν» ἤτοι ἐκείνην, ἣν ὡς δικαστὴς ὤφειλε νὰ γινώσκῃ· «ἔνιοι μὲν ἀνέγνωσαν ἑ ὰ ν δασέως, ἀντὶ τοῦ τὴν ἑαυτοῦ· βέλτιον δὲ ψιλῶς, ὡς καὶ Διονύσιος ὁ τοῦ Χαρμίδου» Π. Σ. Φαίνεται ἐκ τῶν Π. Σ. ὅτι ἐγίνετο ἐκ τοῦ ἐΰς ἀρσενικοῦ ἑὰ θηλυκοῦ· ἐξηγεῖται δὲ ὁ Π. Σ. τὴν γραφὴν ἑ ὰ ν ἀ λ ή θ ε ι α ν «τὴν οὖσαν καὶ δέουσαν ἀλήθειαν». — λευρὸν] «οἱ μὲν τὸ

στ. 36. ἰδέμεν ἐξ εἰκασίας διὰ τὸ μέτρον.

πλατύ· βέλτιον δὲ τὸ πλάγιον ἀκούειν, ἵνα νοήσωμεν οὐχὶ τὸ καθ' αὑτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγίως ἐνεχθέν· οὕτω γὰρ καὶ ὁ Εὐφορίων τὴν πληγὴν ὑπεστήσατο

Πλευρά τε καὶ θώρηκα διήρικεν ἰνίου ἄχρις» Π. Σ.

— ὃν κράτιστον κ.τ.λ.] Σύνταττε «ὃν πομπαὶ εὐθυπνόου Ζεφύροιο πόρευσαν ἐν ναυσὶ θοαῖς πρὸς Ἴλου πόλιν κράτιστον κομίσαι μάχᾳ δάμαρτα Μενέλᾳ» — κράτιστον ἄτερ Ἀχιλλέως] «Ὅμηρος (Ἰλ. β. 768.)

Ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας
Ὄφρ' Ἀχιλλεὺς μήνιεν.» Π. Σ — μάχᾳ κομίσαι] «ἀνακομίσαι καὶ ἀνακτήσασθαι» Σ. Πατμ. νὰ ἀνακομίσῃ διὰ μάχης. Τὸ κομίσαι ἐξήρτηται ἐκ τοῦ κράτιστον. Ἵνα ἡ ἔννοια, ἣ ἐξάγεται κατ' ἐμὲ ἀπὸ στ. 29-44. σαφεστέρα γένηται, ἐπαναλαμβάνω συντομώτατα τὰ εἰρημένα. Ὁ ποιητὴς βούλεται νὰ ἀποδείξῃ τῷ Σωγένει, ὅτι ὁ ὑμνούμενος γίνεται ἐνδοξότερος διὰ τοὺς ποιητὰς ἢ διὰ τὰ καλὰ ἔργα, ἃ ἔπραξεν· καὶ φέρει παράδειγμα τὸν Ὀδυσσέα λέγων, ὅτι «κατὰ τὰ ἔργα καὶ τὴν ἐν πολέμῳ ἀρετὴν δεύτερος μετὰ τὸν Ἀχιλλέα ἦν ὁ Αἴας κατὰ τὴν μαρτυρίαν αὐτοῦ τοῦ Ὁμήρου, καὶ κρείσσων τοῦ Ὀδυσσέως· καὶ ὅμως κλέος ἔχει ὁ Ὀδυσσεὺς μεῖζον τοῦ Αἴαντος· διὰ τί; διὰ τὸν Ὅμηρον· διότι ὁ Ὅμηρος περιέγραψεν ἡδυεπῶς τὰ πάθη καὶ τὰ ἀνδραγαθήματα αὐτοῦ ἐν τῇ Ὀδυσσείᾳ. Ἀλλ' ἐὰν ὁ Ὀδυσσεὺς ἔχῃ φήμην μείζονα τῶν αὐτοῦ κατορθωμάτων, διὰ τί ἐνίκησεν ἐν τῇ περὶ τῶν ὅπλων δίκῃ τὸν Αἴαντα; ἡ περὶ τῶν ὅπλων δίκη, οὐδεμίαν ἀπόδειξιν παρέχει, ὅτι ὁ Ὀδυσσεὺς ἦν κρείσσων τοῦ Αἴαντος· διότι ὁ μὲν Ὀδυσσεὺς ἦν ῥήτωρ ἄριστος καὶ διὰ τῆς περὶ τοὺς λόγους τέχνης παρέπειθε τοὺς ἀκροωμένους.

Ἀ. β΄. Κ. ιβ΄.

Πρὸς Ἴλου πόλιν· ἀλλὰ κοινὸν γὰρ ἔρχεται
Κῦμ᾽ Ἀΐδα, πέσε δ᾽ ἀδόκητον
Ἐν καὶ δοκέοντα· τιμὰ δὲ γίνεται,
Ὧν θεὸς ἁβρὸν αὔξει λόγον, τεθνακότων
Βοᾷ θοῶν· τοὶ γὰρ μέγαν
Ὀμφαλὸν εὐρυκόλπου
Ἔμολε χθονὸς, ἐν Πυθίοισι δὲ δαπέδοις
Κεῖται, Πριάμου πόλιν
Νεοπτόλεμος ἐπεὶ πράθεν·

Οἱ δὲ δικασταὶ ἦσαν ὄχλος ἀμαθὴς καὶ τυφλὸς τὸν νοῦν· οἵτινες ἀπατηθέντες καὶ παραπεισθέντες ὑπὸ τῆς μετὰ τέχνης καὶ σοφίας κατασκευασθείσης ψευδολογίας τοῦ Ὀδυσσέως ἔδοσαν αὐτῷ τὰ ὅπλα».

— Στ. 44-47. Ἀλλὰ κοινὸν γὰρ . . . τεθνακότων βοᾷ θοῶν] Ἤδη ἀφίησι τὸν Ὀδυσσέα καὶ περιστρέφεται μόνον εἰς τοὺς Αἰακίδας «Ἀλλὰ τὸ κῦμα τοῦ θανάτου ἔρχεται κοινὸν ἐπὶ πάντας· ἀπέθανε καὶ ὁ καταφρονηθεὶς διὰ τῆς δίκης καὶ ὁ δοξασθείς. Οἱ δὲ ἐν μάχῃ θοοὶ Αἰακίδαι, οὓς, ἐπειδὴ ἐπεδείξαντο κατορθώματα, ὁ θεὸς τρυφερῶς ἀγαπᾷ, τιμῶνται τεθνηκότες». — κῦμα Ἀΐδα] Ἅδην καλεῖ τὸν θάνατον· τὸν θάνατον λοιπὸν παραβάλλει πρὸς ποταμὸν, οὗ τὸ ῥεῦμα ἐξογκούμενον καλύπτει τὰ πέριξ. — πέσε] ἔπεσε τὸ κῦμα τοῦ Ἅδου. — ἐν ἀδόκητον καὶ δοκέοντα] Ἡ ἐ ν ἀντὶ τῆς ε ἰ ς συχνάκις· «ἀδόκητον κέκληκε τὸν ἄδοξον, δοκέοντα δὲ τὸν ἔνδοξον» Π. Σ. «Sic apud Atticos scriptores οἱ δοκοῦντες illustres, principes sunt. Ita et in vers. ap. Stobaeum Eclog. I. 3, 22. καθελὼν μὲν δοκέοντ᾽, ἀδόκητον δ᾽ ἐπαείρων» Heynius. Ἐνταῦθα λοιπὸν ἀ δ ό κ η τ ο ν λέγει τὸν Αἴαντα ἕνεκα τῆς δίκης, ἐν ᾗ

κατεφρονήθη ὑπὸ τῶν δικαστῶν, ἣν καταφρόνησιν μὴ ὑπομείνας ἐφόνευσεν ἑαυτόν· δοκέοντα δὲ τὸν Ὀδυσσέα, ὅστις ἐδοξάσθη διὰ τῆς δίκης. — τιμὰ . . . θοῶν] Ἡ σύνταξις «τιμὰ δὲ γίνεται τῶν βοᾷ θοῶν, ὧν θεὸς αὔξει λόγον, τεθνηκότων». Τιμὴ δὲ γίνεται τῶν ἰσχυρῶν ἐν ταῖς μάχαις καὶ ἀνδρείων (οἷοί εἰσιν οἱ Αἰακίδαι), ὧν ὁ θεὸς φροντίζει, ἀφ' οὗ ἀποθάνωσι, μετὰ θάνατον, (ὡς συνέβη τῷ Νεοπτολέμῳ, περὶ οὗ εὐθὺς ἄρξεται τῆς διηγήσεως). — τιμὰ γίνεται βοᾷ θοῶν] «τιμῶνται παρὰ τοῖς ἀνθρώποις οἱ θοοὶ βοᾷ». Ἐννοεῖ τοὺς Αἰακίδας, καλῶν θοοὺς βοᾷ, ταχεῖς ἐν τῇ μάχῃ, ἀντιθέτως πρὸς τὴν ἐν τοῖς ψευδέσι λόγοις ποταπὰν μαχανὰν καὶ σοφίαν τοῦ Ὀδυσσέως. Ποίαν δὲ τιμὴν μετὰ θάνατον λαμβάνουσι παρὰ τῶν ἀνθρώπων, λέγει ἐν στ. 50. καὶ μάλιστα ἐν στ. 65-70. — ὧν αὔξει λόγον] Τὸ «αὔξω λόγον τινὸς» ἔστιν ἰσχυρότερον τοῦ «ἔχω λόγον τινὸς» (μεριμνῶ περί τινος)· ὁ θεὸς λοιπὸν, ἢ οἱ θεοὶ ἔχουσι μεγίστην καὶ τρυφερὰν μέριμναν περὶ τῶν Αἰακιδῶν, ἀντιθέτως πρὸς τὴν μέριμναν, ἣν ἔσχον οἱ δικασταὶ περὶ τοῦ Ὀδυσσέως. — ὧν θεὸς αὔξει λόγον] «θεὸς καὶ οὐχὶ δικασταὶ τυφλοὶ ἦτορ. — τεθνακότων] μετὰ θάνατον.

— Στ. 48-52. τοὶ γὰρ μέγαν . . . πράθεν] Ἄρχεται ἐντεῦθεν νὰ εἴπῃ τὴν τιμὴν, ἣν ἔχουσι μετὰ θάνατον οἱ βοᾷ θοοὶ Αἰακίδαι παρὰ τοῖς ἀνθρώποις ἕνεκα τῆς φροντίδος τῶν θεῶν· «διὸ Νεοπτόλεμος ἐλθὼν εἰς Δελφοὺς, ἀφ' οὗ ἐπόρθησε τὴν Ἴλιον, κεῖται ἐν τῇ Πυθίᾳ χώρᾳ». — τοὶ γὰρ] «ἐπειδὴ ὁ θεὸς φροντιζει τῶν Αἰακιδῶν». Ὑμνῶν Αἰγινήτην νικηφόρον ὀφείλει νὰ ἐπαινέσῃ τοὺς Αἰακίδας· προείλετο δὲ αὐτῶν νὰ ἐξυμνήσῃ τὸν Νεοπτόλεμον, ἵνα παρασκευάσῃ καὶ ἀποδεκτὴν ποιήσῃ τὴν πρὸς τοὺς Αἰγινήτας ἀπολογίαν, ὑπὲρ ὧν εἶπεν ἐν τῷ εἰς Πύθιον Ἀπόλλωνα παιᾶνι (περὶ οὗ ἀναφέρουσιν οἱ Π. Σ. ὅρα κατωτέρω ἐν Σημειώσεσιν ἀπὸ

Τᾷ καὶ Δαναοὶ πόνησαν· ὁ δ' ἀποπλέων
Σκύρου μὲν ἅμαρτεν· ἵκον-
το δ' εἰς Ἔφυραν πλαγθέντες.
Ἐ. β'. Κ. ζ'.
Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον
Χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν
Τοῦτό οἱ γέρας· ᾤχετο δέ πρὸς
Θεὸν, κτέατ' ἀνάγων Τρω-
ΐαθεν ἀκροθινίων.

στ. 89-93), δι' ἃ οἱ Αἰγινῆται ᾐτιῶντο τὸν Πίνδαρον· ἡ δὲ ἀπολογία αὕτη γενήσεται ἐν στ. 89-102.

— Στ. 53. τᾷ . . . πόνησαν] «ὑπὲρ ἧς, ἣ ἐφ' ᾗ, ἢ ἐν ᾗ, ἢ ταύτῃ καὶ οἱ Δαναοὶ ἐπόνησαν ἐταλαιπώρησαν» Π. Σ.

— Στ. 54-55. Ὁ δ' ἀποπλέων Σκύρου . . . πλαγχθέντες] «ὁ δὲ Νεοπτόλεμος ἀποπλέων ἐκ Τροίας μετὰ τῶν Μυρμιδόνων καὶ διευθυνόμενος εἰς Σκύρον, ἀποπλανηθεὶς καὶ ἁμαρτὼν τῆς Σκύρου ἀφίκετο εὖ εἰς Ἔφυραν». — Σκύρου ἅμαρτεν] ἔπλεεν εἰς Σκύρον, ἧς ἥμαρτεν· διότι ἐκ Σκύρου ἤγαγεν αὐτὸν ὁ Ὀδυσσεὺς πρὸς τοὺς ἐϋκνήμιδας Ἀχαιοὺς (Ὀδυσσ. Λ. 9). — ἵκοντο] δηλονότι αὐτὸς καὶ οἱ Μυρμιδόνες (Ὀδυσσ. Γ. 188-189). — εἰς Ἔφυραν] τὴν περὶ Θεσσαλίαν. Ὁ δὲ Π. Σ. «Ἔφυραν δὲ εἶπε νῦν τὴν ἐν Ἠπείρῳ, ἣν Κίχυρόν φασι μετωνομάσθαι ἀπὸ Κιχύρου τοῦ Μερμέρου· περὶ ἧς Ὅμηρος (Ὀδυσσ. α. 259)

Ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο».

Ἀλλὰ λέγοντος τοῦ Ὁμήρου

στ. 59. κτέατ' ἀναγνωσθήτω ὡς μία συλλαβή· ἡ διόρθωσις εὔκτ'(εὐκτὰ) περιττή.

Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,

(Ὀδυσσ. Γ. 188.), ἡ ἐν τῷ Πινδάρῳ Ἔφυρά ἐστιν ἡ περὶ Θεσσαλίαν. Ἐὰν ὅμως τις διὰ τὸ ἑπόμενον Μολοσσίᾳ δ'... χρόνον θεωρεῖ τὴν ἔννοιαν τοῦ Π. Σ. ὀρθήν, ἐννοητέον τὸ Σκύρου μὲν ἅμαρτεν συνεκδοχικῶς οὕτως «Σκύρου μὲν καὶ Φθίας ἥμαρτεν».

— Στ. 56-58. Μολοσσίᾳ . . . γέρας] «Ἐκ δὲ τῆς Ἐφύρας ἐλθὼν εἰς Μολοσσίαν, ἐβασίλευσεν ἐκεῖ ὀλίγον χρόνον· εἶχε δὲ ἀεὶ τὴν βασιλείαν ἡ γενεὰ αὐτοῦ». — οἱ] ἀντὶ γενικῆς «τὸ γένος αὐτοῦ τοῦ Νεοπτολέμου».

— Στ. 58-60. ᾤχετο δὲ . . . ἀκροθινίων] Τὸ δὲ αἰτιολογικὸν ἀντὶ τοῦ γάρ· διὰ τί ἐβασίλευεν ἐν Μολοσσίᾳ ὀλίγον χρόνον, ᾤχετο γὰρ κ. τ. λ. «Διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δελφοὺς ὁ Νεοπτόλεμος· καὶ οἱ μέν φασιν, ὅτι παίδων αὐτῷ οὐ γινομένων ἐξ Ἑρμιόνης ἦλθε παρὰ τοῦ θεοῦ πευσόμενος, ὡς παιδοποιήσεται· οἱ δέ, ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσου πράγμασι διαρπάσαι πρῶτον ἐπέβαλε τὸ ἐν Δελφοῖς ἱερόν, ἤτοι χρηστήριον· ἄλλοι δέ, ὅτι δίκας αἰτήσων τοῦ πατρὸς τὸν θεόν.
. . . Ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν·

(Ὁμ. Ἰλιάδ. χ. 359)· οὐκ ἔοικε δὲ συγκατατίθεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις, ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν θεόν» Π. Σ. — κτέατ' . . . ἀκροθινίων] κατὰ τὸ σύνηθες καὶ ἐνταῦθα ὑπαλλαγὴ πτώσεων ἀντὶ τοῦ «κτεάτων . . . ἀκροθίνια» ἀκροθίνια ἐκ τῶν λαφύρων, ἃ ἐκόμισεν ἐκ Τροίας.

Ἵνα κρεῶν νιν ὕπερ μάχας
Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.

Σ. γ'. Κ. ιβ'.

Βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται.
Ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν.
Ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
Θεοῦ παρ' εὐτειχέα δόμον,
Ἡρωΐαις δὲ πομπαῖς
Θεμίσκοπον οἰκεῖν ἐόντα πολυθύτοις
Εὐώνυμον. ἐς δίκαν
Τρία ἔπεα διαρκέσι·

— Στ. 61-62. ἵνα κρεῶν . . . μαχαίρᾳ] «Ὅπου (ἐν Δελφοῖς), αὐτὸν μαχόμενον πρὸς τοὺς ἁρπάζοντας ἀπὸ τοῦ βωμοῦ, ἐφ' ᾧ ἔθυε τὰ κρέα, ἀνὴρ μαχαίρᾳ διήλασεν». — μάχας ἀντιτυχόντ'] τυχόντα μάχης ἀντὶ ἡσυχίας. — ὑπὲρ κρεῶν] «μάχης ὑπὲρ κρεῶν. Φασὶ τοῦ Νεοπτολέμου θύοντος τοὺς Δελφοὺς ἁρπάζειν τὰ θύματα, ὡς ἔθος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα διακωλύειν· αὐτοὺς δὲ διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας. Ἀσκληπιάδης διὰ τῶν τραγῳδουμένων φησὶν οὕτω. Περὶ μὲν οὖν τοῦ θανάτου σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οὐδὸν τοῦ νεὼ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει· τὸν Μαχαιρέα φησὶν εἶναι υἱὸν Δαίτα». Π. Σ.

— Στ. 63-70. βάρυνθεν . . . εὐώνυμον] «βαρέως τοῦτο ἤνεγκαν οἱ φιλόξενοι Δελφοί· ἀλλ' ἦν πεπρωμένον. διότι ἦν χρεὼν (πρὸς τιμὴν τῶν Αἰακιδῶν, ὧν ὁ θεὸς σφόδρα φροντίζει, α ὔ ξ ε ι λ ό γ ο ν) νὰ εὑρίσκηται

ἐντὸς τοῦ παλαιτάτου τεμένους παρὰ τὸν ναὸν τοῦ θεοῦ εἴς τῶν ἀρίστων Αἰακιδῶν, ἵνα οἰκῶν ἐκεῖ ᾖ ἔνδοξος καὶ δίκαιος ἐπίσκοπος τῶν τελουμένων ὑπὲρ τῶν κηρυσσομένων ἡρώων πομπῶν καὶ θυσιῶν, ἐν αἷς ἐπιστεύετο, ὅτι ὁ θεὸς εἱστία τοὺς ἥρωας τούτους». Τούτοις ἐξηγεῖται τὸν λόγον, ἤτοι τὴν φροντίδα, ἣν ὁ θεὸς αὔξει περὶ τῶν Αἰακιδῶν, ὧ ν θ ε ὸ ς ἁ β ρ ὸ ν α ὔ ξ ε ι λ ό γ ο ν (στ. 46). «Τρεῖς αἰτίας περὶ τοῦ θανάτου τοῦ Νεοπτολέμου πορίζεται· πρῶτον μὲν, ὅτι τὸ πεπρωμένον αὐτῷ ἀπέδωκεν· δεύτερον, ὅτι πρέπον ἦν τῶν Αἰακιδῶν τινα καὶ ὀφειλόμενον σύνοικον εἶναι τῷ Ἀπόλλωνι· ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσιν· λέγεται γὰρ, ὅτι μετὰ τὸ θῦσαι ἐναγισμοὺς ἐπέσπενδον» Π. Σ. — ἡρωΐαις πομπαῖς πολυθύτοις] ταῖς πομπαῖς ἐκείνων, οὓς ἐκήρυσσον ἥρωας, ἐν αἷς γίνονται πολλαὶ θυσίαι· «γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια, ἐν οἷς δοκεῖ ὁ θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας, (ἤτοι ἐκείνους, οὓς ἐκήρυσσον ἥρωας, ἄλλους ἢ τοὺς νικῶντας ἐν τοῖς ἀγῶσιν)· ἔστιν οὖν μόρσιμον ἐν ταῖς πομπαῖς καὶ ταῖς πανηγύρεσιν, ἐν αἷς ἐκήρυσσον τοὺς ἥρωας, θυσίαις τοῖς πολυθύτοις ἐπισκοπεῖν μετὰ Θέμιδος (ἐπισκοπεῖν μετὰ δικαιοσύνης) καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἐφορᾶν» Π. Σ. — θεμίσκοπον] δίκαιον ἐπίσκοπον.

— Στ. 70-72. εἰς δίκαν . . . ἐπιστατεῖ] «εἰς δίκην, ἣν δύναταί τις νὰ ποιήσῃ περὶ τοῦ ἐν Δελφοῖς περὶ κρεῶν θανάτου τοῦ Νεοπτολέμου, οἱ τρεῖς εἰρημένοι λόγοι οὗτοι, ὅτι ἐλυπήθησαν σφόδρα οἱ Δελφοὶ, ὅτι ἦν πεπρωμένον, ὅτι συνοικεῖ τῷ θεῷ ἐπισκοπῶν τὰς ὑπὲρ τῶν ἡρώων πομπάς· οἱ τρεῖς, λέγω, λόγοι ἀρκέσουσιν ὑπὲρ τῶν Δελφῶν, ἤτοι πρὸς δικαίωσιν τῶν Δελφῶν. Μάρτυς δὲ τῶν τριῶν τούτων λόγων οὐ ψεύστης (ὁ Νεοπτόλεμος) ἐστὶ παρὼν μαρτυρῶν ἔργοις καὶ οὐ λόγοις ὑπὲρ τῶν Δελφῶν. — οὐ ψεῦδις ἐπιστατεῖ] δύο προτάσεις συνεπτυγμέναι εἰς μίαν· ἴσον «αὐτὸς (ὁ Νεο-

Οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' ἐκ-
γόνων θρασύ μοι τόδ' εἰπεῖν

Ἀ. γ΄. Κ. ιβ΄.

Φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
Οἴκοθεν· ἀλλὰ γάρ ἀνάπαυσις
Ἐν παντὶ γλυκεῖα ἔργῳ· κόρον δ' ἔχει
Καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
Φυᾷ δ' ἕκαστος διαφέρο-
μεν, βιοτὰν λαχόντες,

πτόλεμος), ὃς ἐπιστατεῖ ἔργμασίν, ἐστιν οὐ ψεῦδις μάρτυς». — ψεῦδις] ἴσον τῷ ψευδής. — ὁ] αὐτὸς (ὁ Νεοπτόλεμος). — μάρτυς] «μάρτυς ὑπὲρ τῶν Δελφῶν τοῦ ὅτι δηλαδὴ ἐλυπήθησαν καὶ ἐπέπρωτο ὑπὸ τοῦ θεοῦ νὰ ἀποθάνῃ οὕτως ἐν Δελφοῖς. — ἔργμασιν ἐπιστατεῖ] «παρών ἐστιν ἔργοις καὶ οὐ λόγοις» (παρών ἐστι καὶ μαρτυρεῖ μὲ ἔργα καὶ οὐχὶ μὲ λόγους). Τὰ δὲ ἔργα, δι' ὧν παρὼν (ἐπιστατῶν) μαρτυρεῖ, εἰσι τὸ, ὅτι συνοικεῖ τῷ Ἀπόλλωνι καὶ ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσιν. Πόσον ἐξέκλιναν τοῦ νοῦ τοῦ ποιητοῦ οἱ τὴν λέξιν «ἐπιστατεῖ» ἑρμηνεύοντες «factis et gestis rebus adest quasi inspector».

— Στ. 73-80. Αἴγινα . . . Ἀφροδίσια] Ἤδη θεωρῶν, ὅτι ὅσα εἶπε περὶ τῶν Αἰακιδῶν ἀρκοῦσι πρὸς ἔπαινον τῆς πατρίδος τοῦ Σωγένους, θέλων νὰ ἐπανέλθῃ εἰς αὐτὸν τὸν νικητὴν λέγει «ὦ Αἴγινα, αὐθάδεια καὶ θράσος ἐστὶ νὰ εἴπω, ὅτι ταῦτα, ἃ ἔλεξα περὶ τῆς τιμῆς, ἣν ἐκ προνοίας τῶν θεῶν λαμβάνει ὁ Νεοπτόλεμος ἐν Δελφοῖς· ταῦτά εἰσι διὰ τὰς φαεινὰς ἀρετὰς τῶν ἐκγόνων σοῦ τε καὶ τοῦ Διὸς ἡ ἀληθὴς καὶ κυρία ὁδὸς ἡ ἐξ αὐτῶν τῶν ἔργων τῶν Αἰακιδῶν ἄγουσα εἰς τοὺς

ἐπαίνους· ἀλλ' ὅμως παύσομαι λέγων περὶ αὐτῶν· διότι ἡ ἀνάπαυσις ἐν παντὶ ἔργῳ γλυκεῖά ἐστιν· κορέννυσι δὲ καὶ τὸ μέλι καὶ τὰ τερπνὰ ἄνθη τῆς Ἀφροδίτης». — Αἴγινα] πρὸς τὴν θεὰν ἀποτείνεται τὴν μητέρα τοῦ Αἰακοῦ. — τεῶν Διός τ' ἐκγόνων] ἴσον «ἐκγόνων σοῦ Διός τε». — θρασὺ . . . οἴκοθεν] Σύνταττε «θρασύ μοι ἐστὶν εἰπεῖν τόδε εἶναι φαενναῖς ἀρεταῖς τῶν ἐκγόνων ὁδὸν λόγων κυρίαν οἴκοθεν»· θ ρ ά σ ο ς ἐ σ τ ὶ ν ὰ ε ἴ π ω , ὅ τ ι τ ό δ ε (ποῖον τόδε; ὃ εἴρηκα, ὅτι δηλαδὴ ὁ Νεοπτόλεμος ἀπολαύει τιμῶν ἐν Δελφοῖς) ἐ σ τ ὶ τ α ῖ ς φ α ε ι ν α ῖ ς ἀ ρ ε τ α ῖ ς (διὰ τὰς ἀρετὰς) τ ῶ ν σ ῶ ν , ὦ Α ἴ γ ι ν α , ἐ κ γ ό ν ω ν ὁ δ ό ς . — ὁδὸς λόγων] «ὁδὸς ἄγουσα τὸν ποιητὴν εἰς λόγους, ὕμνους»· ὡς ὁδὸς Ἐλευσῖνος, ὁδὸς ἄγουσα εἰς Ἐλευσῖνα, οὕτω καὶ ἐνταῦθα. — κυρία] Ἀνωτέρω (Νεμ. ΣΤ.' 92) ἀντὶ τούτου εἶπεν «ἁμαξιτόν». — οἴκοθεν] ἐκ τοῦ οἴκου τῶν Αἰακιδῶν, ἤτοι ἐκ τῶν ἔργων καὶ κατορθωμάτων αὐτῶν τῶν Αἰακιδῶν. Ὁ δ ὸ ς δὲ ἄ γ ο υ σ α τ ὸ ν π ο ι η τ ὴ ν ἐ κ τ ῶ ν κ α τ ο ρ θ ω μ ά τ ω ν τ ῶ ν Α ἰ α κ ι δ ῶ ν ε ἰ ς τ ο ὺ ς ἐ π α ί ν ο υ ς οὐκ ἐστιν αὕτη, ἣν ἐν τοῖς ἡγουμένοις ἐβάδισεν ὁ Πίνδαρος· διότι αὕτη ἄγει εἰς τοὺς ἐπαίνους οὐχὶ ο ἴ κ ο θ ε ν , ἀλλ' ἐκ τῆς εὐνοίας καὶ προνοίας, ἣν ποιοῦνται οἱ θεοὶ ὑπὲρ τῶν Αἰακιδῶν· διότι ἡ εὔνοια καὶ πρόνοια (ὁ ἀ β ρ ὸ ς λ ό γ ο ς) τοῦ θεοῦ ἐποίησεν, ὥστε ὁ Νεοπτόλεμος φονευθεὶς ἐν Δελφοῖς νὰ λαμβάνῃ νῦν θείας τιμάς. Ἐὰν τῇ ἐξηγήσει, ἣν ἀπέδωκα ἐγὼ τοῖς στ. ἀπὸ στ. 25-76. πρόσχῃ τις τὸν νοῦν, οὐδὲν εὑρήσει βεβιασμένως ἐννοούμενον. — ἀλλ' ἀνάπαυσις . . . Ἀφροδίσια] «ἀναπαύσομαι ἤδη λέγων περὶ Νεοπτολέμου (κάλλιον, λέγων περὶ τῶν σῶν, ὦ Αἴγινα, ἐκγόνων), ἐπεὶ κόρος ἔπεστι πᾶσιν· κόρον γὰρ ἔχει καὶ τὸ μέλι, φησί, καὶ τὰ Ἀφροδίσια· παρὰ τὸ Ὁμηρικὸν (Ἰλιαδ. ν. 636) Π ά ν τ ω ν μ ὲ ν κ ό ρ ο ς ἐ σ τ ί ν». Π. Σ.

Ὁ μὲν τὰ, τὰ δ' ἄλλοι· τυχεῖν δ' ἕν' ἀδύνατον
Εὐδαιμονίαν ἅπα-
σαν ἀνελόμενον. οὐδ' ἔχω
Εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
Ὤρεξε. Θεαρίων, τὶν
Δ' ἐοικότα καιρὸν ὄλβου

Ἐ. γ'. Κ. ζ'.

Δίδωσι· τόλμαν τε καλῶν ἀραμένῳ
Σύνεσις οὐκ ἀποβλέπει φρενῶν.
Ξεῖνός εἰμι, σκοτεινὸν ἀπέχων

— Στ. 79-85. Φυᾷ δ' ἕκαστος . . . ἔμπεδον ὤρεξε] Κατὰ τὸ αὐτοῦ ἔθος ὁ ποιητὴς μεταβαίνει εἰς ἑτέραν ὑπόθεσιν διὰ καταλλήλου προοιμίου. Προοιμιάζεται λοιπὸν, ἵνα ἐπαινέσῃ τὸν Θεαρίωνα, λέγων «Ἅπαντες οἱ ἄνθρωποι ἐκ φύσεως διαφέρομεν ἀλλήλων κατὰ τὴν εὐδαιμονίαν, οἱ μὲν στερούμενοι τούτου πρὸς εὐδαιμονίαν, οἱ δὲ ἐκείνου· εἷς δέ τις νὰ γένηται ἐντελῶς εὐδαίμων ἀδύνατόν ἐστιν· οὐδὲ ἔχω νὰ εἴπω τινὰ, ᾧ ἡ Μοῖρα ἔδωκε τὴν εὐδαιμονίαν ἐντελῆ, ἤτοι διὰ παντὸς ἄμικτον κακῶν». — φυᾷ] φύσει, ἐκ φύσεως. — διαφέρομεν] «κατὰ τὴν εὐδαιμονίαν» ὅπερ ἀναπληροῦται ἐκ τοῦ ἑπομένου κώλου. — Ὁ μὲν τὰ, τὰ δ' ἄλλοι] «οἱ μὲν διαφέρομεν κατὰ ταῦτα τῆς εὐδαιμονίας, οἱ δὲ κατὰ ταῦτα», ἤτοι οἱ μὲν ἔχομεν τοῦτο τῆς εὐδαιμονίας, οἱ δὲ ἐκεῖνο. — βιοτὰν λαχόντες] ἡμεῖς, οἳ ἐλάχομεν τὸ ζῆν, ἐλάβομεν παρὰ τῆς Μοίρας τὸ νὰ ζῶμεν. Ὅθεν ἴσον τῷ «ἡμεῖς οἱ ἄνθρωποι». — τοῦτο ὤρεξε τέλος ἔμπεδον]

στ. 88. ἀποβλάπτει ἔν τισι χειρογρ. Ταύτην τὴν γραφὴν παραδεξάμενοί τινες ἕνεκα τοῦ μέτρου ἠναγκάσθησαν νὰ διορθώσωσιν οἱ μὲν τὸ «ἀραμένῳ» εἰς «ἀράμενον» οἱ δὲ ἀφέντες τὸ «ἀραμένῳ» νὰ διορθώσωσι τὸ «σύνεσις» εἰς «σύνεσιν».

«ὤρεξε τοῦτο τὸ τέλος, ταύτην τὴν τελειότητα (ἅπασαν τὴν εὐδαιμονίαν) ἔμπεδον, ἀσφαλὲς καὶ ἔμμονον»· οὕτως ἐννοεῖ καὶ ὁ Π. Σ. λέγων «τὸ δὲ τυχεῖν πάντων ἀγαθῶν ἕνα καὶ παραμεῖναι αὐτῷ (πάντα τὰ ἀγαθὰ) μέχρι τέλους ἀδύνατον». — τέλος] συχνάκις παρὰ Πινδάρῳ σημαίνει ἐντέλειαν.

— Στ. 85-88. Θεαρίων . . . φρενῶν] Ἐνταῦθα ἐπήδησεν ὁ ποιητὴς τοιοῦτόν τι «μὴ οὖν, ὦ Θεαρίων, μηδὲ σὺ μάτευε τέλος εὐδαιμονίας»· τούτων συμπληρωθέντων ἡ συνέχεια τῶν ἐννοιῶν βαίνει ἄριστα· «σοὶ δέ, ἡ Μοῖρα δίδωσι πρέπουσαν εὐκαιρίαν νὰ εὐδαιμονῇς· πρὸς δὲ τούτῳ ἔδωκέ σοι τόλμην πρὸς τὰ καλὰ μετὰ συνέσεως φρενῶν». — καιρὸν ὄλβου] τὴν νίκην τοῦ υἱοῦ Σωγένους θεωρεῖ καιρὸν (εὐκαιρίαν) ὄλβου (νὰ εὐδαιμονῇ ὁ πατήρ). Τὸν δὲ καιρὸν τοῦ ὄλβου καλεῖ ἐοικότα, ἐπειδὴ τῷ ὄντι ἁρμόζει αὐτῷ νὰ εὐδαιμονῇ πατρὶ ὄντι παιδὸς νικηφορήσαντος, καὶ πλουσίῳ, ὡς ἐν τοῖς εἰς στ. 25-28. σεσημειωμένοις εἴρηται. Ὁ δὲ Π. Σ. ἑρμηνεύει οὕτως «σοὶ δέ, ὦ Θεαρίων, ἡ τύχη καιρὸν εὐδαιμονίας ἁρμόδιον δωρεῖται, ὅτι γεγηρακότι ἀνακουφίζεταί σοι τὸ γῆρας ταῖς τοῦ παιδὸς εὐδοξίαις». — οὐκ ἀποβλέπει] Ἐνταῦθα μόνον τὸ ἀποβλέπειν κεῖται ἐν τῇ σημασίᾳ τοῦ βλέπειν ἄπο, βλέπειν μακρόθεν, παραμελεῖν· «ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμην. Τόλμη τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν (Πινδάρου ἀπόσπασμα)· ἡ μὲν σύνεσις προεπισκοποῦσα, πῶς ἐκβήσεται, ἡ δὲ τόλμα ἐγχείρησις οὖσα». Π. Σ.

— Στ. 89-93. ξεῖνος . . . μισθὸς οὗτος] Ἐνταῦθα ἐνορᾷ κατάλληλον τὸν καιρὸν νὰ ἀπολογηθῇ πρὸς τοὺς Αἰγινήτας, ὑπὲρ ὧν εἶπε περὶ Νεοπτολέμου ἐν τῷ εἰς Πύθιον Ἀπόλλωνα παιᾶνι· «καθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας· ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων

Ψόγον, ὕδατος ὥτε
Ῥοὰς, φίλον ἐς ἄνδρ᾽ ἄγων
Κλέος ἐτήτυμον, αἰνέσω.
Ποτίφορος δ᾽ ἀγαθοῖσι μισθὸς οὗτος.

Σ. δ΄. Κ. ιβ΄.

Ἐὼν δ᾽ ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ᾽ ἀνὴρ
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων·
Καὶ προξενίᾳ πέποιθ᾽· ἔν τε δαμόταις
Ὄμματι δέρκομαι λαμπρὸν, οὐχ ὑπερβαλὼν,

Δελφοῖς τὸν Παιᾶνα ἔφη Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι» Π. Σ. Εἰπὼν λοιπὸν ὁ Πίνδαρος ἀνωτέρω (στ. 61-62), πῶς ἐφονεύθη ἐν Δελφοῖς ὁ Νεοπτόλεμος, ἐξηγήσατο τρόπον τινὰ, τί ἐνόει διὰ τῶν ἐν τῷ Παιᾶνι αὐτῷ περὶ Νεοπτολέμου εἰρημένων· δηλονότι «ὅτι οὐκ ἔφησεν (ἐν τῷ Παιᾶνι) περὶ χρημάτων γεγονέναι τῷ Νεοπτολέμῳ τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Δελφοῖς» Π. Σ. Ἐνταῦθα λοιπὸν (ἀπὸ στ. 89-102) προστίθησι σκοτεινῶς πῶς τὰ αἴτια, ὧν ἕνεκα οὐκ ἠδύνατο νὰ εἴπῃ ἄτοπόν τι περί τινος τῶν Αἰακιδῶν. Παράβαλ. καὶ πρὸς στ. 150-155. Τὸ χωρίον οὕτως ἑρμηνεύω· «ξένος εἰμὶ τοῦ Θεαρίωνος (ἢ τῶν Αἰγινητῶν)· ἐπιθυμῶν λοιπὸν νὰ ἀπαλλάξω ἐμαυτὸν τοῦ ἀμαυροῦντός με ψόγου, ὃν ψέγουσί με οἱ Αἰγινῆται παρανοήσαντες τὸν Παιᾶνα, θὰ ἐπαινέσω τὸν φίλον ἄνδρα διοχετεύων εἰς αὐτὸν, ὡς ὕδατος ῥεῖθρον, ἀληθὲς κλέος». — σκοτεινὸν . . . ψόγον] Συντάσσω καὶ ἐγὼ μετ᾽ ἄλλων τῷ ἀπέχων. Ἡ μετοχὴ ἀπέχων ἐστὶ τελική· ὁ δὲ νοῦς· «θὰ ἐπαινέσω τὸν φίλον ἄνδρα, τὸν Θεαρίωνα, ἵνα ἰδόντες καὶ γνόντες οἱ Αἰγινῆται, ὧν εἰμι ξένος, ὅτι περὶ πολλοῦ ποιοῦμαι

στ. 95, οἰκέων δισυλλάβως ἀναγνωστέον.

τὸν ἔπαινον αὐτῶν, πεισθῶσιν, ὅτι οὐδὲ τὸν Αἰακίδαν Νεοπτόλεμον ἠδυνάμην νὰ εἴπω, ὅτι ἐπὶ ἱεροσυλίᾳ ἦλθεν εἰς Δελφοὺς, καὶ οὕτω θὰ ἀπαλλάξω ἐμαυτὸν τῆς ὑπὸ τῶν Αἰγινητῶν μομφῆς». Ἡ ἐξήγησις, ἣν ποιοῦσί τινες τῶν λέξεων «σκοτεινὸν ἀπέχων ψόγον», αὕτη ἀπαλλάττων τὸν Θεαρίωνα τοῦ ψόγου τῶν αὐτοῦ πολιτῶν» ἐνταῦθα οὐχ ἁρμόζει· διότι ὁ Πίνδαρος παρίστησιν ἀεὶ τοὺς Αἰγινήτας ὡς ἀγαθοὺς πολίτας καὶ ὡς μὴ φθονοῦντας ἀλλήλοις. — ἀπέχων] «ἄπωθεν ἔχω» Σχ. Πάτμ. — ὦτε ῥοὰς ὕδατος] «ὦτε, ὥσπερ» Σχ. Πάτμ. τὴν δὲ παραβολὴν ἄριστα ἑρμηνεύουσιν οἱ Π. Σ. «ὥσπερ, ὀχετηγὸς ἀφαύστως ἄγων τὸ ὕδωρ ἐπὶ τὰ φυτὰ καὶ δένδρα, τρέφει αὐτὰ, οὕτω καὶ ἐγὼ τὰς ἀρετὰς τοῦ ἀνδρὸς καὶ τὴν περὶ τοὺς ἀγῶνας αὐτοῦ εὐδοξίαν διαπορθμεύσω διὰ τοῦ ὕμνου ἀψευδῶς καὶ ἀληθῶς». — ποτίφορος . . . οὗτος] «πρόσφορος γάρ ἐστι τοῖς ἀγαθοῖς καὶ ἀνδρείοις ὁ μετὰ τοῦ ἀληθοῦς ὕμνος» Π. Σ. — μισθὸς οὗτος] «αὕτη ἡ ἀμοιβή· ἤτοι τὸ ἐπαινεῖν ἀληθῶς τοὺς ἀγαθοὺς, ὅπερ ἐστὶν ὡς μισθὸς, βραβεῖον αὐτοῖς πρόσφορον».

— Στ. 94-98. Ἐὼν δ' ἐγγὺς . . . ἐκ ποδὸς ἐρύσαις] ἤδη ἐκ τοῦ τρόπου τοῦ φέρεσθαι πρὸς τοὺς ἰδίους δημότας, τοὺς Θηβαίους, καὶ πρὸς ἅπαντας τοὺς ἐκ τοῦ πλησίον γινώσκοντας τὴν διαγωγὴν καὶ τὰ ἤθη αὐτοῦ καὶ τὸν βίον· ἐκ τοῦ τρόπου, λέγω, τούτου βούλεται νὰ ἀποδείξῃ, ὅτι οὐκ ἦν πρὸς αὐτοῦ νὰ ψέγῃ ἀνθρώπους, ἢ ἥρωας, πολλῷ δὲ μᾶλλον νὰ εἴπῃ βλάσφημόν τι πρὸς Αἰακίδαν τὸν Νεοπτόλεμον. Ὅθεν ὁ νοῦς «ἐάν τις τῶν ἐκγόνων ἐκείνων τῶν Μυρμιδόνων, οἵτινες μετὰ τοῦ Νεοπτολέμου ᾤκησαν ἐν Μολοσσίᾳ ὑπὲρ τὴν Ἰονίαν θάλασσαν· ἐὰν, λέγω, τίς τῶν ἐξ ἐκείνων τῶν Μυρμιδόνων καταγομένων, οἳ τιμῶσι καὶ σέβονται τὸν Νεοπτόλεμον οὐχ ἧττον τῶν Αἰγινητῶν, ἐν Θήβαις παραγενόμενος ἐξετάσῃ ἐκ τοῦ πλησίον τοὺς ἐμοὺς τρόπους, πεισθήσεται, ὅτι οὐκ ἐστιν ἴδιον ἐμοῦ νὰ καλῶ ἱεροσύλους

Βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύ-
σαις· ὁ δὲ λοιπὸς εὔφρων
Ποτὶ χρόνος ἕρποι. μαθὼν δέ τις ἂν ἐρεῖ,
Εἰ πὰρ μέλος ἔρχομαι

τοὺς εὐδόξους ἥρωας, καὶ οὐ μέμφεταί με· ἔτι δὲ καὶ ἐκ τῆς προξενίας, ᾗ τιμῶμαι παρ᾽ αὐτῶν, πέποιθα, ὅτι οὐ μέμφονταί με· καὶ ἐν τοῖς ἐμοῖς πολίταις τιμῶμαι ὡς χρηστὸς καὶ οὐχὶ ὡς βίαιος καὶ ὑπεροπτικὸς καὶ καταφρονητής». — ἐὼν ἐγγὺς] Ἴσον «πλησιάσας ἐμοὶ καὶ γνοὺς τοὺς ἐμοὺς τρόπους» ἢ «ὢν ἐγγὺς ἐμοῦ καὶ γινώσκων καλῶς ἐμέ». — Ἀχαιὸς ἀνὴρ] ἀνὴρ ἔκγονος τοῦ Νεοπτολέμου (ὅρα ἀνωτέρω στ. 57. ἀτὰρ γένος αἰεὶ φέρεν τοῦτό οἱ γέρας), ἢ τῶν Ἀχαιῶν, ἤτοι τῶν Μυρμιδόνων ἐκείνων, οἳ μετὰ Νεοπτολέμου κατῴκησαν ἐν Μολοσσίᾳ (ἀνωτέρω στ. 56)· διότι οἱ μετὰ Νεοπτολέμου ἐκαλοῦντο καὶ Μυρμιδόνες καὶ Ἕλληνες καὶ Ἀχαιοί· «δοκεῖ δὲ ὁ Νεοπτόλεμος τὴν τοῦ πατρὸς ἀρχὴν διαδέξασθαι καὶ ἡγήσασθαι ἐν Τροίᾳ· οὗτοι δὲ καὶ Ἀχαιοὶ ἐκαλοῦντο, καθά φησι καὶ Ὅμηρος (Ἰλιάδ. β. 684)

Μυρμιδόνες δὲ καλοῦνται καὶ Ἕλληνες
καὶ Ἀχαιοί·

οὗτοι δὲ κατὰ τὸν Ἰόνιον πόντον ᾤκησαν, καθὰ καὶ αὐτὸς Πίνδαρος σημαίνει λέγων (Νεμ. Δ.΄ 82. κ. ἑξῆς). Νεοπτόλεμος δ᾽ Ἀπείρῳ διαπρυσίᾳ, βουβόται τόθι πρῶνες ἔξοχοι κατάκειντα:, Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον». Π. Σ. Ὁ Πίνδαρος, ὡς γνωστόν, ζηλοῖ κατὰ πάντα τὸν Ὅμηρον· διὸ καλεῖ τοὺς ἐκ τῶν Μυρμιδόνων καταγομένους Ἀχαιούς. Ἐὰν δὲ ὁ Πίνδαρος ἐβούλετο νὰ ἐννοήσῃ οἷον δήποτε τῶν καθ᾽ αὑτὸν Ἑλλήνων, οὐκ ἠδύνατο, χρήσασθαι τῷ ὀνόματι Ἀχαιός,

ἀλλὰ τῷ Ἕ λ λ η ν. Ἀναφέρει λοιπὸν τοὺς ἐκγόνους τῶν μετὰ Νεοπτολέμου Μυρμιδόνων, ἵνα δείξῃ τοῖς Αἰγινήταις, ὅτι καὶ οἱ κατοικοῦντες ἐν Ἠπείρῳ Μυρμιδόνες τιμῶσι τὸν Νεοπτόλεμον, ὡς ἐκεῖνοι· ἀλλ' οἱ Μυρμιδόνες οὔ μοί μέμφονται, ἐὰν γνῶσιν, οἷός εἰμι τοὺς τρόπους· καὶ ὑμεῖς ἄρα, ὦ Αἰγινῆται γινώσκοντές με οὐκ ὀφείλετε νὰ μέμφησθέ μοι. — καὶ προξενίᾳ πέποιθα] ἀναπλήρου «μή μέμφεσθαί μοι τοὺς Ἀχαιοὺς τούτους». Ἦν λοιπὸν πρόξενος τῶν Ἠπειρωτῶν ὁ Πίνδαρος. Ἐὰν δὲ ὑποτεθῇ, ὅτι ὁ Πίνδαρος ἦν πρόξενος πολλῶν πόλεων, δύναται νὰ ἐξηγηθῇ καὶ οὕτως «καὶ προξενίᾳ πέποιθα, ὅτι οἱ Ἕλληνές με τιμῶσι καὶ οὐ νομίζουσί με κακολόγον. — ἐν δαμόταις . . . λαμπρὸν] «μεταξὺ τῶν πολιτῶν μου βλέπομαι εἰς τὸ ὄμμα λαμπρῶς, ἤτοι χωρὶς νὰ ἐντρέπωμαι, ἢ εἰμι σεβαστός» διότι οὐδένα λοιδορῶ. — οὐχ ὑπερβαλὼν] «τὸ μέτριον ἀεὶ ζητήσας» μετὰ μετριότητος ἀεὶ ζητήσας. — βίαια . . . ἐρύσαις] «διάγω, φησὶ, κατὰ τὰς Θήβας μετριάζων, τὰ βλάσφημα καὶ ὑπεροπτικὰ, τὰ βιαστικὰ πάντα ἐκποδὼν ἀφελκύσας, ἤτοι μακρὰν ἐμοῦ χωρίσας· τουτέστιν οὐδένα βιαζόμενος ζῶ» Π. Σ.

— Στ. 99-102. ὁ δὲ λοιπὸς . . . ἐνέπων] «εἴθε δὲ καὶ ὁ λοιπὸς χρόνος τοῦ βίου μου διέλθοι οὕτως εὐφρόσυνος ἐπὶ τῇ τιμῇ, ἧς παρὰ πάντων τῶν ἐκ τοῦ πλησίον γινωσκόντων με ἀπολαύω· ὁ δὲ μὴ γινώσκων, μαθὼν θὰ εἴπῃ, εἰ τοιοῦτός εἰμι, ὥστε ἀπρεπῶς καὶ παρὰ μέλος νὰ ψέγω ἥρωας ἰσοθέους, οἷοί εἰσιν οἱ Αἰακίδαι». — ὁ δὲ λοιπὸς . . . ἕρποι] «εἴθε μοι τὸ ὅλον τοῦ βίου οὕτω μετ' εὐφροσύνης συμπερανθείη· τὸ π ο τ ὶ ἕ ρ π ο ι ἀντὶ τοῦ προσέρποι» Π. Σ. — μαθὼν δέ τις] «εἰ δέ τις μὴ γινώσκῃ τὸν ἐμὸν βίον, μαθὼν, θὰ εἴπῃ». — ἂν ἐρεῖ] Τὸ ἂ ν μεθ' ὁριστικῆς συχνὸν παρὰ Πινδάρῳ. — ἔρχομαι ἐννέπων] ἔρχομαι ἵνα ᾄδω· καὶ τοῦτο πάλιν ἴσον τῷ «ἔχω τὸ ἰδίωμα νὰ ψάλλω». — παρὰ

Ψέγιον ὄαρον ἐννέπων.
Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω
Μή, τέρμα προβάς, ἄκονθ᾽ ὥσ-
τε χαλκοπάραον, ὄρσαι
'Α. δ'. Κ. ιβ'.
Θοὰν γλῶσσαν, ὃς ἐξέπεμψας παλαισμάτων
Αὐχένα καὶ σθένος ἀδίαντον,
Αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν·
Εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.
Ἔα με, νικῶντί γε χάριν
Εἴ τί περ ἂν ἀερθεὶς

μέλος] ἀμούσως, ἄνευ χάριτος, ἀπρεπῶς. — ψέγιον ὄαρον] λοιδορίαν, οἵαν μέμφονταί με οἱ Αἰγινῆται, ὅτι ἔψαλα ἐν τῷ Παιᾶνι.

— Στ. 103-108. Εὐξενίδα . . . ἐμπεσεῖν] Μετὰ τοὺς ἐπαίνους τοῦ πατρὸς ἔρχεται καὶ εἰς τοὺς τοῦ υἱοῦ. «Εὐξενίδα τὴν φατρίαν Σώγενες, ὁρκίζομαι, ὅτι οὐκ ἔβαλον τοὺς ἐκ τῆς ἐμῆς γλώσσης λόγους πέραν τῆς ἀληθείας, ὡς οἱ πένταθλοι, οἳ βάλλουσιν ὑπὲρ τὸ τέρμα τὸ ἀκόντιον, λέγων περὶ σοῦ, ὃς τὸν αὐχένα καὶ τὸ ἰσχυρὸν σῶμα ἐξήγαγες ἐκ τῶν ἀγωνισμάτων τοῦ πεντάθλου πρὶν ἢ ὁ ἱδρὼς βρέξῃ καὶ ὁ θερμὸς ἥλιος καύσῃ αὐτά». Λέγει ταῦτα ὁ ποιητὴς βουλόμενος νὰ σημάνῃ τὸ τάχος τῆς νίκης τοῦ Σωγένους. — Εὐξενίδα] «φατρία ἐν Αἰγίνῃ ἀπὸ Εὐξένου, ἧς ἐστιν ὁ Σωγένης» Π. Σ. — πάτραθε] «ἐκ πάτρας, ἐκ τῆς φατρίας» — ἀπομνύω . . . γλῶσσαν] «καθίημι τοῦ σκοποῦ, ἡ γλῶσσά μου ἐπὶ τὸν σκοπὸν ἀνήνεκται, οὐχ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον· τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων· διότι

στ. 111. ἂν μακρὸν ἕνεκα τοῦ ἀμεταβόλου.

καὶ Σωγένης πένταθλός ἐστιν· μετενήνοχε ἀπὸ τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων δι᾿ ἀπληστίαν ἰσχύος» Π. Σ. — τέρμα] τὸ τέρμα, εἰς ὃ δέον νὰ ἀφικνῆται ἡ γλῶσσά, ἐστιν ἡ ἀλήθεια· ὅθεν μὴ τ έ ρ μ α π ρ ο β ά ς» μὴ ὑπερβὰς τὴν ἀλήθειαν. — ὥστε ἄκονθ᾿ χαλκοπάραον] ἀναπλήρωσον «ὥστε (ὡς) ὀρνύασιν ἄκοντα χαλκοπάρηον οἱ πένταθλοι, ἢ οἱ ἀκοντισταί». Ἑνὶ λόγῳ ὁ νοῦς «ὀμνύω, ὅτι λέγω τὴν ἀλήθειαν, λέγων περὶ σοῦ, ὃς ἐξέπεμψας κ. ἑξῆς». — ὃς ἐξέπεμψας . . . ἐμπεσεῖν] «ὅστις, σὺ ὁ Σωγένης, τῶν τοῦ πεντάθλου ἀγωνισμάτων ἐξέπεμψας τὸ γυῖον ἄνευ ἱδρῶτος πρὶν ἐπιπεσεῖν τῇ τοῦ ἡλίου ἀκτῖνι, «ἐκ δὲ τούτου τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει. Ἔνιοι δὲ, ὡς νικήσας, φασὶ, τὸ ἀκόντιον ἐστέφθη, οὐκέτι μέντοι ἐπάλαισε, παραιτησαμένων αὐτὸν τῶν ἄλλων· ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβοῦσι καὶ τὸν πλείονα χρόνον ἐν τῷ ἡλίῳ μένουσι, διὰ τοῦτό φησιν· π ρ ὶ ν ἁ λ ί ῳ γ υ ῖ ο ν ἐ μ π ε σ ε ῖ ν, τουτέστι πρὸ τοῦ ἐκλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ ἡλίου διὰ τὴν πάλην, ἀντὶ τοῦ εἰπεῖν· πρὸ τοῦ παλαῖσαί σε» Π. Σ. — καὶ σθένος] καὶ τὰ λοιπὰ σθεναρὰ γυῖα, μέλη τοῦ σώματος. — ἀδίαντον] «ἄβρεκτον ὑπὸ ἱδρῶτος». — γυῖον] μέλος τι τοῦ σώματος, συνεκδοχικῶς ἀντὶ τοῦ «τὸ σῶμα».

— Στ. 109. «ὅσον ὁ πόνος τοῦ νικῆσαι οὕτω ταχέως ἦν μέγας, τοσούτῳ μεγάλη καὶ ἡ τέρψις ἐκ τούτου προσγίνεται τῷ νικήσαντι». — πεδέρχεται] ἡ πρόθεσις π έ δ α Αἰολοδωρικὴ ἀντὶ τῆς μετά.

— Στ. 110-119. Ἔα με . . . δόνει ἀσυχῇ] Ὁ ποιητὴς πρὸς τὸν χορὸν «Συγχώρησόν μοι, εἰ ὑψώσας κατά τι τὴν φωνὴν ἀνέκραξα τερπνὰ τῷ νικητῇ· διότι οὐκ εἰμὶ δύσκολος νὰ παρέχω τέρψιν τοῖς νικῶσιν». Ὁ δὲ χορὸς πρὸς τὸν ποιητὴν «νὰ πλέκῃς» στεφάνους εὔκολόν ἐστιν· ἄφες νῦν τοῦτο· διότι ἡ Μοῦσα δύναται εὐκόλως νὰ κατασκευάζῃ στεφάνους κολλῶσα ὁμοῦ χρυσὸν καὶ

Ἀνέκραγον· οὐ τραχύς εἰμι καταθέμεν.
Εἴρειν στεφάνους, ἐλα-
φρόν· ἀναβάλλεο. Μοῖσά τοι
Κολλᾷ χρυσὸν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾷ,
Καὶ λείριον ἄνθεμον πον-
τίας ὑφελοῖσ' ἐέρσας.

Ἐ. δ'. Κ. ζ'.

Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ
Πολύφατον ὕμνων θρόον δόνει.

λευκὸν ἐλέφαντα καὶ λείριον ἄνθος τῆς ποντίας θαλάσσης· ἀλλὰ τοῦ ἐν Νεμέᾳ Διὸς μεμνημένος τὸν πολύφημον ἦχον τῶν ὕμνων μεθ' ἡσυχίας δόνει ἡμῖν». — Ἔα με] Ἀποτείνεται πρὸς τὸν χορὸν τὸν συνιστάμενον ἐξ Αἰγινητῶν· διότι ὁ μὲν ποιητὴς ὑποβάλλει τρόπον τινὰ, ὁ δὲ χορὸς ᾄδει, ἃ ὑποβάλλει ὁ ποιητής. Ὑποτίθεται λοιπὸν, ὅτι ὁ χορὸς ἐπιθυμεῖ νὰ μὴ ἐμμένῃ ἔτι ὁ Πίνδαρος εἰς τὴν περιγραφὴν τῶν ἐν τῇ νίκῃ τοῦ Σωγένους συμβάντων, ἀλλὰ νὰ ὑπαγορεύῃ ἄλλης ὑποθέσεως σοβαρωτέρας καὶ σεβαστοτέρας τοῖς Αἰγινήταις (ὅρα κατωτέρω Σημ. εἰς στ. 120-127) πράγματα. Λέγει λοιπὸν ὁ ποιητὴς τῷ χορῷ «Ἔα με κ. ἑξῆς». — νικῶντι . . . ἀνέκραγον] Καλεῖ χ ά ρ ι ν ν ι κ ῶ ν τ ι τὴν περιγραφὴν τῆς νίκης, ἥτις ἐστὶ χάρις καὶ τέρψις τῷ νικητῇ νὰ ἀκούῃ αὐτὴν ᾀδομένην. Αἱ δὲ λέξεις ἀ ε ρ θ ε ί ς τ ι ἤτοι «ἄρας τὴν ἐμαυτοῦ φωνήν», καὶ ἡ ἀ ν έ κ ρ α γ ο ν ἁρμόζουσι τῷ χορῷ· διότι ὁ χορὸς αἴρει τὴν φωνὴν καὶ ἀνακράζει. Ἀπὸ τοῦ χοροῦ λοιπὸν αὐτὰς μετήνεγκεν εἰς ἑαυτὸν, ὅστις ὑποβάλλει, ἤτοι ὑπαγορεύει τῷ χορῷ, τί

στ. 114. ἀ ν α β ά λ λ ε ο· αἱ τελευταῖαι δύο συλλαβαὶ ἀναγνωστέαι ὡς μία.

στ. 119. Διορθοῦσιν ἕνεκα τοῦ μέτρου π ο λ ύ φ α τ ο ν δ ό ν ε ι ὕ μ ν ω ν θ ρ ό ο ν· ἢ π ο λ ύ φ α τ ο ν θ ρ ό ο ν ὕ μ ν ω ν δ ό ν ε ι.

καὶ πῶς νὰ ᾄσῃ. Ὅθεν ἄνευ μεταφορᾶς ὁ νοῦς ἐστιν «Συγχώρησόν μοι, εἰ ὑπέβαλόν σοι χάριν τῷ νικητῇ, ἵνα ἄρας τὴν φωνὴν ἀνακράξῃς αὐτήν». — οὐ τραχὺς] «οὐ σκληρὸς, ἀλλὰ μαλακὸς καὶ εὐλόγιστος· ὅθεν οὐ τραχύς εἰμι ἴσον τῷ «ἐπιθυμῶ, ἀγαπῶ». — καταθέμεν] «νὰ καταθέσω χάριν τῷ νικῶντι». — Εἴρειν στεφάνους κ. ἑξῆς] Ταῦτα ἀποκρίνεται ὁ χορὸς πρὸς τὸν ποιητήν. — στεφάνους] ἐγκώμια εἰς νίκας. — ἀναβάλλεο] «ἄφες τοῦτο εἰς ἄλλην εὐκαιρίαν· νῦν ποίει, ἤτοι ὑπαγόρευε ὑμῖν, ἵνα ᾄσωμεν σοβαρώτερα». — Μοῖσά τοι κολλᾷ ἀμᾷ] Ἐκ τοῦ ἀνωτέρω εἴρειν ἐλαφρόν· παράλαβε καὶ ἐνταῦθα τὴν λέξιν «ἐλαφρὸν» κατὰ ταύτην τὴν ἔννοιαν «ἡ Μοῦσά σου εἰς εἱρμὸν στεφάνων ἐλαφρῶς, εὐκόλως ἀμᾷ κολλᾷ (συγκολλᾷ) χρυσὸν κ. τ. λ. Ὅθεν ἀνάβαλε τοῦτο εἰς ἄλλον καιρὸν, ὅτε γενήσεται ἀνάγκη. — ἐν] «ἐν τοῖς στεφάνοις». — λείριον ἄνθεμον] «τινές φασιν εἶναι κουράλιον, εἰρῆσθαι δὲ αὐτὸ ἄνθεμον ποντίας ἐέρσας διὰ τὸ δοκεῖν, ἕως μέν ἐστι κατὰ βάθος, ἁπαλὸν εἶναι καὶ φυτῷ ὅμοιον· ὅταν δὲ ἀνασπασθῇ καὶ γένηται ἔξω τοῦ ὕδατος, ἀπολιθοῦσθαι τοῦ ἡλίου καταλάμψαντος αὐτῷ. Οἱ δὲ ποντίαν δρόσον (ἔερσαν) τὴν πορφύραν φασὶ διὰ τὴν τοῦ κογχυλίου βαφὴν, λείριον δὲ ἄνθος τὸ ἔριον» Π. Σ. — Διὸς δὲ . . . δόνει] Ἐξακολουθεῖ ὁ χορός. «Ἄφες λοιπὸν τοὺς στεφάνους τῆς νίκης· ἤδη δὲ ὕμνησον μεθ' ἡσυχίας τὸν ἐν Νεμέᾳ Δία». — δόνει θρόον] ἡ μεταφορὰ ἐκ τοῦ θροῦ, ὃν αἱ χορδαὶ τῆς λύρας δονούμεναι ἐκβάλλουσιν. Ὅθεν πολύφατον . . . δόνει ἄνευ μεταφορᾶς σημαίνει «ποίει, ἢ ὑπαγόρευε ἡμῖν (τῷ χορῷ) πολυφάτους ὕμνους». — ἀσυχᾷ] «τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν πολυθρύλλητον λόγον ὕμνων ἀνακίνει ἐμμούσως καὶ τεταγμένως περί τε Νεμέαν καὶ τὸν Δία. Τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σωγένης» Π. Σ. — Διὸς ἀμφὶ Νεμέᾳ] τοῦ ἐν Νεμέᾳ Διός.

Ἁσυχῇ· βασιλῆα δὲ θεῶν
Πρέπει δάπεδον ἀν' τό-
δε γαρυέμεν θευμερᾷ
Ὀπί. λέγοντι γὰρ Αἰακόν
Μιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

Σ. ε΄. Κ. ιβ΄.

Ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,
Ἡράκλεες, σέο δὲ προπρεῶνα
Μὲν ξεῖνον ἀδελφεόν τ'· εἰ δὲ γεύεται
Ἀνδρὸς ἀνήρ· τί φαῖμέν κε γείτον' ἔμμεναι,
Νόῳ φιλήσαντά γ' ἀτενεῖ,

— Στ. 120-127. βασιλῆα δὲ . . . ἀδελφεόν τ'] «διότι κατὰ τὸ ἔδαφος τοῦτο τῆς Αἰγίνης πρέπει νὰ ᾄδω (ἐγὼ ὁ χορὸς) θείᾳ μολπῇ τὸν βασιλέα τῶν θεῶν τὸν φυτεύσαντα τὸν Αἰακὸν τὸν πολίαρχον μὲν τῆς ἐμῆς πατρίδος, ξένον δὲ καὶ ἀδελφὸν τοῦ Ἡρακλέους». Ἐν τούτοις ὁ ποιητὴς ἐξηγεῖται τὴν αὐτοῦ διάνοιαν· διὰ τί δηλονότι ὁ χορὸς κελεύει αὐτὸν νὰ ἀφῇ ἤδη τοὺς τῆς νίκης τοῦ Σωγένους ὕμνους καὶ νὰ ὑμνήσῃ τὸν Δία· διότι ὁ ὕμνος τοῦ Διὸς τοῦ πατρὸς τοῦ ἀρχηγέτου τῶν Αἰγινητῶν ἐστι κοινὸν χρέος ἅμα καὶ τιμὴ ἁπάσης τῆς

στ. 121. γάπεδον ἐκ διορθώσεως· διότι νομίζουσίν τινες ὅτι ἡ πρώτη συλλαβὴ τῆς λέξεως δάπεδον οὐκ ἐκτείνεται.

στ. 122. Τὴν λέξιν θευμερᾷ μὴ Ἑλληνικὴν θεωροῦντες διορθοῦσιν εἰς εὐμόρᾳ, εὐθρόᾳ. Εἰ τῷ ὄντι οὐκ ἔστιν Ἑλληνικὴ, ἡ διαφθορὰ ἐγένετο, ὥς τινες νομίζουσιν, ἐκ τῆς λέξεως «θευμόρᾳ» ἢ «θευμόρω» ἥτις οὕρηται ἐν Ὀλ. Γ΄. 18. (θεύμοροι τιμαί).

στ. 126. προπρεῶνα, ἐνταῦθα μόνον εὕρηται ἡ λέξις. Παράγουσι δὲ ἐκ τοῦ πρών, πρηών, πρεὼν καὶ μετὰ τῆς προθέσεως προπρεών.

στ. 127. δεύεται ἑτέρα γραφὴ ἀντὶ τοῦ γεύεται.

πατρίδος, ἣ κατὰ τοὺς παλαιούς ἐστι προτιμοτέρα καὶ τιμιωτέρα μητρὸς καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων, καὶ ᾗ ἕκαστος ὀφείλει νὰ ὑπείκῃ. Αὕτη λοιπὸν ἡ ἔννοια περιέχεται ἐν τοῖς β α σ ι λ έ α θ ε ῶ ν π ρ έ π ε ι δ ά π ε δ ο ν ἀ ν ' τ ό δ ε γ α ρ υ έ μ ε ν. — λέγοντι γάρ μιν φυτεῦσαι Αἰακόν] Διὰ τί πρέπει ἐν τούτῳ τῷ ἐδάφει ὁ Ζεὺς νὰ ὑμνῆται; διότι αὐτὸς (μ ι ν) λέγουσιν ὅτι ἐφύτευσε τὸν Αἰακόν. — ὑπὸ ματροδόκοις γοναῖς] «διὰ σπέρματος, ὅπερ ἐδέξατο ἡ μήτηρ αὐτοῦ (τοῦ Αἰακοῦ), ἡ Νύμφη, ἡ μήτρα Αἰγίνης». — Ἡράκλεες . . . ἀδελφεόν τ'] Εἴπομεν ἐν τῇ εἰσαγωγῇ, ὅτι ὁ κῶμος, ἐν ᾧ ἡ ᾠδὴ αὕτη ᾔδετο, ἐτελεῖτο περὶ ναόν τινα ἢ βωμὸν τῆς Εἰλειθυίας. Ὁ ναΐσκος λοιπὸν οὗτος φαίνεται, ὅτι ἔκειτο περὶ τὴν οἰκίαν τοῦ Θεαρίωνος ἐγγὺς τῶν τεμενῶν τοῦ Ἡρακλέους, ἃ ἑκατέρωθεν ἔκειντο τῆς οἰκίας. Ἐκ τούτου ἄρα ὁ χορὸς λαμβάνει ἀφορμὴν βλέπων πρὸς τὰ τεμένη νὰ ἀποταθῇ πρὸς τὸν Ἡρακλέα. — προπρεῶνα] «πρόθυμον ὡς ὑποδεδεγμένον καὶ ἐξενικότα αὐτόν» Π. Σ. «qui prodit sponte et libens ad excipiendum te, quasi προπροϊών» λεξικ. Dunc. — μὲν — τε] ἡ τοιαύτη συμπλοκὴ παρὰ Πινδάρῳ οὐκ ἀσυνήθης.

— Στ. 127-136. Εἰ δὲ γεύεται . . . ἀγυιάν] «ἐὰν δὲ οἱ ἄνθρωποι βοηθῶνται ἀλλήλοις ἐν ταῖς κοινωνικαῖς χρείαις, τί ἂν εἴποιμεν, ὅτι τῷ γείτονί ἐστι γείτων φίλος ἀγαθὸς καὶ πρόθυμος; χάρμα ἀντάξιον πάντων τῶν ἀγαθῶν· ἐὰν δὲ καὶ περὶ θεοῦ γείτονος τὸ αὐτὸ δύνηται νὰ λεχθῇ, ἐν τῇ σῇ προστασίᾳ, ὃς ἐδάμασας τοὺς Γίγαντας, ἐπιθυμεῖ ὁ Σωγένης εὐτυχῶς νὰ οἰκῇ τὴν πλουσίαν ἀγυιὰν τῶν αὐτοῦ προγόνων, τρυφερῶς περιποιούμενος καὶ θεραπεύων τὸν θυμὸν τοῦ πατρός». — εἰ δὲ γεύεται . . . ἀνδρός] «οἱ ἄνθρωποι ἐν τῇ κοινωνίᾳ καὶ μὴ γείτονες ὄντες γεύονται ἀλλήλων, ἤτοι ὠφελοῦνται παρ' ἀλλήλων· εἰ λοιπὸν ὠφελοῦνται». — τί φαῖμεν . . . γείτονι;] «τί ἂν εἴη τούτου μεῖζον, τοῦ εὑρεῖν γείτονας

Γείτονι; χάρμα πάντων
Ἐπάξιον· εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι,
Ἐν τίν κ' ἐθέλει, Γίγαν-
τας ὃς ἐδάμασας, εὐτυχῶς
Ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
Θυμὸν προγόνων εὐκτή-
μονα ζαθέαν ἀγυιάν

Ἀ. έ. Κ. ιβ'.

Ἐπεί, τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς,
Ἐν τεμένεσσι δόμον ἔχει τε-

ἀλλήλους φιλοῦντας;» Π. Σ. κάλλιον «τί ἂν εἴη τούτου μεῖζον ἀγαθόν, τοῦ εἶναι τοὺς γείτονας ἀλλήλους φιλοῦντας;» Οἱ Π. Σ. ἀναφέρουσιν ἐκ τοῦ Ἡσιόδου (ἔργα καὶ ἡμέρ. 345)

Γείτονες ἄζωστοι ἔκιον· ζώσαντο δὲ πηοί·
Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγα ὄνειαρ·

— νόῳ ἀτενεῖ] «εὐνοίᾳ συντόνῳ» Δούκας. — γείτονι;] ἀναπληρωτέον «γείτονι φιλήσαντι νόῳ ἀτενεῖ;» — χάρμα . . . ἐπάξιον] ἀποκρίνεται πρὸς τὸ «τί φαῖμεν . . . γείτονι;». — εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι] «ἐὰν δὲ καὶ θεὸς ἔχῃ αὐτό, τὸ εἶναι δηλονότι γείτων ἀτενεῖ νόῳ φιλῶν γείτονι φιλοῦντι καὶ αὐτῷ ἀτενεῖ νόῳ». — ἐν τίν κ' ἐθέλει Σωγένης ναίειν] «ἐν τῇ γειτνιάσει σοῦ, ὦ Ἡράκλεις, ὁ Σωγένης, ὁ καὶ αὐτὸς ἀτενεῖ νόῳ φιλῶν σὲ τὸν γείτονα, θέλει νὰ οἰκῇ». Ἐν τῷ τ ι ν ἐξυπακούεται ἐκ τῆς ὑποθέσεως τὸ «φιλοῦντι τὸν γείτονα ἀτενεῖ νόῳ». — Σωγένης] καὶ ἐν τῇ λέξει ταύτῃ ἐξυπακουστέα τὰ «ὁ φιλῶν καὶ αὐτὸς τὸν γείτονα ἀτενεῖ νόῳ». — θέλει ναίειν εὐτυχῶς εὐκτήμονα προγόνων ἀγυιὰν] Τὴν ἀγυιάν, παρ' ἣν ἔκειτο ἡ οἰκία τοῦ Θεαρίωνος, καλεῖ εὐκτήμονα καὶ

ζαθέαν· διότι παρ' αὐτὴν ἦσαν, φαίνεται, πολλαὶ οἰκίαι πλουσίων Αἰγινητῶν, καὶ ἐκτὸς τῶν δύο ναῶν τοῦ Ἡρακλέους τῶν ἑκατέρωθεν τῆς οἰκίας τοῦ Θεαρίωνος ὄντων καὶ τοῦ τῆς Εἰλειθυίας ἦσαν ἴσως καὶ ἑτέρων θεῶν ναοί. Καλεῖ δ' ἔτι αὐτὴν καὶ ἀγυιὰν τῶν προγόνων βουλόμενος νὰ εἴπῃ, ὅτι ἡ οἰκία αὕτη κατὰ κληρονομίαν ἀπὸ παλαιῶν προγόνων ἀνήκει τῷ Σωγένει· ὅπερ ἐστὶ σημεῖον εὐγενείας.

— Στ. 137-139. Ἐπεὶ τετραόροισιν . . . ἰῶν χειρὸς] «ἔχει τὸν οἶκον ἐν τῷ μέσῳ τῶν σῶν τεμενῶν οὕτω, ὡσεὶ ἐπορεύετο ἐπὶ τετραόρου ἅρματος ὀχούμενος ὑπὸ ἵππων ἐζευγμένων ζυγοῖς, τῷ μὲν ἐξ ἀριστερᾶς χειρὸς, τῷ δὲ ἐκ δεξιᾶς». Ὁ οἶκος τοῦ Σωγένους καὶ οἱ ἑκατέρωθεν ναοὶ τοῦ Ἡρακλέους οὕτω κεῖνται παρὰ τὴν ἀγυιὰν, ὥστε σχηματίζουσιν ἐν τῇ φαντασίᾳ τοῦ ποιητοῦ τετράορον ἅρμα, καὶ ὁ μὲν οἶκος παρομοιοῦται τῷ ἅρματι (τῷ ἁμάξι), οἱ δὲ δύο ναοὶ τοῖς δυσὶ ζυγοῖς τοῦ τεθρίππου, οἷς εἰσιν ἐζευγμένοι, ὡς φαντάζεται ὁ Πίνδαρος, τέσσαρες ἵπποι τοῦ Ἡρακλέους ἀνὰ δύο ἑκάστῳ. Περιγράφων λοιπὸν τὴν φανταστικὴν ὁμοιότητα ταύτην ὁ ποιητὴς βούλεται νὰ εἴπῃ «ὥσπερ οἱ ἀγαθοὶ καὶ γενναῖοι ἵπποι τετραόρου ἅρματος οὐ φέρουσιν τὸ ὄχημα εἰς δυσβάτους τόπους, ἀλλὰ καὶ ἐν κινδύνῳ τυχὸν εὑρεθέντα τὸν ἐπιβάτην σώζουσιν, οὕτω καὶ οἱ ἵπποι τοῦ Ἡρακλέους τοῦ ἐν τοῖς ναοῖς τούτοις λατρευομένου σώζουσι τὸν οἶκον (τὴν οἰκογένειαν) τοῦ Θεαρίωνος ἐξ ἀμαχανιᾶν δυσβάτων (στ. 143). Ἡ σύνταξις τοῦ χωρίου ἐστὶν «ἔχει (ὁ Σωγένης, ἢ ὁ Θεαρίων) τὸν δόμον ἐν τεμένεσι τεοῖς ἀμφοτέρας χειρὸς (τεμένεσιν οὖσι τῷ μὲν τῆς δεξιᾶς χειρὸς τοῦ Θεαρίωνος, τῷ δὲ τῆς ἀριστερᾶς, ἢ τεμένεσι πρὸς δεξιὰν καὶ ἀριστερὰν τοῦ Θεαρίωνος) ὦτε (ὡς) ἰῶν ζυγοῖς ἁρμάτων τετραόροισιν (τετραόρων ἁρμάτων)». — τετραόροισιν ἁρμάτων ζυγοῖς] ὑπαλλαγὴ πτώσεων ἀντὶ τοῦ «ζυγοῖς τετραόρων ἁρμάτων·

οἷς ἀμφοτέρας ἰὼν χειρός. ὦ μάκαρ,
Τὶν δ' ἐπέοικεν, Ἥραν πόσιν τε πειθέμεν
Κόραν τε γλαυκώπιδα· δύνα-
σαι δὲ βροτοῖσιν ἀλκὰν
Ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
Εἰ γάρ σφισιν ἐμπεδο-
σθενέα βίοτον ἁρμόσαις

τοῦτο δὲ πάλιν ἀντὶ τοῦ «ζυγοῖς τετραόρου ἅρματος». Τῇ δὲ λέξει ζ υ γ ο ῖ ς συντακτέον τὸ ἀ μ φ ο τ έ ρ α ς χ ε ι ρ ὸ ς, ἵνα σημάνῃ δύο ζυγούς, ὑφ' οὓς φαντάζεται ὁ ποιητής, ὅτι εἰσὶν ἵπποι ἐξευγμένοι ἀνὰ δύο ὑφ' ἕκαστον, τὸν μὲν πρὸς τὴν ἀριστερὰν χεῖρα τοῦ ὄντος ἐν τῷ οἴκῳ Σωγένους, ὡς ὀχουμένου ἐπ' αὐτοῦ καὶ ἰόντος, τὸν δὲ πρὸς τὴν ἀριστεράν. — ὦθ'] ὥτε, ὡς· συντακτέον τῷ ἰ ώ ν. Οὕτω λοιπὸν τὰ «ὡς ἰὼν ζυγοῖς ἀμφοτέρας χειρὸς τετραόροισιν ἁρμάτων» σημαίνουσιν «ὡσὰν νὰ πορεύηται ὀχούμενος ὑπὸ τεσσάρων ἵππων ἐζευγμένων ἀνὰ δύο ὑπὸ ζυγοὺς δύο, τὸν μὲν πρὸς τὴν ἀριστερὰν χεῖρα, τὸν δὲ πρὸς τὴν δεξιάν». — δόμον] οὐ παραβάλλει τὸν δόμον πρὸς τὸν ῥυμὸν τοῦ ἅρματος, ὡς νομίζουσι, περὶ οὗ παραλείπει ὁ ποιητὴς νὰ εἴπῃ θεωρῶν ἢ ὡς μὴ ἀναγκαῖον νὰ εἴπῃ, ἢ ὡς μὴ χρωμένων ῥυμῷ (τιμῶνι) ἐν τῷ μέσῳ τῶν δύο ζυγῶν τῶν τετραόρων ἁρμάτων· παραβάλλει δὲ αὐτὸν ὡς εἴπομεν, πρὸς τὸ ὄχημα (τὸ ἁμάξι). — ἀμφοτέρας χειρὸς] ἐξήρτηται οὐχὶ ἐκ τοῦ ἰ ὼ ν, ἀλλὰ καθ' ὑπέρβασιν ἐκ τοῦ ζ υ γ ο ῖ ς καὶ ἐκ τοῦ τ ε μ έ ν ε σ ι ν.

— Στ. 140-141. ὦ μάκαρ, τὶν δ' ἐπέοικεν . . . γλαυκώπιδα] «ὦ μακάριε Ἡράκλεις, σοὶ ἄρα, ὃς εἶ γείτων τῷ Σωγένει, οὗ τὰ τεμένη μετὰ τοῦ οἴκου τοῦ Θεαρίωνος σχηματίζουσι τέθριππον ἅρμα, σοὶ πρέπει νὰ πείσῃς εἰς προστασίαν τοῦ Σωγένους τὴν Ἥραν, ἧς τὴν κόρην Ἥβην ἔχεις ἄλοχον, καὶ τὸν σὸν πατέρα Δία, τὸν

σύζυγον τῆς Ἥρας, καὶ τὴν κόρην τοῦ πατρός σου Ἀθηνᾶν» — πειθέμεν] εἰς τί; εἰς τὸ εὔφρονας εἶναι τῷ οἴκῳ τοῦ Θεαρίωνος καὶ διδόναι αὐτῷ ἀλκὰν δυσβάτων ἀμηχανιῶν· ἃ παραλείπει ἐνταῦθα ὁ ποιητής, δέον νὰ παραλάβωμεν αὐτὰ ἐκ τῶν ἑπομένων.

— Στ. 142-143. δύνασαι δὲ . . . διδόμεν] «διότι δύνασαι εἰσακουόμενος ὑπὸ τῆς Ἥρας καὶ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς νὰ παρέχῃς δύναμιν τοῖς ἀνθρώποις νὰ ἐξέρχωνται τῶν ἀμηχανιῶν ὡς ἀπὸ δυσβάτων χωρῶν». — δυσβάτων ἀμαχανιᾶν] Ἔχει ἐν τῷ νῷ τὴν ἀνωτέρω παρομοίωσιν τοῦ τετραόρου ἅρματος· διὸ ἐκάλεσε τὰς ἀμηχανίας δυσβάτους παραβάλλων αὐτὰς πρὸς δυσβάτους χώρας, ἀφ' ὧν οἱ ἀγαθοὶ καὶ γενναῖοι ἵπποι εὐτυχῶς ἐξάγουσι τὸν ἐπὶ τοῦ ἅρματος ὀχούμενον. — θαμὰ] Θαυμαστὴ ἡ βραχυλογία τοῦ Πινδάρου. Οἱ βροτοὶ συχνάκις, ὅταν ἐν ἀμηχανίαις εὑρεθῶσιν, ἐπικαλοῦνται τὴν βοήθειαν τοῦ Ἡρακλέους καὶ σώζονται· τοῦτο λοιπὸν ἔχων ἐν τῷ νῷ ὁ ποιητὴς ἔθηκεν ἐνταῦθα τὴν λέξιν θαμά, ἀναπληρουμένου τοῦ λόγου οὕτω πως «διδόμεν θαμὰ (τοσάκις), ὁσάκις ἐπικαλοῦνταί σε οἱ βροτοί».

— Στ. 144-149. Εἰ γάρ σφισιν . . . ὄπιθεν] Τὰ μέχρι τοῦδε ἀπὸ στ. 113 ἐλέγοντο ἀπὸ τοῦ χοροῦ. Ταῦτα δὲ μέχρι τέλους λέγει ὁ ποιητής· «εἴθε συνενώσας εὐαρμόστως τοῖς ἐν τῷ οἴκῳ τούτῳ οἰκοῦσι βίον ἰσχυρὸν καὶ ἔμμονον κατασκευάζοις ἀεὶ αὐτὸν νὰ ᾖ εὐδαίμων καὶ τοῖς ἡβῶσι καὶ τοῖς λιπαρῶς γηράσκουσιν· εἴθε δὲ τὴν παροῦσαν δόξαν ἔχοιεν ἀδιαλείπτως οἱ παῖδες τῶν παίδων καὶ ἐν τῷ μέλλοντι ἀεὶ κρείσσονα». — σφίσιν] αὐτοῖς, οἳ ὄντες ἐν τῷ δόμῳ ὀχοῦνται ὡς ἐφ' ἅρματος ὑπὸ τῶν ἵππων τοῦ Ἡρακλέους. Ἐννοεῖ λοιπὸν οὐ μόνον τὸν Σωγένη καὶ τὸν πατέρα, ἀλλ' ἅπαντας τοὺς ἐν τῷ οἴκῳ. — ἐμπεδοσθενέα] «ἐμμόνως σθεναρόν». — ἁρμόσαις] καλῶς τὸ ἁρμόσαις· διότι ὃ ἥρμοσται, οὐκ εὐκόλως ἀποχωρίζεται. — ἥβᾳ γήρᾳ τε] Διὰ τοῦ ἥβῃ οὐκ ἐννοεῖ

Ἥβᾳ λιπαρῷ τε γήρᾳ διαπλέκοις
Εὐδαίμον᾽ ἐόντα· παίδων
Δὲ παῖδες ἔχοιεν αἰεὶ
　　　　Ἐ. ἑ. Κ. ζ΄.
Γέρας, τό περ νῦν, καὶ ἄρειον ὄπιθεν.
Τὸ δ᾽ ἐμὸν οὔ ποτε φάσει κέαρ
Ἀτρόποισι Νεοπτόλεμον ἑλ-
　　κύσαι ἔπεσσι· ταὐτὰ
Δὲ τρὶς τετράκις τ᾽ ἀμπολεῖν

μόνον τὸν Σωγένη, ἀλλ᾽ ἅπαντας τοὺς ἐν τῷ δόμῳ τοῦ Θεαρίωνος ἡβῶντας, καὶ συνεκδοχικῶς ἅπαντας τοὺς παῖδας αὐτοῦ· διὰ δὲ τοῦ γ ή ρ ᾳ ἐννοεῖ τοὺς γονεῖς. Ἐξήρτηται δὲ ἡ δοτικὴ ἐκ τοῦ ἐ ό ν τ α. — διαπλέκοις . . . ἐόντα] Τὸ ἐ ό ν τ α ἐστὶ τελικὴ μετοχή· «διαπλέκοις (κατασκευάζοις διὰ παντὸς) τὸν ἐμπεδοσθεντὴ τοῦτον βίον οὕτως, ὥστε (ἐόντα) νὰ ᾖ εὐδαίμων, ὥστε ἡ ἥβη καὶ τὸ λιπαρὸν γῆρας νὰ εὐδαιμονῇ». Τὸ δὲ ἐπίθετον «λιπαρῷ» οὐ μένει ἀργὸν κατὰ τὴν ἐξήγησιν ταύτην· διότι λιπαρὸν γῆρας σημαίνει «γῆρας, ὃ διάγει τις ἔχων ἄφθονα ἅπαντα τὰ ὑλικὰ ἀγαθὰ, γῆρας μετὰ πλούτου»· ἀλλὰ μόνα τὰ ὑλικὰ ἀγαθὰ οὐκ ἀρκοῦσιν εἰς τὸ ζῆν τὸν γέροντα εὐδαίμονα. — παίδων δὲ παῖδες] «οἱ δὲ παῖδες τῶν παίδων τοῦ Θεαρίωνος καὶ οἱ παῖδες κ. ἑξῆς». — ἔχοιεν αἰεὶ] Τὸ αἰεὶ σημαίνει τὴν ἀδιάκοπον διαδοχὴν τὸν παίδων. — γέρας] τὴν ἐκ τῆς νίκης δόξαν καὶ τὴν παρὰ τοῖς πολίταις ἐπισημότητα. — τό περ νῦν] ὅπερ νῦν ἔχουσιν.

στ. 152. ἐ π έ ε σ σ ι ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου.

στ. 153. τ ρ ὶ ς τ ε τ ρ ά κ ι ς. Καὶ αἱ λέξεις αὗται μαρτυροῦσιν, ὅτι ὁ ποιητὴς ἐν στ. 89. κ. ἑξῆς ἀπελογήθη, ὑπὲρ ὧν εἶπε περὶ Νεοπτολέμου· διότι εἰπὼν περὶ Νεοπτολέμου ἐν στ. 48. κ. ἑξῆς ἅπαξ, ἐν στ. 89. κ. ἑξῆς δὶς, ἐνταῦθα εἴρηκε τρίς.

— 150-155. Τὸ δὲ ἐμὸν . . . Κόρινθος] «Ὁ ποιητὴς ἐν τῇ παρούσῃ ᾠδῇ ἐπῄνεσε τὸν Νεοπτόλεμον ἀπὸ στ. 48-75. Ἀπελογήθη ὑπὲρ ὧν εἶπεν ἐν τῷ εἰς Δελφοὺς Παιᾶνι περὶ αὐτοῦ ἀπὸ στ. 89-102. Ἤδη δὲ τελειώσας τοὺς ἐπαίνους τοῦ Σωγένους λέγει ἐν τῷ ἐπιλόγῳ ταῦτα, ἅπερ οὕτω συνέχονται τῷ λόγῳ «Καὶ ὁ μὲν Σωγένης ἱκανῶς ὑμνήθη· ἱκανῶς δὲ ὕμνησα καὶ τὸν Νεοπτόλεμον ἀπολογησάμενος ἅμα, περὶ ὧν εἶπον ἐν τῷ Παιᾶνι περὶ αὐτοῦ. Καὶ οἱ μὲν Αἰγινῆται παρενόησαν τὰ ἐν τῷ Παιᾶνί μοι εἰρημένα· ἡ δὲ ἐμὴ ψυχὴ ἀθῶα οὖσα οὐδέποτε θὰ συνομολογήσῃ αὐτοῖς, ὅτι ἐσπάραξεν ἀπρεπέσι λόγοις τὸν Νεοπτόλεμον· τὸ δὲ νὰ ἀναμασσῶμαι, ὡς φλύαρος πατὴρ τοῖς τέκνοις, τὰ αὐτὰ τρὶς καὶ τετράκις, τοῦτό ἐστιν ἀπορία λόγων, Διὸς Κόρινθος κατὰ τὴν παροιμίαν». — Τὸ δὲ ἐμὸν κέαρ] «οἱ μὲν Αἰγινῆται νομιζέτωσαν περὶ τῶν ἐν τῷ Παιᾶνι λόγων, ὅ,τι βούλονται· ἡ ψυχή μου ὅμως». — ἔπεσσιν ἀτρόποισιν] ἄνευ χρηστῶν τρόπων. — ἑλκύσαι Νεοπτόλεμον] Ἐπειδὴ ὁ Νεοπτόλεμός ἐστι τεθνεώς, ὁ δὲ ὑβρίζων τοὺς νεκροὺς δύναται νὰ παραβληθῇ πρὸς τοὺς κύνας, οἳ κατασπαράσσουσι τὰ σώματα τῶν νεκρῶν, διὰ τοῦτο ἐχρήσατο τῷ ἑ λ κ ύ ε ι ν, ὅπερ λέγεται ἐπὶ τῶν κυνῶν. «Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν ἑλκόντων τὰ σώματα» Π. Σ. Ὅθεν ὁ νοῦς κατὰ ποιητικὸν τρόπον «ἡ ἐμὴ ψυχὴ οὐδέποτε φήσει, ὅτι κατεσπάραξα, ὡς κύων, τὸν νεκρὸν τοῦ Νεοπτολέμου μὲ λόγους ἀπρεπεῖς, ὡς μὲ τοὺς ὀδόντας κυνός». — ταὐτὰ . . . Κόρινθος] Ἡ σύνταξις «τὸ ἀμπολεῖν τὰ αὐτά, ἅτε (ὡς) μαψυλάκης τέκνοισι (ἀμπολεῖ τὰ αὐτά), τελέθει ἀπορία, Διὸς Κόρινθος»· ἕτεροι τὰ «τέκνοισιν . . . Κόρινθος» συντάττουσιν «ἅτε μαψυλάκας ἀμπολεῖ τέκνοισι, Διὸς Κόρινθος». — ταὐτὰ ἀμπολεῖν] «οἷον ἀπολελόγημαι ἱκανῶς περὶ τοῦ Νεοπτολέμου· τί οὖν μέλλω τὰ αὐτὰ ἀμπολεῖν;» Π. Σ. — ἀπορία τελέθει, Διὸς Κόρινθος] «οἱ

Ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος. 155

ἐπαναλαμβάνοντες τὰ αὐτὰ ἀποροῦσι λόγων, ποιοῦσι τὸ τῆς παροιμίας, Διὸς Κόρινθος». — Διὸς Κόρινθος] «παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ὅταν δυσεξελίκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις· ἐγὼ οὖν, φησὶν, οὐκ εἰμι Διὸς Κόρινθος (κάλλιον οὐ ποιῶ τὸ τῆς παροιμίας, Διὸς Κόρινθος)» Π. Σ. Τὴν παροιμίαν ταύτην ἀναφέρει καὶ ὁ Ζηνόβιος «ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ πραττόντων». Ὁ δὲ παρὰ τοῖς Π. Σ. Δήμων φησὶν «ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων καὶ δειλῶς ἀπαλλαττόντων τὴν παροιμίαν ταύτην τετάχθαι». Τὴν δὲ γέννησιν τῆς παροιμίας ταύτης διηγεῖται ὁ Π. Σ. σύμφωνα τῷ Σουΐδᾳ οὕτως «Μεγαρέας φησὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν· ἄλλα γὰρ πλείονα τοὺς Κορινθίους προστάσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει, ἔδει Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς Κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν· ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔῤῥωτο, πρὸς ἐλπίσι τοῦ μηδὲν παθεῖν ἀποστῆναι αὐτούς· πέμπουσι δῆτα πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ προσελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῆλθον καὶ τέλος, δικαίως στενάξει ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην παρ' αὐτῶν· ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τοὺς πρέσβεις λίθοις ἔβαλον· καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης, νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων ἐφαπτόμενοι κτείνοντες ἅμα παίειν τοῦ Διὸς Κόρινθον ἐκέλευον» Π. Σ. — μαψυλάκας] ἕνεκα τῆς λέξεως τ έ κ ν ο ι ς ἐννόει «πατήρ». Σημαίνει δὲ ἡ λέξις φλύαρος· περὶ δὲ τοῦ ἐτύμου ὅρα Λεξικά.

ΜΕΤΑΦΡΑΣΙΣ.

Εἰλείθυια, πάρεδρε τῶν συνετωτάτων Μοιρῶν, παῖ τῆς μεγασθενοῦς Ἥρας, γενέτειρα τέκνων, ἄκουσον (μετ' εὐμενείας)· ἄνευ σοῦ οὐκ ἠδυνάμεθα νὰ γεννηθῶμεν οὔτε ἡμέραν οὔτε νύκτα, καὶ νὰ τύχωμεν τῆς ἀγλαογυίου Ἥβης, τῆς σῆς ἀδελφῆς· καίτοι οὐχ ἅπαντες ζῶμεν, ἵνα ἀπολαύωμεν τῶν ἴσων ἀγαθῶν· διότι τὸ ἕτερον μέρος τοῦ ζυγοῦ τοῦ πότμου ἕτερα (τῷ ἑτέρῳ μέρει τιθέμενα) κωλύουσι (νὰ ἰσοσταθμήσῃ)· παρὰ σοῦ δὲ λαβὼν τὸ ζῆν καὶ παῖς ὁ Θεαρίωνος Σωγένης κριθεὶς εὔδοξος ἐν πεντάθλοις ἕνεκα ἀρετῆς ᾄδεται· διότι κατοικεῖ τὴν φιλόμολπον πόλιν τῶν δορυκτύπων Αἰακιδῶν, οἵτινες μάλα ἐθέλουσι νὰ πειρῶνται ἀγώνων· ἐὰν δὲ ἀγωνιζόμενός τις ἐπιτύχῃ, παρέχει γλυκυτάτην ἀφορμὴν τοῖς ῥείθροις τῶν Μουσῶν· διότι αἱ μεγάλαι ἀλκαὶ ἀπειλούμεναι ὑπὸ πολλοῦ σκότους, ὕμνων δέονται· ἔργων δὲ καλῶν κάτοπτρον γινώσκομεν δι' ἑνὸς μόνου τρόπου (γιγνόμενον), ἐάν τις εὕρῃ ἕνεκα τῆς χρυσάμπυκος Μνημοσύνης διὰ κλυτῶν ᾠδῶν ἐπῶν ἀμοιβὰς τῶν μόχθων· διὸ οἱ σοφοὶ γινώσκουσι τὸν μέλλοντα τριταῖον ἄνεμον καὶ οὐχ ὑποβάλλουσιν ἑαυτοὺς ὑπὸ κέρδος· διότι καὶ πλούσιος καὶ πτωχὸς εἰς τὸν τάφον τοῦ θανάτου πορεύονται· ἐγὼ δὲ νομίζω, ὅτι πλείονα

φήμην ἔλαβεν ὁ Ὀδυσσεὺς διὰ τὸν ἡδυεπῆ Ὅμηρον, ἢ δι' ὅσα ἔπαθεν. Ἐπειδή, (εἰ ἐνίκησε τὸν Αἴαντα ἐν τῇ δίκῃ), τοῖς ψεύδεσιν αὐτοῦ ἕνεκα τοῦ ὕψους τοῦ λόγου ἐνυπάρχει σεβαστόν τι· διότι ἡ μὲν (περὶ τὸ λέγειν) σοφία ἀπατᾷ παραπείθουσα τοῖς λόγοις· οἱ δὲ πλεῖστοι τῶν ὁμίλων ἔχουσι τυφλὸν νοῦν· διότι εἰ ἦν δυνατὸν (ὁ ὅμιλος τῶν τότε δικασάντων) νὰ γινώσκῃ τὴν προσήκουσαν ἀλήθειαν, οὐκ ἂν χολωθεὶς ὁ καρτερὸς Αἴας ἐνέπηξε διὰ τῶν φρενῶν πλαγίως τὸ ξίφος, ὃν αἱ πνοαὶ τοῦ εὐθυπνόου Ζεφύρου ἐπόρευσαν ἐν ταῖς ταχείαις ναυσὶ πρὸς τὴν πόλιν τοῦ Ἴλου κράτιστον μετὰ τὸν Ἀχιλλέα νὰ ἀνακομίσῃ διὰ μάχης τὴν σύζυγον τοῦ ξανθοῦ Μενελάου. Ἀλλ' ὅμως κοινὸς ἔρχεται πᾶσιν ὁ θάνατος· ἐπέπεσε καὶ εἰς τὸν ἀτιμασθέντα (Αἴαντα) καὶ εἰς τὸν τιμηθέντα (Ὀδυσσέα)· ἀλλ' ὅμως οἱ πολεμισταί, ὧν ὁ θεὸς ἁβρῶς φροντίζει, μετὰ θάνατον τιμῶνται· διὰ τοῦτο ἄρα ἦλθεν εἰς τὸν μέγαν ὀμφαλὸν τῆς εὐρυκόλπου γῆς καὶ κεῖται ἐν τοῖς Πυθίοις ἐδάφοις ὁ Νεοπτόλεμος, ἀφ' οὗ ἐπόρθησε τὴν πόλιν τοῦ Πριάμου, ὅπου καὶ οἱ Δαναοὶ ἐπόνησαν. Ἐκεῖνος δὲ ἀποπλέων, τῆς μὲν Σκύρου ἥμαρτεν, ἦλθε δὲ μετὰ τῶν αὐτοῦ ἑταίρων πλανηθέντες εἰς Ἔφυραν· ἐν Μολοσσίᾳ δὲ αὐτὸς μὲν ὀλίγον χρόνον ἐβασίλευσεν· τὸ δὲ γένος αὐτοῦ εἶχεν ἀεὶ τὴν βασιλείαν. Ἐπορεύθη δὲ πρὸς τὸν θεὸν κομίζων ἀκροθίνια τῶν ἐκ Τροίας λαφύρων· ὅπου αὐτὸν ἀντιμαχόμενον ὑπὲρ τῶν κρεῶν διήλασεν ἀνὴρ μαχαίρᾳ. Ἐλυπή-

θησαν βαρέως οἱ φιλόξενοι Δελφοί· ἀλλὰ πεπρωμένον ἦν αὐτῷ τοῦτο· διότι ἦν ὀφειλόμενόν τις τῶν ἀρίστων Αἰακιδῶν νὰ εὑρίσκηται τοῦ λοιποῦ ἐντὸς τοῦ παλαιοτάτου ἄλσους παρὰ τὸν εὐτειχῆ ναὸν τοῦ θεοῦ, καὶ νὰ οἰκῇ ὢν ἔνδοξος ἐπίσκοπος μετὰ δικαιοσύνης τῶν εἰς τοὺς ἥρωας τελουμένων πολυθύτων πομπῶν. Οἱ τρεῖς (εἰρημένοι οὗτοι) λόγοι ἀρκέσουσιν εἰς δικαιολογίαν (τῶν Δελφῶν). μάρτυς δὲ ἀψευδής ἐστιν αὐτὸς ὁ Νεοπτόλεμος, ὅς ἐστι παρὼν, (ἵνα μαρτυρήσῃ ἔργοις καὶ οὐχὶ λόγοις). Αἴγινα, θράσος μοί ἐστι νὰ εἴπω, ὅτι τὰ ἤδη εἰρημένα εἰσὶ ταῖς φαειναῖς ἀρεταῖς τῶν ἐκγόνων σοῦ τε καὶ τοῦ Διὸς ὁδὸς κυρία ἐξ αὐτῶν τῶν ἀρετῶν ἄγουσα· ἀλλ' ὅμως ἐν παντὶ ἔργῳ ἡ ἀνάπαυσίς ἐστι γλυκεῖα· καὶ τὸ μέλι καὶ τὰ τερπνὰ ἄνθη τῆς Ἀφροδίτης καὶ αὐτὰ ἔχουσι κόρον. Ἐκ φύσεως οἱ ζῶντες διαφέρομεν ἕκαστος, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο· νὰ τύχῃ δὲ εἰς τις ἅπασαν τὴν εὐδαιμονίαν λαβὼν, τοῦτό ἐστιν ἀδύνατον· οὐδὲ ἔχω νὰ εἴπω, τίνι τοιαύτην ἐντέλειαν (εὐδαιμονίας) ἡ Μοῖρα ἔδωκεν ἔμμονον. Θεαρίων, σοὶ δὲ πρέπουσαν εὐκαιρίαν δίδωσιν ὁ θεὸς νὰ εὐδαιμονῇς· ἡ δὲ σύνεσις τῶν φρενῶν οὐκ ἄπεστί σοι ἔχοντι τόλμαν εἰς τὰ καλά. Ξένος (τῶν Αἰγινητῶν) εἰμι· διὸ ἵνα ἀπομακρύνω ἀπ' ἐμοῦ τὸν παρ' αὐτοῖς σκοτεινὸν ψόγον, θὰ ἐπαινέσω τὸν φίλον ἄνδρα ἄγων εἰς αὐτὸν ἀληθὲς κλέος (πρὸς αὔξησιν αὐτοῦ) ὡς ῥοὰς ὕδατος (εἰς τὰ φυτά)· ἁρμόζει δὲ τοῖς ἀγαθοῖς ἀνδράσιν ὁ μισθὸς οὗτος· ὢν δὲ πλη-

σίον ἐμοῦ ἀνὴρ Ἀχαιὸς οἰκῶν ὑπὲρ τὴν Ἰονίαν θάλασσαν οὐ μέμψεταί με· πέποιθα δὲ εἰς τοῦτο καὶ ἐκ τοῦ ὅτι πρόξενος ἐκείνων εἰμί· καὶ μεταξὺ τῶν ἐμῶν δημοτῶν εἶμι σεβαστὸς, ζήσας ἀεὶ μετὰ μετριότητος, τὰ βίαια πάντα ἀποδιώξας ἀπ' ἐμοῦ· εἴθε δὲ καὶ ὁ λοιπὸς χρόνος τοῦ βίου μου διέρχοιτο οὕτως εὔφρων. Μαθὼν λοιπόν τις (τὸν ἐμὸν βίον), δύναται νὰ εἴπῃ, ἐὰν ᾄδω ἀπρεπῶς λοιδορίας. Εὐξενίδη τὴν φυλὴν Σώγενες, ὀμνύω, ὅτι οὐ διήγειρα ταχεῖαν γλῶσσαν ὑπερβὰς τὸ ὅριον, ὡς ῥίπτουσι τὸ χαλκοπάρειον ἀκόντιον· οὐ διήγειρα, λέγω, γλῶσσαν ψευδῆ περὶ σοῦ, ὃς ἐξέπεμψας τῶν ἀγωνισμάτων καὶ τὸν αὐχένα καὶ τὸ σθεναρὸν σῶμα ὅλον ἀνίδρωτον πρὶν νὰ ἐμπέσῃ εἰς τὸν φλέγοντα ἥλιον. Εἰ δὲ τοῦτο ἦν πόνος, ἡ τέρψις ὅμως προσέρχεται πλείων. Συγχώρησόν μοι, εἰ ὑψώσας τι τὴν φωνὴν ἀνέκραξα εὐχάριστα τῷ νικηφόρῳ· οὐ δύσκολός εἰμι νὰ ἐμποιῶ τέρψιν αὐτῷ. Νὰ πλέκῃς στεφάνους εὔκολον· ἀνάβαλε τοῦτο· ἡ Μοῦσά σου εὐκόλως συγκολλᾷ ἐν τοῖς στεφάνοις χρυσὸν καὶ λευκὸν ἐλέφαντα καὶ κουράλιον ἄνθος ἐκβαλοῦσα ἐκ τῆς θαλάσσης· τοῦ ἐν Νεμέᾳ Διὸς μιμνησκόμενος ψάλλε μεθ' ἡσυχίας ὕμνους πολυθρυλλήτους· τὸν βασιλέα τῶν θεῶν ἁρμόζει νὰ ᾄδῃς ἐν τούτῳ τῷ ἐδάφει θείᾳ φωνῇ· διότι λέγουσιν, ὅτι ἐνταῦθα αὐτὸς ἐφύτευσε σπέρματι ὑποδεχθέντι ὑπὸ τῆς μήτρας τὸν Αἰακὸν τῆς ἐμῆς μὲν ἐνδόξου πατρίδος πολιοῦχον, σοῦ δὲ, ὦ Ἡράκλεις, πρόθυμον καὶ ξένον καὶ ἀδελφόν· εἰ δέ τι ὄφελός ἐστιν ἐν τῷ

βίῳ ἀνδρὶ παρ᾽ ἀνδρὸς, τί δυνάμεθα νὰ εἴπωμεν, ὅτι ἐστὶ γείτονι φίλῳ γείτων συντόνῳ εὐνοίᾳ φιλῶν; Χάρμα πάντων χαρμάτων ἀντάξιον. Εἰ δὲ αὐτὸ καὶ περὶ θεοῦ δύναται νὰ λεχθῇ, ἐν τῇ σῇ γειτνιάσει, ὃς τοὺς Γίγαντας ἐδάμασας, ἀγαπᾷ ὁ Σωγένης εὐτυχῶς νὰ οἰκῇ τὴν πλουσίαν καὶ θαυμασίαν ἀγυιὰν τῶν προγόνων τρυφερὰν πρὸς τὸν πατέρα περιέπων ψυχήν· ἐπειδὴ ἔχει τὸν δόμον ἐν τοῖς σοῦ δυσὶ ναοῖς ἐξ ἀριστερᾶς καὶ δεξιᾶς χειρὸς ὡς ὀχούμενος ὑπὸ ζυγῶν τεθρίππου ἅρματος· ὦ μάκαρ, σοὶ προσήκει νὰ πείσῃς τὴν Ἥραν καὶ τὸν σύζυγον καὶ τὴν γλαυκώπιδα κόρην εἰς εὐμένειαν τοῦ δόμου τούτου· σὺ δύνασαι, ὁσάκις ἐπικαλοῦνταί σε εἰς βοήθειαν, νὰ ἐξάγῃς τοὺς βροτοὺς ἐκ δυσβάτων ἀμηχανιῶν. Εἴθε ἁρμόσας αὐτοῖς σθεναρὸν καὶ ἔμμονον βίον κατασκευάζοις αὐτὸν νὰ ᾖ εὐδαίμων τοῖς ἐνοικοῦσι τὸν δόμον νέοις τε, καὶ γονεῦσι τοῖς μετὰ πλούτου γηράσκουσιν. Εἴθε δὲ παῖδες παίδων ἔχοιεν ἀεὶ τὴν δόξαν, ἣν καὶ νῦν, καὶ κρείσσονα εἰς τὸ μέλλον. Ἡ δὲ ἐμὴ ψυχὴ οὔποτε θὰ συνομολογήσῃ, ὅτι ἐσπάραξα τὸν Νεοπτόλεμον ἀπρεπέσι λόγοις. Τὰ αὐτὰ δὲ νὰ ἀναμασῶμαι τρὶς καὶ τετράκις, ὡς φλύαρος (πατὴρ) τοῖς αὐτοῦ τέκνοις, τοῦτό ἐστιν ἀπορία, Διὸς Κόρινθος.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Η'.

ΔΕΙΝΙΔΙ ΜΕΓΑ ΑΙΓΙΝΗΤΗ:

ΣΤΑΔΙΕΙ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων δέκα καὶ τριῶν.

Κῶλον 1. – – – ⏑ | ⏑ – – Ἀντισπαστικὸν δίμετρον καταληκτικόν.

» 2. ⏗ ⏑ ⏗ – ⏗ ⏑ ⏑ ⏗ ⏑ ⏑ ⏗ ⏑ Πεντάμετρον καταληκτικὸν εἰς δισύλλαβον Αἰολικόν· διότι ὁ πρῶτος ποῦς ἐστι τροχαῖος. Τὸ ἀντιστοιχοῦν τῆς γ'. ἀντιστρ. κῶλόν ἐστι καταληκτικὸν εἰς συλλαβήν.

» 3. ⏗ ⏑ ⏗ – | ⏗ ⏑ ⏗ – | ⏗ ⏑ ⏗ – Στησιχόρειον τρίμετρον ἐξ ἐπιτρίτων, ἢ τροχαικὸν ἀκατάληκτον.

» 4. – ⏑ ⏑ – | ⏗ ⏑ ⏗ – | ⏗ ⏑ ⏗ – Ὅμοιον τῷ ἡγουμένῳ, πλὴν ὅτι ἡ πρώτη συζυγία ἐστὶ χοριαμβική.

» 5. ⏗ ⏑ ⏗ – | ⏗ ⏑ ⏑ ⏗ ⏑ ⏑ ⏗ Ἰαμβέλεγος· ἀντὶ τοῦ ἰαμβικοῦ ὅμως πενθημιμεροῦς κεῖται ἐπίτριτος δεύτερος.

» 6. ⏑ ⏑ – ⏑ ⏑ – | – – ⏑ – – Λογαοιδικὸν ἀναπαιστικὸν Ἀρχεβούλειον καλούμενον. Τὸ ἐνταῦθα ὅμως Ἀρχεβούλειον, οὐ μετὰ τέσσαρας πόδας ἔχει τὸν βακχεῖον, ἀλλὰ μετὰ τρεῖς.

Κῶλον 7. ⏑ ⏑ –́ ⏑ ⏑ –́ ¦ ⏓ Ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον.

» 8. –́ ⏑ –́ ⏑ | –́ ⏑ ⏑ –́ Εὐριπίδειον

» 9. –́ ⏑ –́ – | –́ ⏑ – – Τροχαϊκὸν δίμετρον ἀκατάτάληκτον.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. – – ⏑ ⏑ | – ⏑ ⏑ – Προσοδιακόν.

» 2. –́ ⏑ –́ – | –́ ⏑ –́ Εὐριπίδειον.

» 3. – ⏑ – – | – ⏑ ⏑ | – ⏑ ⏑ | – Ἰαμβέλεγος ὅμοιος τῷ ε. τῆς στροφῆς.

» 4. ⏑ ⏑ – – | ⏑ – – – | ⏑ ⏑ Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος τρίμετρον βραχυκατάληκτον· ἡ δευτέρα ὅμως συζυγία παρὰ τὸ σύνηθες ἐπίτριτος.

» 5. –́ ⏑ ⏑ –́ ¦ – –́ ⏑ –́ Χοριαμβικὸν δίμετρον ἀκατάληκτον.

» 6. – –́ ⏑ –́ ¦ – –́ ⏑ –́ | ⏑ – Ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον.

» 7. – ⏑ – – | –́ ⏑ ⏑ | – ⏑ ⏑ | – Ἰαμβέλεγος ὅμοιος τῷ γ΄.

» 8. –́ ⏑ –́ – ⏑ | –́ – –́ ⏑ ⏑ –́ Ἐκ πενθημιμεροῦς τροχαϊκοῦ καὶ πενθημιμεροῦς δακτυλικοῦ.

» 9. – – – ⏑ | –́ ⏑ ⏑ ¦ –́ ⏑ ⏑ – ⏑ Ἐξ ἀντισπαστικῆς συζυγίας καὶ δακτυλικοῦ τριμέτρου καταληκτικοῦ.

» 10. –́ ⏑ –́ – ¦ –́ ⏑ –́ – Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

» 11. –́ ⏑ –́ – ¦ –́ ⏑ –́ – | –́ ⏑ – Τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἐν τῷ προοιμίῳ ἄρχεται ἀπὸ τῆς Ὥρας, ἥτις ἐγένετο αἰτία τῆς γενέσεως τοῦ Αἰακοῦ (1-13). Ἐπαινεῖ τὸν Αἰακὸν (ἀπὸ στ. 14-21). Ἀφιεροῖ τῷ Αἰακῷ τὸν ὕμνον τοῦ Δείνιδος καὶ τοῦ πατρὸς αὐτοῦ Μέγα, ὧν τὴν εὐδαιμονίαν θεωρεῖ ὡς ἐκ θεοῦ προελθοῦσαν (στ. 22-31). Σκέπτεται, τί πρέπει νὰ εἴπῃ πρὸς ἔπαινον τῶν Αἰγινητῶν, ὅπερ οὐ διεγερεῖ τὸν φθόνον τῶν Ἑλλήνων· (ἀπὸ στ. 32-40). Μὴ εὑρὼν τοιοῦτόν τι, ἔρχεται πάλιν κατὰ τὸ σύνηθες εἰς τοὺς Αἰακίδας διηγούμενος τὴν περὶ τῶν ὅπλων δίκην τοῦ Αἴαντος πρὸς τὸν Ὀδυσσέα, ἐν ᾧ λέγει, ὅτι ὁ Αἴας ἦν πολὺ κρείττων τοῦ Ὀδυσσέως (ἀπὸ στ. 41-53). Λαβὼν ἀφορμὴν καταφέρεται μετὰ μεγίστου πάθους κατὰ τῶν δημοκόπων (ἀπὸ στ. 54-67). Προοιμιάζεται, ἵνα εἰσέλθῃ πάλιν εἰς τοὺς ἐπαίνους τοῦ Δείνιδος καὶ τοῦ πατρὸς Μέγα (ἀπὸ στ. 68-74). Ἐκ τούτων ἀποτείνεται πρὸς τὸν Μέγαν μὴ ἤδη ζῶντα, λυπούμενος, ὅτι οὐ λήψεται ἔτι ἀφορμὴν νὰ ὑμνήσῃ αὐτὸν ἐπὶ δευτέρᾳ νίκῃ (75-78). Ὑμνήσας δὲ τὴν ὑπάρχουσαν νίκην αὐτοῦ τε καὶ τοῦ υἱοῦ, καὶ ἐκφράσας τὴν χαράν, ὅτι προσφόρως ὕμνησεν αὐτούς, τελευτᾷ τὴν ᾠδὴν ἐπιλέγων, ὅτι ἔκπαλαι τῶν ἐν τοῖς ἱεροῖς ἀγῶσι νικητῶν δι' ἐπικωμίων ὕμνων τὴν ἀρετὴν ἀξίως ἐτίμων.

ΕΙΣΑΓΩΓΗ.

Ἡ ᾠδὴ αὕτη ἐστὶν ὕμνος οὐ μόνον τοῦ Δείνιδος, ἀλλ᾽ ἅμα καὶ τοῦ πατρὸς αὐτοῦ Μέγα. Εἰκάζω δὲ ἐκ τῶν στ. 54. κ. ἑξῆς, ὅτι ἐποιήθη εὐθὺς μετὰ τὰ Μηδικά, ὅτε ἐξωρίσθη ὁ Θεμιστοκλῆς ἐκ τῆς σκευωρίας τῶν ἐν Ἀθήναις δημοκόπων. Οἱ Π. Σ. οὐδὲν λέγουσι περὶ τοῦ χρόνου. Τελεῖται δὲ ὁ κῶμος περὶ τὸ Αἰακεῖον, ὅπου ᾄδεται ὁ ὕμνος, ὡς ἐκ τῶν στ. 22-27. καταφαίνεται. Τοῦ Δείνιδος πατὴρ ἦν ὁ Μέγας, ὃς ὅμως ἦν τεθνηκώς, ὅτε ᾔδετο ἡ ᾠδὴ αὕτη· ἀμφότεροι δὲ ἦσαν σταδιεῖς, ὡς φαίνεται ἐκ τῶν Δείνιδος δισσῶν σταδίων καὶ πατρὸς Μέγα (στ. 26). Ὁ δὲ παρὰ τοῖς Π. Σ. Δίδυμός φησι «παρέχει δὲ τοῦτο ἀπορίαν, τὸ μηδέτερον αὐτῶν ἐν τοῖς Νεμεονίκαις ἀναγεγράφθαι».

Σ. ά. Κ· θ'.

ΩΡΑ πότνια, κάρυξ
Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
Ἅτε παρθενίοισι καὶ παίδων ἐφίζοι-
σα βλεφάροις, τὸν μὲν ἁμέροις ἀν' ἀγκὰς
Χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
Ἀγαπατὰ δὲ, καιροῦ μὴ πλαναθέν-

— Στ. 1-27. Ὥρα . . . ἄγαλμα] Ὁ κύριος σκοπὸς τοῦ ποιητοῦ ἐστιν εὐξάμενος τῷ Αἰακῷ ὑπὲρ τῆς πόλεως τῶν Αἰγινητῶν καὶ τῶν ἀστῶν νὰ ἀφιερώσῃ αὐτῷ τὸν ὕμνον, ᾧ καὶ Δεῖνις ἀφιεροῖ τὸν στέφανον· ἀλλὰ πρὸ τῆς ἀφιερώσεως ἀνατρέχει εἰς τὴν γένεσιν τοῦ Αἰακοῦ, ἐπαινεῖ τὰς ἀρετὰς αὐτοῦ· καὶ οὕτω τελευταῖον ποιεῖ τὴν ἀφιέρωσιν. — Ὥρα] Βουλόμενος λοιπὸν νὰ ἀναδράμῃ εἰς τὴν γέννησιν τοῦ Αἰακοῦ ἀποτείνεται πρὸς ἐκείνην τὴν ἡλικίαν τοῦ ἀνθρώπου, ὡς πρὸς θεὰν, καθ' ἣν ἡ Ἀφροδίτη συνάπτει τὸ ἄῤῥεν καὶ θῆλυ εἰς παιδοποιΐαν, καὶ ἣ ὑπάρχουσα τῇ Αἰγίνῃ ἐγένετο αἰτία τοῦ μιγῆναι αὐτῇ τὸν Δία καὶ οὕτω γεννηθῆναι τὸν Αἰακόν. Ἴσως δὲ καὶ ὁ Δεῖνις ἦν νεόνυμφος. — κάρυξ . . . ἑτέραις] ὁ νοῦς «Σεβαστὴ θεά· Ὥρα, ἥτις γίνεσαι κήρυξ τοῦ χρόνου, καθ' ὃν πέμπει ἡ Ἀφροδίτη τοῖς νέοις καὶ νέαις τοὺς γλυκυτάτους ἔρωτας, ἥτις τοῖς βλεφάροις τῶν παρθένων καὶ νέων ἐγκαθίζουσα καὶ εἰς γάμον αὐτοὺς ἑνοῦσα, τοὺς μὲν κρατεῖ ἐν ἀγκάλαις πραείαις χερσὶ, τοὺς δὲ σκληραῖς». Ἡ ὥρα λοιπὸν, καθ' ἣν ὁ ἄνθρωπος αἰσθάνεται τὴν ἀνάγκην τοῦ γάμου, ἐστὶν αἰτία καὶ σημεῖον ἢ, ὡς λέγει ὁ ποιητὴς, κήρυξ τῶν ἐρώτων. Ἡ

Ὥρα συνάπτει τὴν παρθένον καὶ τὸν ἔφηβον εἰς γάμον· καὶ τοῦτο βούλεται νὰ εἴπῃ διὰ τῶν ἅτε παρθενίοισι . . . βλεφάροις· διότι ἐν τῇ λέξει ἐφίζοισα ἐνυπάρχει καὶ ἡ ἔννοια τοῦ «συνάπτουσα εἰς γάμον. Ἡ Ὥρα συνημμένους ἤδη εἰς γάμον ἄλλους μὲν κρατεῖ ἡνωμένους διὰ ἡμέρων χειρῶν, ἤτοι ἄνευ ζηλοτυπίας περὶ τὸ λέκτρον, ζῶντας ἐν εἰρήνῃ καὶ πεποιθότας τῇ ἀρετῇ καὶ σωφροσύνῃ ἀλλήλων, ἄλλους δὲ δυσέρωτας ὄντας κρατεῖ ἡνωμένους ἑτέραις χερσὶν, οὐχὶ ἡμέραις· ἤτοι ἔριδι καὶ ζηλοτυπίᾳ καὶ ἀπιστίᾳ. Οὕτω βεβαίως ἐνόησε καὶ ὁ ἡμέτερος Δούκας πρὸς τὸ χωρίον τοῦτο παραθεὶς τὸ τοῦ Εὐριπίδου ἐκεῖνο

Ἔρωτες ὑπὲρ μὲν ἄγαν
Ἐλθόντες, οὐκ εὐδοξίαν
Οὐδ᾽ ἀρετὴν παρέδωκαν
Ἀνδράσιν· εἰδ᾽ ἄλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς
Εὔχαρις οὕτω, κ. τ. λ.

— παρθενίοισι καὶ παίδων] ὡς ἀνωτέρω (Νεμ. Ζ.' 73) σῶν καὶ Διὸς, οὕτω καὶ ἐνταῦθα ἀντὶ τοῦ παρθένων καὶ παίδων. Ὡς δὲ ἔφη παρθένων πρὸς διάκρισιν τῶν ἤδη ἐγγάμων γυναικῶν, οὕτω καὶ παίδων πρὸς διάκρισιν τῶν ἐγγάμων ἀνδρῶν, ἀντὶ τοῦ «τῶν ἀγάμων ἔτι ἐφήβων». — ἐφίζοισα βλεφάροις] Ἀναγκαζόμεθα νὰ ἐννοήσωμεν ἐν ταῖς λέξεσι ταύταις καὶ τὸ «συνάπτουσα εἰς γάμον» ἐκ τῶν ἑπομένων χερσὶ βαστάζεις, ὅπερ ἐστὶ «χερσὶ βαστάζεις τοὺς συνηνωμένους διὰ γάμου». — τὸν μὲν — ἕτερον δὲ] ἀντὶ τοῦ «τοὺς μὲν — ἑτέρους δέ». — ἁμέροις χερσὶ] μεταφορικῶς ἀντὶ τοῦ «ἡμέροις ἔρωσιν»· ἔρωσι δηλονότι, ἐν οἷς οὐχ ὑπάρχουσι ζηλοτυπίαι καὶ ἔριδες. — ἑτέραις] «ἔρωσιν, ἐν οἷς ἕνεκα ζηλοτυπίας οὐχ ὑπάρχει εἰρήνη τοῖς διὰ γάμου συνεζευγμένοις. — Ἀγαπατὰ δὲ . . . δύνασθαι] «Ἀγαπητὸν δέ ἐστιν ἐπιτυγχάνων ἕκαστος τῆς

τα πρὸς ἔργον ἕκαστον,
Τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι.

Ἀ. ά. Κ. θ'.

Οἷοι καὶ Διὸς Αἰγι-
νας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς, Οἰνώ-
νας βασιλεὺς, χειρὶ καὶ βουλαῖς ἄριστος.
Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν.
Ἀβοατὶ γὰρ ἡρώων ἄωτοι
Περιναιεταόντων
Ἤθελον κείνου γε πεί-
θεσθαι ἂν ἀξίαις ἑκόντες,

Ἐ. ά. Κ. ιά.

Οἵ τε κρανααῖς ἐν Ἀθά-
ναισιν ἅρμοζον στρατὸν,
Οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.

καταλλήλου περιστάσεως πρὸς παιδοποιΐαν, νὰ δύνηται νὰ ἐπικρατῇ τῶν κρεισσόνων ἐρώτων». — καιροῦ πρὸς ἔργον μὴ πλαναθέντα] Τότε οὐ πλανᾶται, ἤτοι ἐπιτυγχάνει τοῦ καιροῦ, ἵνα παιδοποιήσῃ (πρὸς ἔργον) ἕκαστος, ἢ ὅταν ἡ ὥρα συνάψῃ αὐτὸν γυναικὶ μὴ δυσέρωτι, καὶ τούτου ἕνεκα μὴ ἀπιστούσῃ τῇ ἀρετῇ τοῦ ἀνδρὸς, ἢ ὅταν αὐτὸς μὴ φύσεως ᾖ τοιαύτης, ὥστε νὰ ἀπιστῇ τῇ ἀρετῇ τῆς γυναικός. — ἕκαστον] οὐχὶ ἔργον ἕκαστον· ἀλλ' «ἕκαστον ἄνθρωπον»· διότι τότε δύ-

---

στ. 18. θεσθ' ἂν ἀξίαις· ἡ κοινὴ γραφή· ἀλλ' ἐπειδὴ τὸ ἂν ἐνταῦθα μένει, ὡς νομίζουσιν, ἀσήμαντον· διὰ τοῦτο διώρθωσαν ἀναξίαις ἐκ τοῦ ἀνάσσειν. Ἐγὼ δὲ ἐτήρησα τὸ αν διότι ἤθελον ἂν σημαίνει «ἐπεθύμουν».

ναται νὰ ἐπικρατῇ τῶν ἀρειόνων ἐρώτων. — τῶν ἀρειόνων ἐρώτων] ὅπερ εἶπεν ἀνωτέρω μεταφορικῶς «ἡμέρους χεῖρας» ἐνταῦθα λέγει κυριολεκτικῶς. Ὁ νοῦς λοιπὸν τοῦ ἐπικρατεῖν τῶν ἀρειόνων ἐρώτων ἐστὶ «νὰ συζῇ τῇ συζύγῳ ἐρῶν καὶ ἐρώμενος ἐν εἰρήνῃ». — οἷοι καὶ . . . δώρων] «οἷοι (ἀρείονες δηλονότι) ἦσαν οἱ ποιμένες τῶν δώρων τῆς Κυπρίας, οἳ ἀμφεπόλησαν, διῴκησαν τὸ λέκτρον τοῦ Διὸς καὶ τῆς Αἰγίνης». — οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ἀμφεπόλησαν] ἤτοι ὁ Ζεὺς καὶ ἡ Αἴγινα ἠρῶντο ἀλλήλων οὐ ζηλοτυποῦντες δυσέρωτες ὄντες, ἀλλ᾽ ἐν ὁμοφροσύνῃ καὶ εἰρήνῃ, ὡς οἱ χρηστοὶ σύζυγοι. — καὶ Διὸς] «οὐ μόνον τὸ λέκτρον τῶν ἐν ἁρμονίᾳ συζώντων συζύγων, ἀλλὰ καὶ τοῦ Διὸς καὶ Αἰγίνης». — ποιμένες Κυπρίας δώρων] «πιθανῶς δὲ ποιμένας δώρων Ἀφροδίτης τοὺς ἔρωτάς φησιν· ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας» Π. Σ. Ποιμένες εἰσὶν οἱ ἔρωτες, δῶρα δὲ τῆς Κυπρίας ἡ συμβίωσις, τὸ λέκτρον, ἃ ποιμαίνουσιν οἱ ἔρωτες. — Οἰνώνας] τῆς νήσου Αἰγίνης, οὕτω πρότερον καλουμένης. — Πολλὰ . . . ἰδεῖν] «πολλὰ δὲ πολλοὶ ἠξίουν θεάσασθαι τὸν Αἰακόν, περιηχούμενοι τῇ τοῦ ἀνδρὸς εὐδοξίᾳ» Π. Σ. — ἀβοατὶ . . . ἑκόντες] «καὶ γὰρ τὰ ἀνθήματα τῶν ἡρώων, οὐχ οἱ τυχόντες ἀλλ᾽ οἱ ἄκροι τῶν περιοικούντων ἀμαχητὶ πείθεσθαι αὐτῷ ἤθελον· οὕτω διέπρεπε, φησίν, ὥστε τοὺς παροικοῦντας ἑκουσίως πείθεσθαι ταῖς ἀξίαις τουτέστι ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτοῦ. Ταῦτα δὲ ἀνάγεται εἰς ἐκεῖνα, ὅτι αὐχμὸς κατέσχε τὴν Ἑλλάδα καὶ εὐξαμένου τοῦ Αἰακοῦ ὄμβρος ἐγεγόνει» Π. Σ. — οἵ τε κρανααῖς . . . Πελοπηϊάδαι] «ἐκεῖνοί τε, οἳ ἐν κρανααῖς Ἀθάναισιν ἅρμοζον στρατόν, Πελοπηϊάδαι τε, οἱ ἀνὰ Σπάρτην ἅρμοζον στρατόν». — ἅρμοζον στρατὸν] «διῴκουν τὰς Ἀθήνας, ἢ εἰς συμφωνίαν ἦγον τὸ πλῆθος» Π. Σ. Τῇ λέξει «στρατὸν» ἀντὶ τῆς «λαόν, πολίτας»

Ἱκέτας Αἰακοῦ σεμνῶν γουνά-
των πόλιός θ' ὑπὲρ φίλας
Ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι, φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποι-
κιλμέναν, Δείνιδος δισσῶν σταδίων
Καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
Σὺν θεῷ γάρ τοι φυτευθεὶς
Ὄλβος ἀνθρώποισι παρμονώτερος

Σ. β'. Κ. θ'.

Ὅσπερ καί Κινύραν ἔ-
βρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
Ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε

πολλάκις χρῆται. — Αἰακοῦ γουνάτων ἅπτομαι] διότι οἱ ἱκετεύοντες ἥπτοντο τῶν γονάτων ἐκείνου, ὃν ἱκέτευον. — Λυδίαν μίτραν] μίτρα λέγεται ἡ περὶ τὴν κεφαλὴν ταινία, περίθεμα κεφαλῆς ζωνοειδὲς, καὶ μεταφορικῶς ὁ ἐπὶ τῆς κεφαλῆς περιθέμενος στέφανος· καλῶς δὲ καλεῖ τὸν ὕμνον μίτραν, ἤτοι στέφανον· διότι ἀφιεροῖ αὐτὸν τῷ Αἰακῷ ὡς στέφανον, ὡς καὶ ὁ Δεῖνις ἀφιεροῖ αὐτῷ τὸν στέφανον τῆς νίκης. Λυδίαν δὲ· διότι τὸ ᾆσμα ἦν συντεθειμένον Λυδίᾳ ἁρμονίᾳ. — καναχηδὰ πεποικιλμέναν] Ἐπειδὴ τὸ Λύδιον μέλος ἐστὶ ποικίλον («τὸ Λύδιον μέλος ποικίλον» Π. Σ.), πρέπει καὶ ἡ μίτρα, ἣν ὁ ποιητὴς ἀφιερῶν καλεῖ Λ υ δ ί α ν, νὰ ᾖ πεποικιλμένη· ἔστι λοιπὸν πεποικιλμένη, ἀλλ' οὐχὶ ἄνθεσιν, ἀλλὰ καναχηδὸν, καναχῇ, μελῳδίαις. Ὁ δὲ νοῦς τοῦ ποιητοῦ ἐστιν· «οἱ μὲν ἀγωνοθέται ἐστεφάνωσαν τὸν Δεινίαν στεφάνῳ χόρτοις πεποικιλμένῳ, ὃν στέφανον αὐτὸς ὁ Δεινίας ἀφιεροῖ τῷ βωμῷ τοῦ Αἰακοῦ, ἐγὼ δὲ στεφανῶ τὸν Αἰακὸν Λυδίῳ μέλει πεποικιλμένῳ μελῳδίαις» — ἄγαλμα δισσῶν σταδίων] συνάμα μεταφορὰ καὶ προσωποποιΐα· ὁ

νοῦς «ὥσπερ τὸ ἄγαλμα ἵσταται τοῖς ἐνδόξοις ἀνδράσι πρὸς μνήμην, οὕτω καὶ ὁ ὕμνος οὗτος συνετέθη τοῖς δισσοῖς σταδίοις πρὸς μνήμην». Ἐκ τούτων καταφαίνεται, ὅτι ὁ κῶμος ἐτελεῖτο εἰς τιμὴν οὐ μόνον τοῦ Δείνιδος τοῦ ἤδη νενικηκότος, ἀλλὰ καὶ τοῦ πατρὸς τοῦ ἤδη τεθνηκότος. — Νεμεαῖον] διότι ἀμφότεραι αἱ νῖκαι (τὰ δισσὰ στάδια) τοῦ πατρὸς Μέγα καὶ τοῦ υἱοῦ Δείνιδος ἐγένοντο ἐν Νεμέᾳ.

— Στ. 28-29. σὺν θεῷ . . . παρμονώτερος] ὀρθῶς ἑρμηνεύει τὸ χωρίον ὁ Heynius «ἡ γὰρ τοσοῦτον ἔμμονος εὐτυχία, ὥστε πατέρα καὶ υἱὸν ἰσάκις ἀπολαύειν αὐτῆς, οὐκ ἄλλως συμβαίνει ἢ τῇ τῶν θεῶν βοηθείᾳ». Αἰτιολογεῖ λοιπὸν ὁ γ ὰ ρ τὸ μικρὸν πήδημα, ὃ καὶ τοῖς πεζοῖς σύνηθες «ἔλαβον δὲ τὴν αὐτὴν νίκην καὶ πατὴρ καὶ υἱός· διότι εὐνοοῦνται παρὰ τοῦ θεοῦ· σ ὺ ν θ ε ῷ γ ὰ ρ κ. τ. λ.

— Στ. 30-31. ὅσπερ καὶ Κινύραν . . . Κύπρῳ] Πάνυ ὀρθῶς παρατηρεῖ ὁ Dissenius, ὅτι τὸ «ὅσπερ» οὐκ ἀναφέρεται πρὸς τὸ ὄ λ β ο ς· ἀλλὰ πρὸς τὸ θ ε ῷ. Ὁ δὲ θεός, ὅστις ἔβρισε καὶ εὐδαίμονα ἐποίησεν ἐν Κύπρῳ τὸν Κινύραν, ἐστὶν ὁ Ἀπόλλων (ὅρα Πυθ. Β.' 30). «Τοῦ Κινύρα καὶ Ὅμηρος μνημονεύει (Ἰλ. λ. 20) Τ ὸ ν π ο τ έ ο ἱ Κ ι ν ύ ρ α ς δ ῶ κ ε ξ ε ι ν ή ϊ ο ν ε ἶ ν α ι». Π. Σ.

— Στ. 32-38. Ἵσταμαι . . . οὐκ ἐρίζει] Τελειώσας τοὺς ἐπαίνους τοῦ Αἰακοῦ καὶ τὴν πρὸς αὐτὸν ὑπὲρ τῶν Αἰγινητῶν καὶ τῆς πόλεως αὐτῶν δέησιν σκέπτεται ἀπορῶν, τίνα ἄλλα νὰ διηγήσηται πρὸς ἔπαινον τῆς Αἰγίνης· νὰ ᾄσῃ πάλιν ἀρχαῖα, ἤτοι Αἰακίδας; ἀλλὰ περὶ τούτων πολλὰ πολλαχοῦ εἴρηκεν· νὰ εἴπῃ νέας ἀνδραγαθίας τῶν Αἰγινητῶν, οἷαι δὴ εἰσὶν ἐκεῖναι, ἃς ἐπεδείξαντο ἐπὶ τῶν Μηδικῶν; ἀλλὰ φοβεῖται, μὴ διεγείρῃ τὸν φθόνον τῶν ἄλλων Ἑλλήνων. Ἐκ τῶν τοιούτων σκέψεων παρελκόμενος ἔρχεται ἀνεπαισθήτως

Πρίν τι φάμεν· πολλά γὰρ πολλᾷ λέλεκται.
Νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ
Ἐς ἔλεγχον, ἅπας κίνδυνος, ὄψον
Δὲ λόγοι φθονεροῖσιν.
Ἅπτεται δ' ἐσλῶν ἀεὶ,
Χειρόνεσσι δ' οὐκ ἐρίζει
Ἀ. β'. Κ. θ'.
Κεῖνος καὶ Τελαμῶνος

τρόπον τινὰ πάλιν εἰς τοὺς Αἰακίδας, διηγούμενος τὰ τοῦ Αἴαντος· ὧνπερ ὅμως οὐ πολλάκις ἄλλοθι ἐμνήσθη. — ἵσταμαι . . . φάμεν] Τινὲς τῶν Π. Σ. νομίζουσιν, ὅτι ἡ μεταφορά ἐστιν ἀπὸ τῶν πεντάθλων «οἵτινες παλαίοντες ἵστανται ἐκ διαλειμμάτων τὸ πνεῦμα συλλεγόμενοι (ἀμπνέοντες) καὶ πάλιν ἄρχονται τῆς πάλης»· ἕτεροι δὲ αὐτῶν, «ἀπὸ τῶν μέγα φωνεῖν ἐθελόντων, οἷον οἱ τραγῳδοὶ προαναπνέουσιν ἐπὶ πολὺ, ἵν' ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή»· οἱ πρῶτοι νομίζουσιν ὀρθότερον ἕνεκα τῶν λέξεων κούφοις. Ὁ Πίνδαρος λοιπὸν ποιῶν τὸν ὕμνον παραβάλλει ἑαυτὸν πρὸς παλαιστήν· διότι καὶ αὐτὸς παλαίει πρὸς τὰς δυσκολίας τῆς συνθέσεως τοῦ ὕμνου· καὶ ὥσπερ οἱ παλαίοντες παύουσιν ἐκ διαλειμμάτων τῆς πάλης, ἵνα ἀναπνεύσωσιν, οὕτω καὶ αὐτὸς παύει ἐνταῦθα τοῦ συντιθέναι, ἵνα ἀναπνεύσῃ, ἤτοι σκέψηται τί ἐστι κρεῖσσον νὰ εἴπῃ. — ποσσὶ κούφοις] Παραβάλλει τὴν αὐτοῦ εἰς τὸ συντιθέναι ὕμνους εὐφυΐαν πρὸς τοὺς ἰσχυροὺς καὶ ἐλαφροὺς πόδας τῶν παλαιόντων. — ἀμπνέων] ἄνευ μεταφορᾶς «σκεπτόμενος, τί φῶ». Σκέπτεται δὲ νὰ εἴπῃ τι οὐχὶ περὶ Κινύρα, ὃς οὐδεμίαν ἔχει σχέσιν πρὸς τὸν ἔπαινον τοῦ νικηφόρου Δεινία, καὶ οὗ ἐμνημόνευσε μόνον πρὸς παράδειγμα τοῦ πόσον εὐδαιμονεῖ ἐκεῖνος, ὃν ὁ θεὸς εὐνοεῖ· οὐ σκέπτεται λοιπὸν νὰ εἴπῃ περὶ Κινύρα, ἀλλὰ περὶ κατορθωμάτων καὶ δόξης

Αἰγινητῶν· διότι ταῦτά εἰσι πρὸς ἔπαινον τοῦ ὑμνουμένου. Ὅθεν κακῶς ἐξέλαβον καὶ οἱ Π. Σ. καὶ οἱ ἑπόμενοι αὐτοῖς, ὅτι βουλόμενος νὰ ποιήσῃ παρέκβασιν περὶ Κινύρα, σκέπτεται, ἐὰν ᾖ πρέπον. — πρίν τι φάμεν] «πρὶν νὰ εἴπωμέν τι πρὸς ἔπαινον τοῦ νικηφόρου». — πολλὰ . . . λέλεκται] «διότι πολλὰ ἐν πολλοῖς ὕμνοις (πολλᾷ) εἴρηκα περὶ τῶν παλαιῶν ἐξ Αἰγίνης ἡρώων, ἤτοι περὶ τῶν Αἰακιδῶν· ἅπερ ἐὰν καὶ πάλιν λεχθῶσι, φέρουσι κόρον, καίτοι εἰσὶ πρὸς ἔπαινον παντὸς Αἰγινήτου. — πολλὰ] ἐκ τοῦ ἑπομένου «νεαρὰ» ἀνάγκη ἐνταῦθα νὰ ὑπονοήσωμεν «παλαιά». — λέλεκται] μοι, καὶ οὐχὶ, πολλοῖς. — νεαρὰ . . . κίνδυνος] «νὰ ἐξεύρω δὲ καὶ συντάξω νεώτερα κατορθώματα τῶν Αἰγινητῶν (οἷά εἰσιν τὰ ἐν τοῖς Μηδικοῖς) καὶ εἰς βάσανον καὶ κρίσιν τῶν ἀναγινωσκόντων δῶ, ἵνα τὴν ἀλήθειαν αὐτῶν ἐξελέγχωσι, τοῦτό ἐστι μέγας κίνδυνος. — νεαρὰ ἐξευρόντα] κακῶς ἑρμηνεύει ὁ Π. Σ. «ἐμὲ δὲ νῦν καινολογῆσαι περὶ τοῦ Κινύρα, παρώσαντα τὰ κοινῶς ἱστορούμενα»· ὡσαύτως καὶ ὁ Heynius ἀπατᾶται νομίζων, ὅτι ὁ ποιητὴς βούλεται διὰ τούτων νὰ εἴπῃ, ὅτι κίνδυνός ἐστι νὰ διορθώσῃ τὰ περὶ Κινύρα κοινῶς λεγόμενα, ὡς ἐν Ὀλ. Α.' διώρθωσε τὰ περὶ Πέλοπος. — ἅπας κίνδυνος] διὰ τί; διότι οἱ λοιποὶ Ἕλληνες θὰ φθονήσωσιν· ὡς δίδωσι νὰ ἐννοήσωμεν διὰ τοῦ εὐθὺς ἑπομένου ὄ ψ ο ν δ ὲ λ ό γ ο ι κ. ἑξῆς. — ἅπτεται . . . ἐρίζει] «οὐ τῶν τυχόντων, φησὶν, ἅπτεται ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων· οὐδεὶς γὰρ Θερσίτῃ φθονεῖ, ἀλλὰ Ἀγαμέμνονι, χείροσιν οὖν οὐκ ἐρίζει· ὁ γὰρ φθόνος εἰς καλὰ βαίνει» Π. Σ. — ἅπτεται] ὁ φθόνος κατὰ προσωποποιΐαν, οὐχὶ ὁ φθονερός· ὡς καὶ τῷ ἑπομένῳ κ ε ῖ ν ο ς ἁρμόζει ὁ φθόνος.

— Στ. 39-40. Κεῖνος . . . ἀμφικυλίσσαις] Συλλογιζόμενος τὸν φθόνον τῶν Ἑλλήνων, ᾧ περιπεσοῦνται οἱ Αἰγινῆται, ἐὰν ἐπαινέσῃ τὰς αὐτῶν ἐν Σαλαμῖνι ἀνδραγαθίας, καὶ τὸν κόρον, ὃν αὐτὸς ποιεῖ ἐπαναλαμβάνων

Δάψεν υἱὸν, φασγάνῳ ἀμφικυλίσσαις·
Ἤ τιν᾽ ἄγλωσσον μὲν, ἦτορ δ᾽ ἄλκιμον λά-
θα κατέχει λυγρῷ ἐν νείκει· μέγιστον
Δ᾽ αἰόλῳ ψεύδει γέρας ἀντέταται.
Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ
Δαναοὶ θεράπευσαν·
Χρυσέων δ᾽ Αἴας στερη-

ἀεὶ (ἐν πᾶσι τοῖς εἰς Αἰγινήτας ὕμνοις) τὰ τῶν Αἰακιδῶν, ἀποπλανηθεὶς ὑπὸ τοῦ παραδείγματος, ὃ ἠβουλήθη περὶ φθόνου νὰ ἀνενέγκῃ, κατήντησε πάλιν ἄκων τρόπον τινὰ εἰς τοὺς Αἰακίδας. — Κεῖνος] ὁ φθόνος· παραλαμβάνεται δὲ κατὰ σύνεσιν ἐκ τοῦ «φθονεροῖσιν». — φασγάνῳ ἀμφικυλίσσαις] «ἀντὶ τοῦ ξ ί φ ε ι π ε ρ ι κ υ λ ί σ α ς· τοῦτο δέ φησιν ἀπὸ τοῦ συμβεβηκότος ἀπὸ τῆς καταπτώσεως τῆς κατὰ ἀναίρεσιν» Π. Σ.

— Στ. 41-47. Ἤ τιν᾽ ἄγλωσσον . . . πάλαισεν] παράβαλε πρὸς Νεμ. Ζ.′ 32. κ. ἑξῆς. Ὁ νοῦς· «διότι ἀληθῶς ἀνδρὸς μὴ δεινοῦ τὸν λόγον, ἰσχυροῦ δὲ καὶ τὴν καρδίαν ἀνδρείου (οἷος ἦν ὁ Αἴας), ἐν φιλονεικίᾳ σπουδαίᾳ, ἣ φέρει τῷ ἡττημένῳ λυγρὰ ἀποτελέσματα, τούτου τῶν ἀρετῶν οὐ μέμνηνται οἱ φθονεροὶ δικασταί· γεραίρεται δὲ ἀεὶ ἐν τοιαύτῃ φιλονεικίᾳ τὸ μετὰ ποικιλίας καὶ τέχνης ῥητορικῆς λεγόμενον ψεῦδος, ὡς συνέβη ἐν τῇ περὶ τῶν ὅπλων τοῦ Ἀχιλλέως δίκῃ Ὀδυσσέως πρὸς Αἴαντα, ὅτε οἱ Δαναοὶ κρυφίως ψηφοφορήσαντες ἔδοσαν τὴν νίκην ἐκείνῳ, ὑφ᾽ οὗ τῶν ψευδῶν παρεπείσθησαν ἀδικήσαντες ἐκεῖνον ὃν μᾶλλον ἐφθόνουν· διὸ ὑπὸ φιλοτιμίας ἐφόνευσεν ἑαυτόν». Ταῦτα καὶ τὰ ἑπόμενα λέγει προσποιούμενος, ὅτι ὁ ῥοῦς τοῦ λόγου παρέσυρεν ἄκοντα εἰς ἐπαίνους Αἰακιδῶν· διότι τὰ ἀπὸ στ. 39-59. ἔπαινοί εἰσι τοῦ Αἴαντος. Ἐμνημόνευσε δὲ τῆς ἐν τῇ δίκῃ ἥττης τοῦ Αἴαντος βουλόμενος νὰ εἴπῃ τοῦτο ἐν

ὀλίγαις λέξεσιν «παρεπείσθησαν μὲν ὑπὸ τῶν ποικίλων καὶ ἐντέχνων ψευδολογιῶν τοῦ Ὀδυσσέως, ἀλλὰ καὶ οὕτως, εἰ μὴ ἦν ὁ Αἴας κρείσσων τοῦ Ὀδυσσέως, καὶ ἡ ψηφοφορία μὴ ἐγίνετο ἐν τῳ κρυπτῷ, οὐκ ἂν ἐδίδοσαν οἱ Δαναοὶ ἐκείνῳ τὰ ὅπλα· διότι ἐκεῖνον ἂν μᾶλλον ἐφθόνουν· διότι πρὸς τοὺς χείρονας ὁ φθόνος οὐκ ἐρίζει. — ἤ τιν'] ἀσυνδέτως ἀντὶ τοῦ ἢ γάρ τιν'. — λάθα κατέχει] «κατέχει τοὺς φθονεροὺς δικαστὰς τοῦ νείκους τούτου ἀμνημοσύνη τῶν ἀρετῶν καὶ εὐεργεσιῶν τοῦ κρείσσονος μὲν ἀνδρὸς, ἀγλώσσου δέ». — ἐν λυγρῷ νείκει] «ἐν δίκῃ λυγρᾷ»· λυγρὸν δὲ νεῖκος καλεῖ ἐκείνην τὴν δίκην, ἣν ὁ ἡττηθεὶς μεγάλα ἀπώλεσεν. — μέγιστον . . . ἀντέταται] ἐν τῷ ἀνωτέρω μνημονευθέντι χωρίῳ ἡ αὐτὴ σχεδὸν ἔννοια ἐξεφράσθη ψευδέεσσι ποτανᾷ μαχανᾷ σεμνὸν ἔπεστί τι. — μέγιστον γέρας] Προσέθηκε τὴν λέξιν «μέγιστον» βουλόμενος τοῦτο νὰ εἴπῃ «ἔστι μὲν τὸ γέρας ποικίλῳ ψεύδει μέγιστον· ἀλλ' αὐτὸ μόνον οὐκ ἀρκεῖ τοῖς φθονεροῖς δικασταῖς, ἵνα δῶσι τὸ δίκαιον τῷ ψευδομένῳ· διότι καίπερ φθονοῦντες τὸν ἄγλωσσον μὲν, μείζονας δὲ ἔχοντα ἀρετὰς καὶ ἑαυτῶν καὶ τοῦ ἑτέρου τῶν δικαζομένων, καίπερ προσποιούμενοι, ὅτι ἐπείσθησαν τοῖς ποικίλοις ψεύδεσιν, ὅμως αἰδοῦνται τὰς μεγάλας ἀρετάς»· διὸ προσέθηκε τὸ κρυφίαισι γὰρ κ. τ. λ. — ἀντέταται] Ἐκ τοῦ ὅτι ἀνατέταται, ἐνυπάρχει μέγιστον γέρας τῷ ποικίλῳ ψεύδει, ἕπεται, ὅτι οἱ μὲν ἀμαθεῖς καὶ δημώδεις δικασταὶ πιστεύουσι τῷ τοιούτῳ ψεύδει, ὡς ἐπίστευσαν οἱ κατὰ τὸ ἀνωτέρω μνημονευθὲν χωρίον τῆς προηγουμένης ᾠδῆς δικάσαντες Τρῶες. Οἱ δὲ ἀνεπτυγμένοι μὲν δικασταὶ, οἷοι ἦσαν οἱ Δαναοὶ, οἳ καθὰ λέγει νῦν ὁ Πίνδαρος ἐδίκασαν, φθονεροὶ δὲ προσποιοῦνται, ὅτι πιστεύουσιν. — κρυφίαισιν ἐν ψάφοις] καλῶς ἔχει τοῦτο, ἵνα δείξῃ, ὅτι οἱ Δαναοὶ εἰ μὴ ἐδίδοσαν κρυφίως τὰς ψήφους, οὐκ ἂν ἐτόλμων φανερὰ νὰ δείξωσι τὸν

θεὶς ὅπλων φόνῳ πάλαισεν.

'Ε. β'. Κ. ιά.

Ἦ μὰν ἀνόμοιά γε δαΐ-
οισιν ἐν θερμῷ χροῒ
Ἕλκεα ῥῆξαν πολεμιζόμενοι
Ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν
Ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
Ἄλλων τε μόχθων πολυφθόροισιν ἐν
Ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν
Καὶ πάλαι, αἱμύλων μύθων ὁμόφοι-
τος, δολοφραδής, κακοποιὸν ὄνειδος·
Ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
Τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

φθόνον, καὶ δῶσι τὰ ὅπλα τῷ Ὀδυσσεῖ. — Δαναοὶ] Ἐν τῇ ἡγουμένῃ ᾠδῇ ἀκολουθῶν τῷ Ὁμήρῳ, λέγει, ὅτι τυφλὸς ὅμιλος, ἤτοι αἰχμάλωτοι Τρῶες ἐδίκασαν· νῦν δὲ ἑτέρως ἑρμηνεύων τὸ τοῦ Ὁμήρου (Ὀδυσσ. λ. 547), θεωρῶν ὅτι ἀναμὶξ Τρῶες καὶ Δαναοὶ ἐδίκασαν, Δαναοὺς μόνον ὀνομάζει· δηλονότι ἑκατέρωθι ἐξελέξετο, ὅ,τι ἐστὶ κατάλληλον πρὸς τὴν ἔννοιαν, ἣν ἐβούλετο νὰ ἐκφράσῃ. — χρυσέων . . . πάλαισεν] «ὁ δὲ Αἴας ἡττηθεὶς τὴν δίκην ἕνεκα τῶν δικασάντων Δαναῶν, οἳ κρυφίως ψηφοφοροῦντες ἠδυνήθησαν νὰ ἐνέγκωσι ψῆφον οὐχὶ κατὰ τὸ δίκαιον, ἀλλὰ κατὰ τὸν φθόνον, ἐφόνευσεν ἑαυτόν. — πάλαισε φόνῳ] «ἐπάλαισε πρὸς τὴν φιλοτιμίαν, ἢ προσέταττε αὐτῷ φόνον ἑαυτοῦ».

— Στ. 48-56. Ἦ μὰν ἀνόμοια . . . ὄνειδος] «Οὐχ ὅμοια βεβαίως τραύματα ἐπήνεγκαν τοῖς θερμοῖς

στ. 53. πολυφθόροισιν· αἱ δύο συλλαβαὶ πολὺ ἐκφωνηθήτωσαν ὡς μία.

σώμασι τῶν πολεμίων διὰ τῆς λόγχης μαχόμενοι ἀμφότεροι τὰ μὲν περὶ τὸ νεοκτονηθὲν σῶμα τοῦ Ἀχιλλέως, τὰ δὲ ἐν ἄλλοις πολυφθόροις μόχθοις· καὶ ὅμως ἡττήθη ὁ Αἴας ἐν τῇ δίκῃ· ἦν ἄρα καὶ πάλαι ἐχθρὰ παράπεισις γλυκέσι λόγοις συμπορευομένη, δολοφραδής, αἶσχος κακοποιόν». Ἐπειδὴ ἡ περὶ τοὺς λόγους δεινότης τοῦ Ὀδυσσέως καὶ οἱ αἱμύλοι λόγοι παραπείσαντες τοὺς δικαστὰς ἔδοσαν ἀφορμὴν νὰ δικάσωσι κατὰ φθόνον καὶ οὐχὶ κατὰ δίκαιον· διὰ τοῦτο ἐνταῦθα τὸν μὲν φθόνον ἐᾷ, τὴν δὲ ψευδολογίαν καὶ ἀπάτην καὶ δολοφροσύνην ἐλέγχει. — καὶ πάλαι] Ὁ ἔρωτι τῆς κοινῆς πατρίδος, τῆς Ἑλλάδος, φλεγόμενος Πίνδαρος ἐπῄνεσεν οὕτω τὸν Αἰακίδην Αἴαντα παραβάλλων πρὸς τὸν Ὀδυσσέα, ὥστε καὶ πρὸς χάριν τῶν Αἰγινητῶν καὶ τοῦ νικηφόρου Δείνιδος νὰ εἴπῃ καὶ ἀφορμὴν εὕρῃ νὰ ψέξῃ παραβολικῶς τοὺς αἰσχροὺς δημοκόπους τῶν Ἑλληνικῶν πόλεων καὶ μάλιστα τῶν Ἀθηνῶν, οἳ ἐξώρμων τὸν λαὸν εἰς ἐξοστρακισμοὺς καὶ κακώσεις τῶν ἀρίστων πολιτῶν. Τί τὸ παράδοξον, ἐὰν πρὸς μὲν τὸν Αἴαντα παραβάλλῃ τὸν Θεμιστοκλέα, τοὺς δὲ ῥήτορας τοὺς δημοκοπήσαντας καὶ ἐξαγριώσαντας τὸ πλῆθος τὸ μὲν πρῶτον εἰς ἐξοστρακισμὸν, τὸ δὲ δεύτερον εἰς ἐξορίαν αὐτοῦ πρὸς τὸν Ὀδυσσέα. Τοὐλάχιστον τὸ κρυφίαισιν ἐν ψάφοις (στ. 44) τοιοῦτόν τι δίδωσιν ἀφορμήν τινι δικαίως νὰ εἰκάσῃ. Αἱ δὲ περὶ ὧν νῦν ὁ λόγος λέξεις καὶ πάλαι σημαίνουσιν «οὐ μόνον νῦν ὑπάρχουσιν ἐν ταῖς πολιτείαις τῆς Ἑλλάδος ἄνθρωποι, οἵτινες ἐρίζοντες περὶ πρωτείων πρὸς τοὺς ἀρίστους τῶν πολιτῶν δημοκοποῦσι καὶ παραπείθουσι τὰ πλήθη, ἀλλὰ καὶ πάλαι ὑπῆρχον τοιοῦτοι, οἷος ἦν ὁ Ὀδυσσεύς.

— Στ. 57. τὸ λαμπρὸν βιᾶται] ἀναιρεῖ τοὺς λαμπροὺς ἄνδρας, ὡς ἀνεῖλε τὸν Αἴαντα.

— Στ. 58. τῶν ἀφάντων . . . σαθρὸν] «ἀνυφοῖ κῦδος τῶν ἀφανῶν σαθρὸν ὡς μὴ ἐκ λαμπρῶν καὶ

Σ. γ'. Κ. θ'.

Εἴη μή ποτέ μοι τοι-
οῦτον ἦθος, Ζεῦ πάτερ· ἀλλὰ κελεύθοις
Ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς
Παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω.
Χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
Ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ
Χθονὶ γυῖα καλύψαι-
μ', αἰνέων αἰνητά, μομ-
φὰν δ' ἐπισπείρων ἀλιτροῖς.

ἐνδόξων κατορθωμάτων προερχόμενον, ἀλλ' ἐκ κολακείας τοῦ ὄχλου».

— Στ. 59-67. Εἴη μή ποτέ μοι . . . ἀλιτροῖς] Καλῶς καὶ οἰκείως τῇ ὑποθέσει εὔχεται ταῦτα ὑπὲρ ἑαυτοῦ ὁ Πίνδαρος· διότι καὶ ὁ ποιητὴς οὐδὲν ἄλλο ἢ εἰς τοὺς δεινοὺς τὸν λόγον ὑπάγεται· οἱ δὲ δεινοὶ τὸν λόγον ἢ πλέκουσι ποικίλως ψεύδη ἐπαινοῦντες πράξεις μὴ ἀξίας ἐπαίνου, ἢ ἐπαινοῦσι μὲν τὰς ἀξίας ἐπαίνου, ψέγουσι δὲ τὰς ἀξίας ψόγου. Οὕτω καὶ ὁ ποιητὴς δύναται καὶ πρὸς κολακείαν νὰ ὑμνῇ πράξεις μὴ ἀξίας ὕμνου, καὶ τὰς ἀληθῶς ἀξίας ὕμνου νὰ ὑμνῇ. Ποιῶν δὲ τὴν εὐχὴν ταύτην ὁ ποιητὴς βούλεται καὶ νὰ ἐπιδείξῃ ἑαυτὸν τῷ Δείνιδι, ὅτι οὐκ ἀναξίως ἐπαινεῖ αὐτόν. Ὁ δὲ νοῦς τοῦ χωρίου. «Εἴθε μὴ γένοιτό μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ὥστε τοὺς μὲν λαμπροὺς καὶ ἐνδόξους ἄνδρας νὰ ψέγω πλάττων ποικίλα ψεύδη, νὰ ἐπαινῶ δὲ τοὺς ἀναξίους· ἵνα θανὼν καταλίπω φήμην ἔνδοξον τοῖς ἐμοῖς παισίν. Ἄλλοι μὲν εὔχονται νὰ ἔχωσι χρυσόν, ἕτεροι γῆν ἀπέραντον· ἐγὼ δὲ εὔχομαι καὶ ὑπὸ τῆς ἐνδείας νὰ ἀποθάνω, ἀρκεῖ μοι μόνον νὰ ἀρέσω τοῖς ἐμοῖς πολίταις ἐπαινῶν μὲν τὰ ἐπαινετὰ μεμφόμενος δὲ τὰ ἀλιτρά». — ἀλλὰ

κελεύθοις . . . προσάψω] «ἀλλὰ τὰς τοῦ βίου μοι κελεύθους καὶ ὁδοὺς ἀπλανεῖς φύλαξον, ὦ Ζεῦ, τουτέστι, εἴθε ἁπλᾶς καὶ ἀκακοήθεις ἀνύοιμι αὐτάς· ἵνα μὴ τελευτήσας τοῖς παισί μου κακὴν καταλείψω φήμην, τουτέστιν, ἵνα μὴ δυσφημηθῶσιν οἱ ἐμοὶ παῖδες ἄδικά μου πράξαντος». Π. Σ. — ἐγὼ δὲ . . . ἁλιτροῖς] «Τοσοῦτον ἡ ἐμὴ ἐπιθυμία καὶ εὐχή ἐστιν ἐναντία τῆς τῶν ἄλλων, ὥστε ἐκεῖνοι μὲν εὔχονται ἀπέραντον γῆν νὰ ἔχωσιν, ἐγὼ δὲ εὔχομαι καὶ νὰ καλύψω ὑπὸ τὴν γῆν τὰ μέλη μου, ἀρκεῖ μόνον νὰ ἀρέσω τοῖς πολίταις τοῖς ἐμοῖς αἰνέων μὲν αἰνητά, ὡς ἡ νίκη σοῦ, ὦ Δεινίδα, ἐστὶν αἰνητή, ψέγων δὲ τὰ ἀλιτρά». — ἁδὼν] «ἀφ' οὗ ἀρέσω, φθάνει μόνον νὰ ἀρέσω». Ὁ Πίνδαρος κατὰ τὸ αὐτοῦ ἔθος λέγει περὶ ἑαυτοῦ, ὅ, τι θέλει νὰ εἴπῃ κοινῶς περὶ πάντων· ἤτοι καίεται ἡ καρδία τοῦ ποιητοῦ βλέποντος, ὅτι ἐκ τῆς δημοκοπίας ἐξορίζονται ἐκ τῶν πόλεων τῆς Ἑλλάδος οἱ ἄριστοι τῶν πολιτῶν. Ἀντὶ λοιπὸν νὰ εὐχηθῇ νὰ ἀρέσκωσι τοῖς πολίταις πασῶν τῶν πόλεων τῆς Ἑλλάδος μόνον οἱ ἐπαινοῦντες μὲν τοὺς ἀρίστους πολίτας, ψέγοντες δὲ τοὺς ἀλιτρούς· ἀντί, λέγω, τούτου εὔχεται μόνον περὶ ἑαυτοῦ καὶ τῶν πολιτῶν ἑαυτοῦ. Ἡ δὲ ἐπὶ τῷ ἀτυχήματι τούτῳ τῆς Ἑλλάδος λύπη τοσούτῳ κατατήκει τὴν ψυχὴν τοῦ φιλοπάτριδος ποιητοῦ, ὥστε ἐπιθυμεῖ καὶ νὰ ἀποθάνῃ, ἀρκεῖ μόνον νὰ ἐκτελεσθῇ ἡ εὐχὴ αὐτοῦ, νὰ μὴ ἀρέσκωσιν οἱ κολακεύοντες τὸν ὄχλον καὶ ψέγοντες τοὺς ἀγαθούς, ἀλλὰ μόνον οἱ ἐπαινοῦντες αὐτούς. — καὶ καλύψαιμ'] ὁ «καὶ» ταύτην τὴν δύναμιν ἔχει «οὐ μόνον μὴ ἔχειν γῆν ἐπιθυμῶ, ἀλλὰ καὶ καλύψαι ὑπὸ τὴν γῆν τὰ ἐμὰ μέλη (νὰ ἀποθάνω) ὑπὸ τῆς ἐνδείας· τὸ «ὑπὸ τῆς ἐνδείας» ἐννοεῖται ἀφ' ἑαυτοῦ ἐκ τῆς ἀντιθέσεως τῆς εὐχῆς τοῦ ποιητοῦ πρὸς τὴν εὐχὴν τῶν ἐπιθυμούντων κτήσεως γῆς ἀπεράντου. — αἰνέων, ἐπισπείρων δὲ] τροπικαὶ μετοχαὶ ἐξηρτημέναι ἐκ τοῦ ἁ δ ὼ ν.

— Στ. 68-75. Αὔξεται . . . θέσθαι πίστιν]

Ἀ. γ'. Κ. θ'.

Αὔξεται δ' ἀρετά, χλω-
ραῖς ἐέρσαις ὡς ὅτε δένδρον ἀΐσ-
σει, σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις
Τε πρὸς ὑγρὰν αἰθέρα. χρεῖαι δὲ παντοῖ-
αι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις
Ὑπερώτατα· μαστεύει δὲ καὶ τέρ-
ψις ἐν ὄμμασι θέσθαι
Πίστιν. ὦ Μέγα, τὸ δ' αὖ-

Προοιμιάζεται ἤδη ἵνα μεταβῇ εἰς τοὺς ἰδίους ἐπαίνους τοῦ πατρὸς καὶ τοῦ υἱοῦ Δείνιδος. «Ἡ ἀρετὴ ὑπάρχει ἐν τοῖς σοφοῖς καὶ δικαίοις ἀνδράσι, καὶ διὰ τῆς σοφίας καὶ δικαιοσύνης αὐτῶν εἰς ὕψος αἴρεται, ὡς ὑψοῦται καὶ μεγαλύνεται χλωρὸν δένδρον διὰ τῆς δρόσου· ἔχουσιν ὅμως οἱ ἄνδρες παντοίας ἀνάγκας καὶ χρείας φίλων ἀνδρῶν· τὰ δὲ ὑπέρτατα, ἐν οἷς ἔχουσιν ἀνάγκην φίλων ἀνδρῶν, εἰσι τὰ διὰ πόνων τελούμενα· ἐπιθυμεῖ δὲ καὶ ἡ τέρψις, ἣν λαμβάνουσιν οἱ δίκαιοι οὗτοι καὶ σοφοὶ ἄνδρες ἐξ ἐπιτυχίας ἀγαθοῦ τινος, νὰ θέσωσιν οἱ φίλοι ἐν τοῖς ὀφθαλμοῖς τῶν ἄλλων δείγματα πιστικὰ, ὅτι ἐκτήσαντο τὸ ἀγαθὸν τοῦτο». — αὔξεται ἀρετὰ ἐν σοφοῖς καὶ δικαίοις] «ἡ ἀρετὴ ὑπάρχει καὶ αὐξάνει οὐχὶ ἐν τοῖς δημοκόποις καὶ ἀγύρταις (περὶ ὧν εἶπεν ἀνωτέρω), ἀλλ' ἐν τοῖς σοφοῖς καὶ δικαίοις (οἷος ηὔξατο ἐν στ. 64-67. νὰ ἦ αὐτὸς, καὶ οἷοί εἰσιν οἱ ὑπ' αὐτοῦ ὑμνούμενοι) ἀνδράσιν». Οὐδαμῶς ἀρέσκει μοι ἡ ἐξήγησις τῶν Π. Σ. καὶ ἄλλων, οἳ ἠκολούθησαν αὐτοῖς. Τὸ δὲ μέγεθος τῆς ἐν τούτοις τοῖς ἀνδράσιν αὐξήσεως τῆς ἀρετῆς ἐκφράζει ποιητικώτατα διὰ τῶν λέξεων ἀερθεῖσα πρὸς ὑγρὰν αἰθέρα· παραβάλλει δὲ τὴν ἀρετὴν πρὸς τρυφερὸν δένδρον ἐν ὑγρασίᾳ αὐξόμενον καὶ ὑψούμενον· καὶ πρὸς μὲν τὸ ἔδαφος, ἐν ᾧ τὸ δένδρον ἀΐσσει, πα-

ραβάλλει τὴν ψυχὴν τοῦ σοφοῦ καὶ δικαίου, ἐν ᾗ ἡ ἀρετὴ αὔξεται· πρὸς δὲ τὰς χλωρὰς ἐέρσας (δρόσους), αἷς τρέφεται καὶ αὔξει τὸ δένδρον, παραβάλλει τὴν σοφίαν καὶ δικαιοσύνην, ᾗ αὔξεται ἡ ἀρετή. — χλωραῖς] ἐναλλαγὴ πτώσεως κατ᾽ ἔφελξιν ἀντὶ τοῦ «χλωρὸν δένδρον». — χρεῖαι . . . ἀνδρῶν] Ἡ σύνταξις «χρεῖαι δὲ ὑπάρχουσι τοῖς σοφοῖς καὶ δικαίοις φίλων ἀνδρῶν παντοῖαι»· ὁ νοῦς «οἱ σοφοὶ καὶ δίκαιοι ἔχουσι χρείαν φίλων ἀνδρῶν». Ἄνευ βοηθείας φίλων ἀνδρῶν οὐδεὶς ἀγαθὸς δύναται μόνος νὰ αὐξήσῃ καὶ κλείσῃ τὰς αὐτοῦ ἀρετὰς ἐκτελῶν ἔργα ἔνδοξα καὶ σωτήρια τοῖς πολίταις. — τὰ μὲν . . . ὑπερώτατα] «τὰ μὲν μετὰ πόνων καὶ μόχθων γιγνόμενα πρὸς ἐπίδειξιν ἀρετῆς καὶ ἀπόκτησιν ἀγαθοῦ τινός εἰσιν ὑπέρτατα κατὰ τὰς χρείας τῶν φίλων, ἃς ἔχουσιν οἱ μοχθοῦντες»· οἷον ἐν τοῖς πόνοις, οὓς ὑπέστης, ὦ Δεῖνι, μοχθῶν γυμναζόμενος καὶ παρασκευαζόμενος εἰς ἐπίδειξιν τῆς σαυτοῦ ἀρετῆς καὶ εἰς ἀπόκτησιν τοῦ ἀγαθοῦ, τῆς νίκης, ἔσχες ἀνάγκην φίλου διδασκάλου· διότι ἄνευ αὐτοῦ οὐκ ἠδύνασο νὰ ἀποκτήσῃς τὸ ἀγαθόν. — μαστεύει δὲ . . . πίστιν] «ἡ δὲ τέρψις ἐπὶ τῇ ἀποκτήσει τοῦ ἀγαθοῦ ἐπιζητεῖ νὰ βεβαιωθῶσι καὶ τὰ ὄμματα καὶ ὦτα τῶν ἄλλων, ὅτι ἀληθῶς ἐκτήσατο τὸ ἀγαθόν. Εἰς τὴν ἐπιβεβαίωσιν λοιπὸν ταύτην, δι᾽ ἣν θὰ χαρῇ ὁ κεκτημένος τὸ ἀγαθὸν, ἔχει χρείαν φίλων ἀνδρῶν· ὡς σὺ, ὦ Δεῖνι, ὃς ἐκτήσω τὴν νίκην, ἵνα χαρῇς ἐπὶ τῇ κτήσει, ἔχεις ἀνάγκην φίλου ποιητοῦ, ἵνα θῇ δι᾽ ὕμνου πίστιν καὶ βεβαίωσιν τοῖς ὄμμασι καὶ ὠσὶ τῶν ἄλλων. — ἡ τέρψις] τοῦ κεκτημένου τὸ ἀγαθόν. — ἐν τοῖς ὄμμασι] τῶν ἄλλων. Ἐννοητέον ὅμως καὶ «καὶ τὸ τοῖς ὠσίν»· διότι οὐ μόνον τὰ ὄμματα ὁρῶντα τὸν χορὸν πιστεύουσιν, ὅτι ἐκτήσατο τὸ ἀγαθὸν, ἀλλὰ καὶ τὰ ὦτα ἀκούοντα τὴν ᾠδὴν τοῦ ὕμνου. — θέσθαι] τὸν φίλον ποιητήν.

— Στ. 75-78. ὦ Μέγα, . . . τέλος] «ὦ Μέγα· νὰ τέρψω καὶ πάλιν τὴν σὴν ψυχὴν ὑμνῶν ἑτέραν σου

τις τεὰν ψυχὰν κομίξαι
'Ε. γ'. Κ. ιά.
Οὔ μοι δυνατόν· κενεᾶν
Δ' ἐλπίδων χαῦνον τέλος.
Σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
Ὑπερεῖσαι λίθον Μοισαῖον, ἕ-
κατι ποδῶν εὐωνύμων
Δὶς δὴ δυοῖν· χαίρω δὲ, πρόσφορον
Ἐν μὲν ἔργῳ κόμπον ἱείς· ἐπ' ἀοι-

νίκην ἀδύνατόν μοί ἐστιν· τῶν δὲ κενῶν ἐλπίδων ἔκβασις δυσκόλως συμβαίνει». Εἰπὼν ὅτι ὁ κτησάμενος μέγα τι ἀγαθὸν τέρπεται νὰ τιθῆται τοῦτο διὰ τοῦ ὕμνου καὶ τοῖς ὄμμασι τῶν ἄλλων· ἤδη ἀποτείνεται πρὸς τὸν Μέγαν ὡς τεθνηκότα, βουλόμενος νὰ εἴπῃ, ὅτι ἤδη ἔτερψα τὴν σὴν ψυχὴν ὑμνήσας ἐνταῦθα (ὅρα στ. 26-27) μετὰ τῆς νίκης τοῦ σοῦ υἱοῦ καὶ τὴν σήν· ἑτέραν δὲ σοῦ νίκην ὡς ἀποθανόντος οὔ μοι δυνατὸν ἔσεται νὰ ὑμνήσω, ἵνα τέρψω τὴν σὴν ψυχήν. — τὸ αὖτις] «καὶ δεύτερον πάλιν». — κομίξαι] νὰ περιποιήσωμαι, νὰ τέρψω. — κενεᾶν . . . τέλος] Τὸ γνωμικὸν τοῦτο ἐνταῦθα φαίνεται ὅτι μένει ἀργὸν καὶ ἀνάρμοστον καθ' ὅποιον δήποτε τρόπον καὶ ἂν ἐκλάβῃς τὸ κ ο μ ί ξ α ι. Ἀλλὰ παρὰ Πινδάρῳ οὐδὲ λέξιν δύναταί τις νὰ φαντασθῇ ἀργοῦσαν, πολλῷ μᾶλλον γνωμικὸν ὅλον. Τί λοιπὸν συμβαίνει; καὶ ἐνταῦθα πάλιν ἀποτείνεται πρὸς τὸν τεθνηκότα Μέγαν κατὰ τὸ δόγμα τῆς μετεμψυχώσεως, ὃ ἐξέθετο ἐν Ὀλ. Β'. 104. κ. ἑξῆς, καὶ καθ' ὃ ἐλάλησε καὶ ἐν Νεμ. Ζ'. 25. Ὅθεν τοῦτο λέγει ὁ ποιητὴς «νὰ ἐλπίζω δὲ, ὅτι κατὰ τὴν ἐπὶ τὴν γῆν ἐν τῇ μετεμψυχώσει ἐπάνοδόν σου πάλιν θὰ ἀποδοθῇς εἰς τὸν ἀγῶνα, καὶ νικήσαντα θὰ σε ὑμνήσω πάλιν, τοῦτό ἐστιν ἐλπὶς κενή· διότι τίς οἶδεν, ἐν τῇ μετεμψυχώσει σοῦ τε καὶ ἐμοῦ τίνα ἐπιτηδεύματα

ἑκάτεροι ἐν τῷ δευτέρῳ βίῳ ἡ Μοῖρα θὰ προσδιορίσῃ νὰ ἐπιτηδεύωμεν. Αὕτη λοιπὸν ἡ ἐλπίς ἐστι κενή· τῶν δὲ κενῶν ἐλπίδων ἡ ἐκτέλεσίς ἐστι σχεδὸν ἀδύνατος (χαύνη)».

— Στ. 79-82. Σεῦ δὲ . . . δὶς δὴ δυοῖν] «νὰ στήσω δὲ στήλην Μουσῶν εἰς τὴν σὴν πατρίδα καὶ τὴν σὴν φυλὴν τῶν Χαριαδῶν ἕνεκα τῆς σῆς νίκης καὶ ἐκείνης τοῦ σοῦ υἱοῦ, τοῦτο δύναμαι». — Χαριάδαις] «Χαριαδῶν φυλὴ, ἀφ' ἧς ὁ νικηφόρος». Π. Σ. — λάβρον λίθον Μοισαῖον] «ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων εὔτονον στήλην, ἤγουν τὸν ὕμνον καλεῖ οὕτως· λάβρον δὲ διὰ τὸ ῥεύματι (λόγων) χρῆσθαι τοὺς ποιητάς». Π. Σ. — ὑπερεῖσαι] «ἀναστηρίξαι» Π. Σ. Ἀναπλήρωσον (ἐκ τοῦ στ. 77) «δυνατόν μοί ἐστιν». — ποδῶν . . . δυοῖν] περίφρασις δύο νικῶν ἐν σταδιοδρομίᾳ δύο ἀνδρῶν, τῆς μὲν τοῦ πατρὸς Μέγα, τῆς δὲ τοῦ υἱοῦ Δεινίδος. Ὅθεν ὁ νοῦς «ἕνεκα τῶν δύο νικῶν, ἃς οἱ δὶς δύο, ἤτοι οἱ τέσσαρες ὑμῶν, σοῦ τε καὶ τοῦ υἱοῦ, πόδες ἤραντο».

— Στ. 82-87. χαίρω δὲ . . . ἔριν] «χαίρω δὲ ὑμνήσας μετὰ κόμπου προσφόρου εἰς τὸ ποιῆσαι λήθην τῶν μόχθων, ὧν τὸ ἔργον τῆς νίκης δεῖται, ὡς καὶ αἱ ἐπῳδαὶ ποιοῦσιν ἀνωδύνους τὰς νόσους. Τὸ δὲ ἔθος τοῦ θεραπεύειν δι' ὕμνου ἐπικωμίου τοὺς μόχθους, οἳ προηγοῦνται τῆς νίκης, οὐκ ἤρξατο ἀπὸ τῆς συστάσεως τῶν Νεμέων, ἀλλὰ καὶ πρὶν ἔτι ὑπῆρχεν». — πρόσφορον ἐν τῷ ἔργῳ] «πρόσφορον τῷ ἔργῳ τῆς νίκης»· τὸ ἔργον τῆς νίκης ἐστὶ μέγα καὶ ὑψηλὸν καὶ ἀπαιτεῖ πολλοὺς καὶ μεγάλους μόχθους εἰς τὴν ἐπίτευξιν· καὶ ὁ κόμπος λοιπὸν τῶν λόγων, ἐξ ὧν συνετέθη ὁ ὕμνος, μέγας ἐστὶ καὶ ἱκανὸς νὰ θεραπεύσῃ καὶ ποιήσῃ λήθην τῶν μόχθων. — ἱεὶς] Λέγεται ἱ έ ν α ι φ ω ν ὴ ν, γ λ ῶ σ σ α ν καὶ τὰ τοιαῦτα. Ὁ Πίνδαρος ὅμως συχνάκις παραβάλλει τοὺς λόγους πρὸς τὰ βέλη· κατὰ ταύτην λοιπὸν τὴν παραβολὴν ἔφη «ἱεὶς κόμπον» διότι λέγουσιν ἱ έ ν α ι

δαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον
Θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
Δὴ πάλαι, καὶ πρὶν γενέσθαι
Τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν.

βέλη. — ἐπ' ἀοιδαῖς . . . θῆκεν] Ὁ ποιητὴς βούλεται νὰ ποιήσῃ ἐνταῦθα ταύτην τὴν παρομοίωσιν οὕτως «ὥσπερ ἐγὼ ταῖς ᾠδαῖς τῶν ὕμνων θεραπεύω τοὺς μόχθους, οὓς πάσχει ὁ νικηφόρος μέχρι τῆς νίκης, ποιῶν λήθην αὐτῶν· οὕτω καὶ ἄνδρες τινὲς ποιοῦσι ταῖς ἐπαοιδαῖς (ἐπῳδαῖς) ἀνώδυνον τὴν ἀσθένειαν»· ἀλλὰ τὰ δύο μέρη τῆς παρομοιώσεως οὕτως συνέπτυξεν εἰς ἕν, ὥστε διὰ μόνου τοῦ «καὶ» ἐν τοῖς «ἀνὴρ καί τις», δυνάμεθα νὰ ἐννοήσωμεν, ὅτι ἐστὶ σχῆμα παρομοιώσεως· «ταῖς ἐπῳδαῖς, φησὶν, ἀνώδυνόν τις ἔθηκε τὸν κάματον· ἐδόκουν γὰρ οἱ ἀρχαῖοι ταῖς ἐπῳδαῖς ἴασιν καὶ θεραπείαν εὑρίσκειν. Ὅμηρος (Ὀδυσσ. τ. 457) ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχεθον· πρὸς τί δὲ τοῦτο εἶπεν; ὅτι ὡς ἐπῳδῇ τις χρησάμενος κουφίζει τὸν κάματον, οὕτω καὶ ἐγὼ ὡς ἐπῳδῇ χρησάμενος τῷ ὕμνῳ κουφίσω τὴν κακοπάθειαν τοῦ ἠθληκότος». Π. Σ. — ἀνὴρ καί τις] «ὥσπερ ἐγὼ τῷ ὕμνῳ εὐφραίνω καὶ θεραπεύω τὸν κακοπαθήσαντα νικηφόρον, οὕτω καί τις ἀνὴρ, ποιεῖ τῇ ἐπῳδῇ ἀνώδυνον τὸν κάματον τοῦ πάσχοντος». — ἦν γε μὰν . . . ἔριν] «διὰ μόνης δὲ τῆς ᾠδῆς γίνεται ὁ νικηφόρος ἀθάνατος· διὸ καὶ ἔκπαλαι πρὶν ἔτι τῆς συστάσεως τῶν Νεμεαίων ἀγώνων ἐπικωμίῳ ὕμνῳ ἐτιμῶντο οἱ νικηφόροι»· οὕτως (ἐν Ὀλ. Ι'. 92) Ἀείδετο πᾶν τέμενος τερπναῖσι θαλίαις τὸν ἐγκώμιον ἀμφὶ τρόπον. — ὕμνος ἐπικώμιος] ὕμνος ᾀδόμενος ἐν κώμῳ. — καὶ πρὶν γενέσθαι . . . ἔριν] ἴσον τῷ «καὶ πρὶν τῆς συστάσεως τῶν Νεμεαίων ἀγώνων»· «τουτέστι τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι,

πρὶν καὶ τοὺς Ἀργείους ἐπιστρατεῦσαι ταῖς Θήβαις, τουτέστι πρὶν τὰ Νέμεα τεθῆναι ἦν ἐγκώμια (ὕμνοι ᾀδόμενοι εἰς νικητὰς ἱερῶν ἀγώνων ἐν κώμῳ)· στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ αὐτῷ τοῦ μόρου ἄρξαντι τὰ Νέμεα ἔθηκαν». Π. Σ. Ὅρα τὰ περὶ συστάσεως τῶν Νεμέων ὑπὸ τῶν Π. Σ. ἀναφερόμενα ἐν τῇ εἰσαγωγῇ τοῦ παρόντος βιβλίου τῶν Νεμέων.

ΜΕΤΑΦΡΑΣΙΣ.

Ὥρα σεβαστή, κήρυξ τῶν γλυκυτάτων φιλοτήτων τῆς Ἀφροδίτης, ἡ ὑφιζάνουσα ἐπὶ τῶν βλεφάρων τῶν παρθένων καὶ τῶν ἐφήβων (καὶ ἑνοῦσα αὐτοὺς εἰς γάμον) ἄλλους μὲν βαστάζεις ἐν ταῖς ἀγκάλαις ἡμέροις ἔρωσιν, ἄλλους δὲ ἀγρίοις· ἀγαπητὸν δὲ μὴ ἀποτυχὼν τῆς εἰς παιδοποιΐαν εὐκαιρίας ἕκαστος νὰ δύνηται νὰ ἐπικρατῇ τῶν κρεισσόνων ἐρώτων· οἷοι ἦσαν καὶ οἱ ἔρωτες τοῦ Διὸς καὶ τῆς Αἰγίνης, οἵτινες ποιμένες τῶν δώρων τῆς Κυπρίας περιεπόλησαν τὸ λέκτρον αὐτῶν· διὸ ἐβλάστησεν ἐκ τούτων υἱός, βασιλεὺς τῆς Οἰνώνης, ἄριστος χερσὶ καὶ βουλαῖς· λίαν ἐπεθύμουν πολλοὶ νὰ ἴδωσιν αὐτόν· διότι τὸ ἄνθος τῶν περιοικούντων ἡρώων ἄνευ μάχης ἤθελον ἑκόντες νὰ πείθωνται τῇ ἐκείνου θελήσει, καὶ ὅσοι διῴκουν ἐν ταῖς κρανααῖς Ἀθήναις τὸν λαόν, καὶ οἱ Πελοπίδαι οἱ περὶ τὴν Σπάρτην βασιλεύοντες. Ἱκέτης ἅπτομαι τῶν σεμνῶν γονάτων τοῦ Αἰακοῦ

καὶ ὑπὲρ τῆς φίλης ταύτης πόλεως καὶ ὑπὲρ τῶν ἀστῶν τούτων, φέρων Λύδιον στέφανον μελεάσματι πεποικιλμένον, ἄγαλμα Νεμεαῖον τῶν δισσῶν σταδίων Δείνιδος καὶ τοῦ πατρὸς Μέγα· διότι εὐδαιμονία τῇ βοηθείᾳ τοῦ θεοῦ φυτευθεῖσά ἐστι τοῖς ἀνθρώποις ἐμμονωτέρα· διότι θεὸς καὶ τὸν Κινύραν ἐν τῇ ποντίᾳ Κύπρῳ περιέκλυσε πλούτῳ. Ἤδη ἵσταμαι ἔχων κούφους τοὺς πόδας, ἵνα ἀναπνεύσω πρὶν νὰ ἐπαναλάβω τὸν ἀγῶνα τῶν λόγων· διότι πολλὰ πολλαχοῦ ἐλέχθησαν ὑπ᾽ ἐμοῦ· νεαρὰ δὲ νὰ ἐξεύρω καὶ δόσω εἰς βάσανον καὶ ἐξέλεγξιν, τοῦτό ἐστι πᾶς κίνδυνος· διότι ὄψον τοῖς φθονεροῖς εἰσιν οἱ λόγοι· ἅπτεται δὲ ἀεὶ ὁ φθόνος τῶν ἀγαθῶν, πρὸς τοὺς χείρονας δὲ οὐκ ἐρίζει. Ἐκεῖνος καὶ τὸν υἱὸν τοῦ Τελαμῶνος κατέφαγε φασγάνῳ περικυλίσας· διότι ἀληθῶς ἐν λυγρᾷ ἔριδι ἀνδρὸς μὴ δεινοῦ μὲν τὸν λόγον, ἀλκίμου δὲ τὴν καρδίαν κατέχει (τοὺς φθονεροὺς δικαστὰς) λήθη τῶν εὐεργεσιῶν· τῷ δὲ ποικίλῳ ψεύδει ἀποδίδοται μέγιστον γέρας· διότι κρυφίας δόντες τὰς ψήφους οἱ Δαναοὶ ἐθεράπευσαν τὸν Ὀδυσσέα· ὁ δὲ Αἴας στερηθεὶς τῶν ὅπλων ἐπάλαισε πρὸς τὸν φόνον. (Ἡ δίκη αὕτη λίαν ἄδικος ἦν)· διότι ἀληθῶς οὐχ ὅμοια τραύματα ἀμφότεροι τοῖς θερμοῖς τῶν ἐχθρῶν σώμασιν ἐπήνεγκαν τῇ ἀλεξιμβρότῳ λόγχῃ μαχόμενοι τὰ μὲν περὶ τὸ νεοκτόνον σῶμα τοῦ Ἀχιλλέως, τὰ δὲ ἐν ὀλεθρίαις ἡμέραις ἄλλων μόχθων. Ὑπῆρχεν ἄρα καὶ πάλαι ἐχθρὰ ἀπάτη αἱμύλοις λόγοις συμπορευομένη, δολοπλό-

κος, αἰσχρὸν ὄνειδος· ἢ τοὺς μὲν λαμπροὺς βιάζεται, τοὺς δὲ ἀφανεῖς ἀνυψοῖ σαθρῷ κύδει. Εἴθε μή ποτέ μοι γένοιτο τοιοῦτον ἦθος, Ζεῦ πάτερ· ἀλλ' εἴθε πορευοίμην ἁπλᾶς ὁδοὺς ζωῆς, ἵνα θανὼν καταλίπω τοῖς ἐμοῖς παισὶ καλὴν φήμην. Ἄλλοι μὲν εὔχονται νὰ ἔχωσι χρυσὸν, ἄλλοι δὲ γῆν ἀπέραντον· ἐγὼ δὲ εἴθε καὶ νὰ καλύψω τὰ μέλη μου ὑπὸ τὴν γῆν, ἀρκεῖ μόνον νὰ ἀρέσω τοῖς ἐμοῖς πολίταις ἐπαινῶν μὲν τὰ ἐπαινετὰ, μομφὴν δὲ ἐπισπείρων εἰς τὰ ἀλιτρά. Ἡ ἀρετὴ αὔξεται ἐν σοφοῖς καὶ δικαίοις ἀνδράσιν ὑψωθεῖσα εἰς τὸν ὑγρὸν αἰθέρα, ὡς χλωρὸν δένδρον μεγεθύνεται ἐν τῇ δρόσῳ· αἱ δὲ ἀνάγκαι αὐτῶν, εἰς ἃς δέονται φίλων ἀνδρῶν, εἰσι παντοῖαι· αἱ δὲ περὶ τοὺς πόνους ἀνάγκαι εἰσὶ πρώτισται· ἀλλὰ καὶ ἡ τέρψις αὐτῶν ἐπιζητεῖ νὰ θῶσιν οἱ φίλοι τοῖς ὄμμασι τῶν ἀνθρώπων πίστιν, (ὅτι ἐκτήσαντο μέγα ἀγαθόν). Ὦ Μέγα, νὰ τέρψω καὶ πάλιν τὴν σὴν ψυχὴν οὔ μοι δυνατόν· ἡ δὲ ἐκπλήρωσις κενῶν ἐλπίδων ἐστὶ χαύνη· νὰ ἐγείρω δὲ στήλην ἐκ μέρους τῶν Μουσῶν λάβρον τῇ σῇ πατρίδι καὶ τῇ σῇ φυλῇ τῶν Χαριαδῶν ἕνεκα τῶν δὶς δύο εὐδόξων ποδῶν (σοῦ καὶ τοῦ σοῦ υἱοῦ) δύναμαι. Χαίρω δὲ, ὅτι ἐξύμνησα μετὰ κόμπου προσφόρου τῷ μεγάλῳ ἔργῳ τῆς νίκης· οὕτως καὶ ἄλλοι τινὲς ἄνδρες ποιοῦσι ταῖς ἐπῳδαῖς ἀνωδύνους τὰς ἀσθενείας. Ὑπῆρχε μὲν καὶ πάλαι ἐπικώμιος ὕμνος καὶ πρὶν νὰ γένηται ἡ τοῦ Ἀδράστου καὶ τῶν Καδμείων ἔρις.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Θ΄.

ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

ΑΡΜΑΤΙ.

Ἡ ἐννάτη ᾠδὴ μονοστροφική ἐστι κατὰ δυωδεκάδας διῃρημένη.

Κῶλον 1. ∸ ⏑ ⏑ ∸ ⏑ ⏑ – ≃ Δακτυλικὸν τρίμετρον καταληκτικόν.

„ 2. – ⏑ ⏑ – ⏑ ⏑ – ≃ Ὅμοιον.

„ 3. ∸ ⏑ ∸ – ¦ ∸ ⏑ ∸ – Τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

„ 4. ∸ ⏑ ⏑ | ∸ ⏑ ⏑ ¦ ∸ Δακτυλικὸν πενθημιμερές.

„ 5. – ∸ ⏑ ∸ | – ∸ ⏑ ∸ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

„ 6. ∸ ⏑ ⏑ | ∸ ⏑ ⏑ | ∸ Δακτυλικὸν πενθημιμερές.

„ 7. ∸ – – ¦ ⏑ ∸ ⏑ ⏑ ∸ | – – ⏑ ⏑ Ἐγκωμιολογικὸν, ἐὰν ὁ τελευταῖος ποῦς, ὅς ἐστι δάκτυλος, μετενεχθῇ εἰς τὴν ἀρχὴν τοῦ κώλου· δηλονότι τούτου γενομένου τὸ κῶλον συσταθήσεται ἐκ πενθημιμεροῦς δακτυλικοῦ καὶ πενθημιμεροῦς ἰαμβικοῦ.

„ 8. ∸ ⏑ ∸ – ¦ ∸ ⏑ ⏑ - ⏑ ⏑ - - Ἰαμβέλεγος, ἐὰν ἡ τελευταία τοῦ κώλου συλλαβὴ μετενεχθῇ εἰς τὴν ἀρχήν· διότι τότε τὸ μέτρον ἀποβαίνει οὕτω

– ∸ ⏑ ∸ – | – ⏑ ⏑ – ⏑ ⏑ –

„ 9. ∸ ⏑ ⏑ ∸ ⏑ ⏑ ∸ Δακτυλικὸν πενθημιμερὲς.

„ 10. – ∸ ⏑ ∸ | - - ∸ ⏑ ∸ Ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Κῶλον 11. – ⏊ ⏑ ⏊ | – ⏊ ⏑ ⏊ Τὸ αὐτό.
„ 12. – ⏊ ⏑ ⏊ | – Ἰαμβικὸν πενθημιμερές.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἑτοίμου οὔσης τῆς πομπῆς νὰ κινήσῃ διευθυνομένη πρὸς τὸν ναὸν τοῦ Αἰτναίου Διός, καὶ δόντος τοῦ Χρομίου σημεῖον νὰ ἄρξηται τῆς πορείας ἡ πομπή, ἐπικαλεῖται ὁ ποιητὴς διὰ τοῦ χοροῦ τὰς Μούσας νὰ ἐμπνεύσωσι γλυκὺν ὕμνον εἰς τὴν Λητὼ καὶ τοὺς παῖδας αὐτῆς τοὺς προστάτας τῶν ἐν Σικυῶνι ἀγώνων (ἀπὸ στ. 1-12). Αἱ Μοῦσαι εἰσακούουσαι τῆς ἐπικλήσεως τοῦ ποιητοῦ προοιμιάζονται νὰ ὑμνήσωσιν εἰς τιμὴν τῶν τριῶν θεοτήτων τὴν σύστασιν τῶν ἐν Σικυῶνι ἀγώνων καὶ τὸν συστήσαντα αὐτοὺς Ἄδραστον· (ἀπὸ στ. 13-22). Ἐμπνεόμενος δὲ ὁ ποιητὴς ὑπὸ τῶν Μουσῶν αὐτὸς διηγεῖται τὰ τῆς συστάσεως τῶν ἀγώνων (ἀπὸ στ. 23-29)· καὶ ἐξυμνεῖ τὸν συστήσαντα αὐτοὺς Ἄδραστον, ἐν ᾧ διηγεῖται τὴν ἐπὶ Θήβας αὐτοῦ στρατείαν καὶ ἀποδίδωσι τὴν ἀποτυχίαν αὐτῆς τῇ βουλήσει τοῦ Διὸς (ἀπὸ στ. 30-56). Διηγησάμενος δὲ καὶ τὴν ἀποθέωσιν τοῦ Ἀμφιαράου (ἀπὸ στ. 57-65)· τελευτᾷ, ὅσα εἶχε νὰ εἴπῃ ἀναφερόμενα πρὸς τὴν σύστασιν τῶν ἐν Σικυῶνι ἀγώνων καὶ πρὸς ἔπαινον τοῦ Ἀδράστου· καὶ ἀπὸ στ. 66 εἰσέρχεται εἰς τοὺς ἐπαίνους τοῦ

Χρομίου προοιμιαζόμενος δι' εὐχῆς πρὸς τὸν Δία νὰ ἀναβάλῃ ἐπὶ μακρότατον τὴν τῶν Καρχηδονίων νέαν ἐπὶ τὴν Σικελίαν στρατείαν, ἐν δὲ τῷ μεταξὺ τούτῳ νὰ παρέχῃ εὐνομίαν καὶ εἰρήνην τοῖς Σικελιώταις Ἕλλησιν, ἵνα οἱ ἐν Αἴτνῃ πλούσιοι παρέχωσι τοῖς πολίταις ἀγλαΐας (ἀπὸ στ. 66-74). Ἐκ τοῦ προοιμίου τούτου εἰσέρχεται καταλλήλως εἰς τοὺς ἰδίους ἐπαίνους τοῦ Χρομίου ἀναφέρων αὐτὸν ὡς παράδειγμα τοῦ ὅτι οὐ μόνον ὑπάρχουσιν ἐν Αἴτνῃ ἄνδρες ἀφειδοῦντες τοῦ πλούτου πρὸς τέρψιν τῶν πολιτῶν, ἀλλὰ καὶ ἐν ταῖς μάχαις αἰδούμενοι ὑφίστανται τὸν ὑπὲρ ζωῆς ἐλευθέρας ἢ ὑπὲρ εὐδοξίας θάνατον (ἀπὸ στ. 75-79). Καὶ πρῶτον ἐπαινεῖ τὴν ἐν πολέμῳ ἀνδρείαν καὶ φρόνησιν αὐτοῦ (ἀπὸ στ. 80-115)· εἶτα ἐν μιᾷ μόνῃ μικρᾷ μὲν περιεκτικωτάτῃ δὲ ἐννοιῶν προτάσει ἐπαινεῖ τὴν γενναιότητα αὐτοῦ εἰς τὸ παρέχειν δεῖπνα καὶ θεάματα τῷ λαῷ· εἶτα ἐπαινεῖ τὴν ἐν Σικυῶνι νικηφορίαν (ἀπὸ στ. 115-127). Ἐν δὲ τῷ ἐπιλόγῳ (ἀπὸ στ. 127. μέχρι τέλους) εὔχεται τῷ Διῒ ὁ μὲν ἔπαινος τῶν ἀρετῶν τοῦ Χρομίου νὰ ᾖ ἐπιτερπής, ὁ δὲ ὕμνος ὃν ἐποίησε, τῆς νίκης νὰ ᾖ ἀνυπέρβλητος τοῖς ἄλλοις ποιηταῖς.

ΕΙΣΑΓΩΓΗ

Περὶ τοῦ Χρομίου τούτου ὅρα εἰσαγωγὴν εἰς τὸ Α.' Νεμέων. Ἐν Σικυῶνι ἐτελοῦντο τὰ Πύθια (ὅρα Σημ.

εἰς Ὀλ. ΙΓ.' 155). Συνέστη δὲ ἡ ἑορτὴ αὕτη ἐν Σικυῶνι ὧδε· οἱ Ἀμφικτύονες πολεμοῦντες πρὸς τοὺς Κιρραίους προεστήσαντο ἡγεμόνα τοῦ πολέμου Κλεισθένην τὸν τυραννοῦντα Σικυωνίων προσθέντες αὐτῷ καὶ Σόλωνα τὸν Ἀθηναῖον σύμβουλον (ὅρα Παυσαν. Ι.' 27). «Ἁλικαρνασσεὺς δέ φησιν, ἐν (τούτῳ) τῷ πολέμῳ τῶν Κρισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια ποριζομένων καὶ διὰ τοῦτο μακρᾶς γενομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον ναυτικὸν ἰδίᾳ παρασκευάσαντα κωλῦσαι τὴν σιτοπομπίαν αὐτῶν, καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τὸ τρίτον τῶν λαφύρων ἔδοσαν τῷ Κλεισθένει, ἀφ' οὗ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν» Π. Σ. Ἐν τούτοις λοιπὸν τοῖς Πυθίοις, ἃ ἤγοντο κατὰ μίμησιν τῶν ἐν Δελφοῖς Πυθίων, ἐνίκησεν ἅρματι ὁ Χρόμιος. Ὅθεν ἡ ᾠδὴ αὕτη ὥσπερ καὶ αἱ ἑξῆς δύο, οὐκ ἐστι Νεμεακή· διὸ ὁ Π. Σ. λέγει «Αὗται δὲ αἱ ᾠδαὶ οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι· διὸ κεχωρισμέναι φέρονται». Ἔστι δὲ μεταγενεστέρα τῆς Α.' τῶν Νεμέων· ὅπερ εἰκάζεται ἐκ τοῦ ὅτι αὕτη μὲν ᾄδεται ἐν Αἴτνῃ, ἐκείνη δὲ ἐν Συρακούσαις πρὸ τοῦ μεταθεῖναι δηλονότι τὴν οἴκησιν εἰς Αἴτνην τὸν Χρόμιον· περὶ οὗ ὁ Π. Σ. λέγει «ὁ Χρόμιος οὗτος φίλος ἦν Ἱέρωνος, κατασταθεὶς ὑπ' αὐτοῦ τῆς Αἴτνης ἐπίτροπος· ὅθεν καὶ Αἰτναῖος ἐκηρύχθη». Ἐκηρύχθη δὲ Αἰτναῖος οὐχ ὅτι ἦν ἐπίτροπος, ἀλλ' ὅτι ἦν ἐγγεγραμμένος πολίτης Αἰτναῖος, ὥσπερ ἦν καὶ ὅτε ἐν Νεμέᾳ ἐνίκησεν. Περίεργον δὲ, ὅτι ἐν οὐδετέρᾳ ᾠδῇ μέμνηται ὁ ποιητὴς τῆς ἑτέρας τῶν νικῶν. Προσδιώρισται δὲ νὰ ᾀσθῇ ἡ παροῦσα ᾠδὴ ἐν πομπῇ τελεσθησομένῃ κατὰ τὴν εἰς Αἴτνην ἐκ Σικυῶνος ἐπάνοδον τοῦ ἅρματος τοῦ Χρομίου (ὅρα κατωτέρω Σημ. εἰς στ. 123-127 ἐν ἀρχῇ).

Δυωδεκὰς ά.

Κωμασομεν παρ' Ἀπόλλω-
νος Σικυώνοθε, Μοῖσαι,
Τὰν νεοκτίσταν ἐς Αἴτναν,
Ἔνθ' ἀναπεπταμέναι
Ξείνων νενίκανται θύραι,
Ὄλβιον ἐς Χρομίου
Δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε·
Τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων,

— Στ. 1-7. Κωμάσομεν . . . πράσσετε] «χορεύσωμεν, ὦ Μοῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκοντες καὶ παρὰ τοῦ ἐκεῖσε Ἀπόλλωνος εἰς τὴν καλλίστην Αἴτνην, ἐν ᾗ πᾶσιν ἀνεῳγυῖαι αἱ θύραι τοῦ Χρομίου τῆς οἰκίας ἥττηνται ὑπὸ τῶν ξένων, ἔνθα πᾶσι ξένοις ὁ πλούσιος οἶκος ἀνέῳκται ὑπὸ φιλοξενίας ἡττηθείς· ἄγε δὲ οὖν, ὦ Μοῦσαι, διανύσατε καὶ πράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους» Π. Σ. — κωμάσομεν] «ἀπὸ τοῦ χοροῦ ὁ λόγος» Π. Σ. Κεῖται μὲν ἐνίοτε παρὰ Πινδάρῳ ὁ μέλλων τῆς ὁριστικῆς ἀντὶ ὑποτακτικῆς· ἐνταῦθα ὅμως τὸ κ ω μ ά σ ο μ ε ν ἐστι κυρίως μέλλων, καὶ οὐχὶ ὡς ἑρμηνεύει ὁ Π. Σ. Ἐννοεῖ δὲ ὁ ποιητὴς τὸν κῶμον, ὃς γενήσεται εὐθὺς μετὰ τὴν πομπὴν (ὅρα στ. 117. κ. ἑξῆς καὶ τὴν αὐτόθι Σημ.), ἢ ἀντὶ τοῦ πομπεύσομεν. — παρ' Ἀπόλλωνος Σικυώνοθε] ἀντὶ τοῦ «παρὰ τοῦ ἐν Σικυῶνι Ἀπόλλωνος»· ἐφειλκύσθη δὲ τὸ «ἐν Σικυῶνι» εἰς «Σικυώνοθε» ἐκ τῆς σημασίας τοῦ «παρ' Ἀπόλλωνος». — ἐς τὴν νεοκτίσταν Αἴτναν] Καλῶς ἀναπληροῖ

τὴν βραχυλογίαν ὁ Π. Σ. διὰ τοῦ ἥκοντες. Ἧκε δὲ οὐχὶ ὁ χορὸς ἐκ Σικυῶνος, οὐδὲ ὁ νικηφόρος Χρόμιος· ἀλλ' οἱ ἵπποι καὶ τὸ ἅρμα (ὅρα στ. 123. κ. ἑξῆς)· ὅθεν ὁ λόγος ἐστὶ συνεκδοχικός. — νεοκτίσταν] «νεόκτιστον ταύτην φησὶν, ἐπειδὴ ἦν ὁ Ἱέρων νεωστὶ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλουμένην» Π. Σ. — ἔνθα . . . Χρομίου δῶμ'] τὰ δύο ταῦτα κῶλα τέθεινται πρωθυστέρως, ἀντὶ «ὄλβιον ἐς Χρομίου δῶμ', ἔνθα . . . θύραι». — ἐς Αἴτναν, ὄλβιον Χρομίου δῶμα] «τὴν ὅλην Αἴτνην εἰπὼν ἐπήνεγκε Χρομίου δῶμα, ὥστε ὅμοιον εἶναι τῷ (Ὀδυσσ. θ. 362)

Ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη
Ἐς Πάφον . . . Π. Σ. Φαίνεται, ὅτι ἡ πομπὴ ἤρξατο τῆς πορείας ἀπὸ τοῦ οἴκου τοῦ Χρομίου. — ἀναπεπταμέναι νενίκανται] ἀντὶ «ἀναπέπτανται νενικημέναι». — ξείνων] Συντάσσεται τὸ νικᾶσθαι καὶ ἡττᾶσθαι συνήθως γενικῇ ἄνευ τῆς ὑπὸ προθέσεως· διότι ἔννοιαν ἔχουσι συγκρίσεως (Συντακτ. Ἀσωπίου Σελ. 208. ἐκδόσεως α ω μ ή). Ἡ δὲ λέξις ξείνων ἐν μὲν τῷ ἀναπεπταμέναι ἐννοητέα κατὰ δοτικὴν «ἀναπεπταμέναι ξένοις» ἐν δὲ τῇ νενίκανταί ἐστιν ἀντὶ τοῦ ξενίας (φιλοξενίας) — ἀλλ' ὕμνον πράσσετε] «ἄγε δὴ οὖν, ὦ Μοῦσαι, διανύσατε καὶ πράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους» Π. Σ.

— Στ. 8-12. Τὸ κρατήσιππον . . . ἐπόπταις] «διότι ὁ Χρόμιος ἀναβαίνων ἐπὶ τὸ ἅρμα τὸ νικηφόρον παραγγέλλει διὰ τῆς ἀναβάσεως νὰ ἀρξώμεθα τοῦ ὕμνου εἰς τιμὴν τῆς μητρὸς Λητοῦς καὶ τῶν διδύμων τέκνων, τοῦ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, τῶν ὁμοψήφων ἐπισκόπων τῆς ὑψηλοτάτης Πυθῶνος». — τὸ κρατήσιππον] «τὸ διὰ τῶν ἵππων κρατῆσαν τῆς νίκης». — ἀναβαίνων μανύει αὐδὰν] Ἡ μετοχὴ ἀναβαίνων σημαίνει τὸν τρόπον, καθ' ὃν μηνύει ὁ Χρόμιος· τὸ δὲ μηνύει

Ματέρι καὶ διδύμοις
Παίδεσσιν αὐδὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμο-
    κλάροις ἐπόπταις.

Δ. β'.

Ἔστι δέ τις λόγος ἀνθρώ-
    πων, τετελεσμένον ἐσλὸν
Μὴ χαμαὶ σιγᾷ καλύψαι.
Θεσπεσία δ' ἐπέων
Καύχας ἀοιδὰ πρόσφορος.
Ἀλλ' ἀνὰ μὲν βρομίαν
Φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν
Ἱππείων ἄθλων κορυφάν, ἅτε Φοίβῳ

αὐδὴν σημαίνει, «δίδωσι παραγγελίαν, δίδωσι σημεῖον αὐδῆς, σημεῖον τοῦ ᾄδειν γλυκὺν ὕμνον ἐπέων». Φαίνεται λοιπόν, ὅτι παρεσκευασμένης οὔσης τῆς πομπῆς, οὐδὲν ἐλείπετο ἢ νὰ δοθῇ σημεῖον τοῦ, ὁ μὲν χορὸς νὰ ἄρξηται τοῦ ὕμνου, ἡ δὲ πομπὴ τῆς πορείας· τὸ δὲ σημεῖον τοῦτο ἦν ἡ ἐπὶ τὸ ἅρμα, ᾧ ἐνίκησεν, ἀνάβασις τοῦ Χρομίου. — Πυθῶνος] Καλεῖ Πυθῶνα οὐχὶ τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος, ἀλλὰ τὸ ἐν Σικυῶνι, περὶ ὃ ἐτελοῦντο οἱ ἀγῶνες κατὰ μίμησιν τῶν ἐν Δελφοῖς ἀγώνων, καὶ ὅπερ ἦν ἀφιερωμένον τοῖς τρισὶ συνάμα θεοῖς, τῇ Λητοῖ καὶ τοῖς δυσὶν αὐτοῖς παισίν. Τῆς σημασίας τοῦ μηνύει ἀρχηγός ἐστιν ὁ Heynius ἑρμηνεύων, αὐδὰν μανύει, hymnum ordiendum esse significat in honorem Latonae et liberorum victor currum conscendens».

— Στ. 13-17. Ἔστι δέ τις . . . πρόσφορος] «Ἔστι δέ τις παλαιὰ παραίνεσις καὶ παρὰ ἀνθρώποις

στ. 17. καύχαις ἐκ διορθώσεως· ἄνευ ἀνάγκης.

ᾀδομένη, ὡς οὐ δεῖ τὸ ὑπό τινος κατεργαζόμενον καλὸν σιγῇ παραδιδόναι, ὥστε εἰς γῆν κατενεχθῆναι καὶ ἀνεπισήμαντον διὰ τῆς σιωπῆς γενέσθαι· πρόσφορος δὲ καὶ ἁρμόζουσα τούτοις (τοῖς τετελεσμένοις ἐσθλοῖς) θαυμαστή τις λόγων ᾠδή». Π. Σ. Ἀπὸ τοῦ στίχου 13-24. προοιμιάζονται αἱ Μοῦσαι νὰ ὑμνήσωσι διὰ τοῦ χοροῦ τοὺς τρεῖς εἰρημένους θεούς· διότι ἡ ἐν Σικυῶνι σύστασις τῶν Πυθίων, ἣν διηγεῖται ὁ ποιητής, οὐδὲν ἄλλο ἐστὶ ἢ ὕμνος εἰς τοὺς θεοὺς τούτους. — λόγος ἀνθρώπων] οὗτος ὁ λόγος ἐστὶ τοῦ Νηρέως (ὅρα Πυθ. στ. 167 καὶ τὴν αὐτόθι σημείωσιν). — τετελεσμένον ἐσλὸν], οἷόν ἐστιν, ὃ μέλλει νὰ ὑμνήσῃ, ἤτοι ἡ σύστασις τῶν Πυθίων. — θεσπεσία . . . ἀοιδὰ] «θεία ᾠδὴ τῶν λόγων τῆς καυχήσεως». Ἔπη καύχας εἰσὶν οἱ λόγοι, οὓς ἔχει ἡ καύχησις, οὓς λέγει ὁ ἐπαινῶν, ὁ καυχώμενος· ἄρα, ἔπη καύχας, ἴσον τῷ «ἔπη ἐπαινετικὰ, λόγοι ἐπαινετικοί». — καύχας] «Ἀττικοὶ δὲ λέγουσι καύχαν τὴν καύχησιν, καὶ ἄνθην τὴν ἄνθησιν καὶ βλάστην τὴν βλάστησιν». Π. Σ. — πρόσφορος] «ἡ θεσπεσία . . . ἀοιδή ἐστι πρόσφορος, κατάλληλος, ἐπιτηδεία εἰς τὸ μὴ χαμαὶ σιγᾷ καλυφθῆναι τὸ τετελεσμένον ἐσθλόν».

— Στ. 18-24. Ἀλλ' ἀνὰ μὲν βρομίαν . . . τιμαῖς] Παρακαλεύεται ταῦτα ἡ Μοῦσα τῷ χορῷ. «Ἀλλ' ἂς διεγείρωμεν τὴν φόρμιγγα καὶ τὸν αὐλὸν, ἵνα ᾄσωμεν τὸ ἄνθος τῶν ἱππείων ἄθλων, οὓς Ἄδραστος συστήσας ἀνέθηκε τῳ Φοίβῳ παρὰ τὰ ῥεῖθρα τοῦ Ἀσωποῦ, ὧν ἐγὼ μνησθεὶς θὰ τιμήσω τὸν Ἥρωα». — ἀνὰ βρομίαν ὄρσομεν] τμῆσις, ἀντὶ, ἀνόρσομεν βρομίαν. Τὸ δὲ ὄρσομεν ἀντὶ ὑποτακτικῆς. — ἄθλων ἱππείων κορυφὰν] καλεῖ οὕτω τὸ ἅρματι ἀγωνίζεσθαι· «πάντων τῶν ἱππικῶν ἀγώνων κορυφὴ καὶ ἄνθος ἐστὶν ὁ ἐν ἅρματι ἀγὼν, ὃν ἐνίκησεν ὁ Χρόμιος· ἐπὶ τοῦτον λοιπὸν τὸν ἀγῶνα ἂς διεγείρωμεν φόρμιγγας καὶ αὐλούς»· ἄθλα κατὰ πληθυντικὸν ἀριθμὸν σημαίνουσιν οὐ μόνον βραβεῖον, ἀλλὰ

Θῆκεν Ἄδραστος ἐπ' Ἀ-
σωποῦ ῥεέθροις· ὧν ἐγὼ
Μνασθεὶς ἐπασκήσω κλυταῖς
Ἥρωα τιμαῖς.

Δ. γ'.

Ὃς τότε μὲν βασιλεύων
Κεῖθι, νέαισί θ' ἑορταῖς
Ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις
Ἅρμασί τε γλαφυροῖς
Ἄμφαινε κυδαίνων πόλιν.
Φεῦγε γὰρ Ἀμφιάρη-

καὶ ἀγῶνας (Ὀλυμ. Α.' 5) εἰ δ' ἄεθλα γαρύεν ἔλδεαι· (Ὁμ. Ὀδυσσ. ω. 89). Ζώννυνταί τε νέοι καὶ ἐπεντύνονται ἄεθλα. Ὁ δὲ Π. Σ. ἐκλαμβάνει τὴν λέξιν κορυφὰν ὡς σημαίνουσαν τὴν νίκην τοῦ Χρομίου, λέγων «ὁρμήσωμεν ἐπὶ τὴν κορυφὴν τῶν ἱππικῶν ἄθλων, ἐπὶ τὸ ἐξαίρετον, τουτέστι τὴν νίκην»· ἀλλ' ἡ ἐμὴ ἐξήγησις δοκεῖ κρείσσων. — βρομίαν] «βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ τὸν βρόμον καὶ τὸν ἦχον τὸν τελούμενον κατὰ τὸν κιθαρισμόν, ἢ βρομίαν τὴν συναναστρεφομένην τῷ Διονύσῳ· Ὅμηρος (Ὀδυσσ. ρ. 271)

Φόρμιγγος θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην» Π. Σ.

— ἅτε θῆκεν Ἄδραστος] «ἅτινα, τὰ Πύθια, φησί, Φοίβῳ ἔθηκεν Ἄδραστος κατ' αὐτὸν τὸν Πίνδαρον· ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄδειαν, Κλεισθένους αὐτὰ διαθέντος, καθὰ δεδήλωται· ἐχρήσατο δὲ τῇ ποιητικῇ ταύτῃ ἀδείᾳ, ἵνα ἐνδοξότερον ἀποφήνῃ τὸν ἀγῶνα» Π. Σ. Ἴσως πεπαυμένος ἦν ὁ ἀγὼν οὗτος, Κλεισθένης δὲ ἀνενέωσεν

αὐτόν. — ἅτε] «τὰ ὁποῖα». Ἀναφέρεται πρὸς τὸ «ἱππείων ἄθλων» κατὰ σύνεσιν· δηλονότι πρὸς πάντας τοὺς Πυθίους ἀγῶνας τοὺς ἐν Σικυῶνι τελουμένους. — Φοίβῳ] συνεκδοχικῶς ἀντὶ τοῦ «ματέρι καὶ διδύμοις παίδεσσιν (στ. 9). — Ἀσωποῦ] οὐχὶ τοῦ ἐν Βοιωτίᾳ, ἀλλὰ τοῦ παρὰ τὴν Σικυῶνα ῥέοντος (Στραβ. Η.' 24). — ὧν ἐγὼ . . . τιμαῖς] «ὧνπερ ἄθλων μνημονεύσας ἐγὼ καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν τοῦ ἥρωος Ἀδράστου» Π. Σ. — ἐπασκήσω ἥρωα] «ἐπικοσμήσω τὸν ἥρωα, τὸν Ἄδραστον». Κατὰ τὰ προηγούμενα ὤφειλε νὰ εἴπῃ «ὧν ἐγὼ (ἡ Μοῦσα) μνησθεῖσα ἐπασκήσω»· ἀλλὰ προσποιούμενος λήθην τῆς σειρᾶς τοῦ λόγου ὡς ἐνθουσιῶν ὁ ποιητὴς εἰσάγει ἑαυτὸν ἀντὶ τῆς Μούσης ὡς ἐπασκήσοντα κλυταῖς τιμαῖς τὸν ἥρωα.

— Στ. 25 κ. ἑξῆς] Ἄρχεται ἐντεῦθεν ἀντὶ τῶν Μουσῶν αὐτὸς ὁ ποιητὴς νὰ διηγῆται τὴν ἐν Σικυῶνι σύστασιν τῶν Πυθίων εἰς τιμὴν τῆς Λητοῦς καὶ τῶν παίδων αὐτῆς.

— Στ. 25-29. ὃς τότε μὲν βασιλεύων . . . πόλιν] «ὅστις Ἄδραστος τὸ τηνικαῦτα λοιπὸν ἐκεῖ βασιλεύων ἐν Σικυῶνι, οὐκέτι ἐν Ἄργει, καινοτέραις εὐωχίαις καὶ ἀγωνίσμασιν ἀνδρῶν τοῖς ἐκ δυνάμεως καὶ φιλοκαλίας ἁρμάτων γλαφυρῶν καὶ ὡραίων ἐμφανεστάτην καὶ ἀοίδιμον ἐποίει τὴν πόλιν» Π. Σ. — νέαισιν ἑορταῖς] καλῶς ὁ Π. Σ. «καινοτέραις εὐωχίαις»· ἤτοι καινοφανέσιν. — ἰσχύος ἀνδρῶν ἁμίλλαις] «ἀγῶσιν, ἐν οἷς ἡμιλλᾶτο ἰσχὺς ἀνδρῶν, ἤτοι, ἐν οἷς ἄνδρες ἡμιλλῶντο, τίς ἐστιν ἰσχυρότερος». — ἅρμασι γλαφυροῖς] ἐναλλαγὴ πτώσεων ἀντὶ τοῦ «γλαφυρῶν ἁρμάτων»· ἤτοι, ἁμίλλαις ἰσχύος ἀνδρῶν, γλαφυρῶν τε ἁρμάτων.

— Στ. 30-34. Φεῦγε γὰρ . . . λύᾳ] «ὁ νοῦς ἔφευγε γὰρ πρὸ τούτου πολέμιον ὄντα τὸν Ἀμφιάραον καὶ τὴν πρὸς αὐτὸν στάσιν δεινὴν οὖσαν, ἔφευγε καὶ ἐκ τῆς πατρῴας ἑστίας καὶ ἀπὸ Ἄργους» Π. Σ. Τὸ δὲ

όν τε θρασυμήδεα καὶ δεινὰν στάσιν,
Πατρῴων οἴκων ἀπό τ' Ἄργεος· ἀρχοὶ
Δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ
Παῖδες, βιασθέντες λύᾳ.
Κρέσσων δὲ καππαύει δίκαν
Τὰν πρόσθεν ἀνήρ.

ἱστορικὸν οὕτως «Περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος μὲν (Ε.' 67) οὕτω φησίν. Οἱ δὲ Σικυώνιοι εἰώθεισαν κάρτα τιμᾶν τὸν Ἄδρηστον· ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος· ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν διδοῖ Ἀδρήστῳ τὴν χώρην. Μέναιχμος δὲ ὁ Σικυώνιος οὕτω γράφει. Χρόνου παρελθόντος πολλοῦ Πρώναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, κατασταθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Ἀναξαγοριδῶν (παράβαλ. πρὸς Παύσαν. Β.' κ. 18. 4). Ἄδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν ἐβασίλευσε τῆς Σικυῶνος, καὶ τῆς Ἥρας τῆς Ἀλεξάνδρου καλουμένης ἱερὸν καθ' ὅνπερ ᾤκει τόπον ἱδρύσατο· τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν διὰ τὸ φεύγοντα τὸν Ἄδραστον ἱδρύσασθαι καὶ καλέσαι ἱερὸν Ἥρας Ἀλεξάνδρου· τὸ δὲ φυγεῖν τινες ἀλᾶσθαι ὠνόμαζον. Διευχίδας δὲ ἐν τῷ τρίτῳ τῶν Μεγαρικῶν τὸ μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. Οἱ δέ φασι Προῖτος ἐβασίλευσε τοῦ Ἄργους, τῶν θυγατέρων δὲ αὐτοῦ μανεισῶν Μελάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῷ μισθοῦ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς·

στ. 32. πατέρων ἔν τισι χειρογρ. πατρίων ἐκ διορθώσεως. Ἡ δὲ ἐν τῷ κειμένῳ γραφὴ καὶ αὐτὴ χειρογρ. ἐστίν.

ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν, καὶ τὸ μὲν ἥμισυ ἐκοινωνήσατο τῷ ἀδελφῷ Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῷ, ὥστε γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας, Βιαντίδας, Προιτίδας. Μελάμποδος μὲν οὖν Ἀντιφάτης, οὗ Ὀϊκλῆς, οὗ Ἀμφιάραος· Βίαντος δὲ Ταλαός, οὗ Ἄδραστος· Προίτου Μεγαπένθης, οὗ Ἱππόνους, οὗ Καπανεύς, οὗ Σθένελος. Διαφορὰ δὲ ἐγενήθη τοῖς περὶ Ἀμφιάραον καὶ Ἄδραστον, ὥστε τὸν μὲν Ταλαὸν ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδραστον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα· τελευτήσαντος δὲ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς τὸν Ἄδραστον ἔχειν τὴν Σικυωνίων βασιλείαν. Εὐλόγως οὖν εἶπε· φεῦγε γὰρ Ἀμφιάρηον Ἄδραστος διὰ τὴν στάσιν τὴν πρὸς τοὺς Μελαμποδίδας. Ὕστερον μέντοι συνεληλύθασι πάλιν, ἐφ' ᾧ συνοικήσει τῇ Ἐριφύλῃ ὁ Ἀμφιάραος, ἵν' εἴ τι μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται, αὐτὴ διαιτᾷ» Π. Σ. — δεινὰν στάσιν] τῶν Μελαμποδιδῶν. — Ταλαοῦ παῖδες] Ἄδραστος, Παρθενοπαῖος, Πρῶναξ, Μηκιστεὺς καὶ ἡ Ἐριφύλη· «οὐκέτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Ἄργει οἱ Ταλαοῦ παῖδες οἱ περὶ Ἄδραστον, βιασθέντες ἐν τῇ στάσει καὶ τῷ πολέμῳ (λύᾳ) τῷ πρὸς Ἀμφιάραον, ἔφυγε γὰρ Ἄδραστος» Π. Σ.

— Στ. 35-36. Κρέσσων . . . ἀνὴρ] «ἀλλ' ὁ ἀγαθὸς καὶ φρόνιμος καταπαύει τὴν προϋπάρχουσαν ἔριδα»· τοῦτο ἐκφέρει ὁ ποιητὴς γνωμικῶς, ἵνα ἐφαρμοσθῇ τῷ Ἀδράστῳ, ἢ τοῖς Ταλαοῦ παισίν· οἵτινες διὰ τῆς αὐτῶν φρονήσεως κατέπαυσαν τὴν Ἀμφιαράου πρὸς αὐτοὺς ἔχθραν, δόντες τῷ Ἀμφιαράῳ εἰς γάμον τὴν ἀδελφὴν Ἐριφύλην γυναῖκα καλὴν τὸ εἶδος ἅμα καὶ φρόνιμον οὖσαν ἐπὶ συμφωνίᾳ, αὐτὴ μὲν νὰ γίνηται διαιτητὴς τῶν πρὸς ἀλλήλους διαφορῶν, ὁ δὲ Ἀμφιάραος νὰ πείθηται τοῖς ὑπ' αὐτῆς δεδιῃτημένοις. — κρέσσων] Μὴ ἐκλάβῃς, ὅτι ποιητὴς λέγει τὸν Ἄδραστον κρείσσονα

Δ. δ'.

Ἀνδροδάμαν τ' Ἐριφύλαν,
Ὅρκιον ὡς ὅτε πιστὸν,
Δόντες Οἰκλείδᾳ γυναῖκα,
Ξανθοκομᾶν Δαναῶν
Ἦσαν μέγιστοι.
Καί ποτ' ἐς ἑπταπύλους
Θήβας στρατὸν ἄγαγον ἀνδρῶν αἰσιᾶν
Οὐ κατ' ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων

τοῦ Ἀμφιαράου· ἀλλὰ λέγει γενικῶς, τί πράττει ὁ κρείσσων τῶν ἄλλων ἀνήρ. — δίκαν] ἐκ τῆς σημασίας, ἣν ἔχει ἡ λέξις «ἐρισολογίαν» μεταπίπτει καὶ εἰς τὴν σημασίαν «ἔχθρα». — Στ. 37-41. ἀνδροδάμαν . . . μέγιστοι] «διὸ

στ. 41-42-43-44. καί ποτ' ἐς Ἑπταπύλους Θήβας Ἄγαγον ἀνδρῶν στρατὸν αἰσιᾶν οὐ κατ' Ὀρνίχων ὁδὸν κ. τ. λ. αὕτη ἐστὶν ἡ τῶν χειρογράφων γραφή. Ἡ ἔννοια βαίνει ἄριστα, τὸ μέτρον δὲ οὐχί· καίτοι ἅπαντα τὰ ἀντιστοιχοῦντα κῶλα πασῶν τῶν ᾠδῶν εἰσιν ὅμοια, ἐκτὸς μόνον ἓν τῶν τεσσάρων τούτων ταύτης τῆς στροφῆς λείπει κατὰ δύο συλλαβὰς ἢ κατὰ τρεῖς, καὶ αἱ ἐν τῷ κώλῳ 43. λέξεις ἀνδρῶν στρατὸν πρέπει νὰ ἀλλάξωσι τὰς θέσεις οὕτω στρατὸν ἀνδρῶν ἢ στρατῶν ἄγαγον ἀνδρῶν. Ἅπαντες, ὅσοι ἐπειράθησαν νὰ διορθώσωσιν ἐκ συμφώνου ἤλλαξαν τὰς θέσεις τῶν δύο τούτων λέξεων· διεφώνησαν δὲ εἰς τοῦτο, ποῦ λείπουσιν αἱ τρεῖς συλλαβαί· καὶ ὁ μὲν Σμίδιος αὐθαιρέτως διώρθωσε καί ποτε Ἑπταπύλους κριτὸν ἐς (43) Θήβας ἄγαγον στρατὸν ἀνδρῶν, αἰσιᾶν οὐ κατ' ὀρνίχων κ. τ. λ. Ὁ δὲ Pauwius νομίζει, ὅτι λείπει ἡ τρισύλλαβος λέξις, ἢ αἱ τρεῖς συλλαβαὶ ἐν τῷ τρίτῳ κώλῳ, ἃς ὅμως οὐκ ἐτόλμησε νὰ προσθῇ· διήρεσε δὲ οὕτω· «καί ποτ' ἐς Ἑπταπύλους Θήβας Ἀνδρῶν ἄγαγον στρατὸν . . . αἰσιᾶν. Οὐ κατ' ὀρνίχων κ. τ. λ. Ὁ δὲ Boechkius ἑπόμενος τῇ μεταφράσει τοῦ Π. Σ. διορθοῖ οὕτω· (41) δὴ τοθεν (42) Καί ποτ' ἐς ἑπταπύλους (43) Θήβας ἄγαγον στρατὸν ἀνδρῶν αἰσιᾶν (44) Οὐ κατ' ὀρνίχων κ. τ. λ. Καὶ ἡ μὲν τοῦ Boeckhii διόρθωσίς ἐστι πιθανή. Ἐγὼ δὲ ἑπόμενος τῷ Boechkio νὰ προσθέσω λέξεις οὐκ ἐτόλμησα βαινούσης ἄριστα τῆς ἐννοίας.

ὡς κρείσσονες καὶ φρενήρεις ἄνδρες ὄντες καὶ οἱ παῖδες τοῦ Ταλαοῦ, δόντες τὴν δαμάζουσαν τὰς ὀργὰς τῶν ἀνδρῶν Ἐριφύλην γυναῖκα τῷ Ἀμφιαράῳ τῷ υἱῷ Ὀϊκλέους ὡς ὅρκον πιστὸν τῆς ἀλλήλων φιλίας κατέσβεσαν τὴν ἔχθραν καὶ οὕτω κατέστησαν οἱ μέγιστοι τῶν ξανθοκόμων Ἑλλήνων». — ἀνδροδάμαν τε] Τό τε οὐ συμπλέκει τὸ κῶλον τοῦτο τῷ ἡγουμένῳ, ἀλλὰ τῷ ἑπομένῳ. Ὅθεν τὸ σχῆμα ἐνταῦθά ἐστιν ἀσύνδετον. Ἡ δὲ σύνδεσις τῷ ἡγουμένῳ οὕτω πως πρέπει νὰ γένηται «διὸ δὴ ἀνδροδάμαν τε κ. τ. λ». — ἀνδροδάμαν] ἡ ἀνδροδάμη· ἐν δὲ Νεμ. Γ.' 67. ὁ ἀνδροδάμας, αντος. Καλεῖ δὲ τὴν Ἐριφύλην ἀνδροδάμην ὡς καταπραΰνουσαν τάς ποτε συμβαινούσας ἔριδας τοῦ ἀνδρὸς αὐτῆς πρὸς τὸν ἀδελφὸν Ἄδραστον, καὶ μάλιστα, ὅτι ἔπεισε τὸν Ἀμφιάραον στρατεύεσθαι ἐπὶ Θήβας «Ἀμφιάραος δὲ ὁ Ὀϊκλέους μάντις ὢν καὶ προειδώς, ὅτι δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοιποὺς ἀπέτρεπεν. Ἐριφύλη δὲ ἡ τοῦ Ἀμφιαράου γυνὴ δῶρα (χρυσοῦν ὅρμον) λαβοῦσα παρὰ Πολυνείκους ἔπεισε τὸν Ἀμφιάραον στρατεύειν» Ἀπολλόδωρος. — ὅρκιον ὡς ὅτε πιστὸν] «ὡς ἐνέχυρον πίστεως ἀμφοτέρων τῶν τε παίδων τοῦ Ταλαοῦ πρὸς Ἀμφιάραον, τοῦ τε Ἀμφιαράου πρὸς Ταλαονίδας». Ἡ δὲ σύνταξις «ὡς ὅτε δίδωσί τις πιστὸν ὅρκιον».

— Στ. 42. καί ποτ' ἐς . . . ἑπταπύλους] Συνδέεται τὸ ἡγούμενον κῶλον ἀ ν δ ρ ο δ ά μ α ν τ' Ἐ ρ ι φ ύ λ α ν κ. τ. λ. τῷ κ α ί π ο τ' ἐ ς κ. τ. λ. διὰ τῶν συνδέσμων τ έ . . . κ α ι.

— Στ. 43-48. στρατὸν ἄγαγον . . . κελεύθου] «ἐντεῦθεν δὴ καὶ εἰς τὰς ἑπταπύλους Θήβας ποτὲ στράτευμα ἤγαγον οὐκ αἰσίοις οἰωνοῖς χρησάμενοι· οὐδὲ γὰρ ὁ Ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαργῶντας αὐτοὺς καὶ ἐπειγομένους ἀπὸ τῶν φίλων ἀπιέναι προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχέσθαι τῆς ἀφίξεως· οὐδὲν γὰρ αὐτοῖς ἐδεδώκει δεξιὸν σημεῖον» Π. Σ. — οὐ καθ' ὁδὸν αἰσίων

Ἀστεροπὰν ἐλελί-
ξαις, οἴκοθεν μαργουμένους
Στείχειν ἐπώτρυν᾽, ἀλλὰ φεί-
σασθαι κελεύθου.

Δ. ε.

Φαινομέναν δ᾽ ἄρ᾽ ἐς ἄταν
Σπεῦδεν ὅμιλος ἱκέσθαι
Χαλκέοις ὅπλοισιν ἱππεί-
οις τε σὺν ἔντεσιν. Ἰ-
σμηνοῦ δ᾽ ἐπ᾽ ὄχθαισι γλυκὺν
Νόστον ἐρυσάμενοι

ὀρνίθων] ἡ ὁδός, καθ᾽ ἣν ἤγαγον τὸν στρατόν, ἤτοι ἡ εἰς Θήβας στρατεία, οὐκ αἰσίων οἰωνῶν ἦν. Ὅθεν καθ᾽ ὁδὸν οὐκ ὀρνίθων αἰσίων ἴσον «πρὸς πόλιν, πρὸς ἣν ἡ ὁδὸς (ἡ στρατεία) οὐκ ἦν ὀρνίθων αἰσίων». Κατὰ τὸν ἡμέτερον Δούκαν (σχολιάζοντα «τὸ δὲ καθ᾽ ὁδὸν δηλοῖ μᾶλλον τὴν διδαχήν, τὴν δεῖξιν τῶν μελλόντων συμβήσεσθαι) ἑρμηνευτέον «κατὰ μαντείαν οὐκ ἐξ αἰσίων ὀρνίθων». — οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις ἐπώτρυν᾽] «οὐδὲ ὁ Ζεὺς δι᾽ ἀστραπῆς ἐπώτρυνεν αὐτούς». ἄρα «οὔτε ὅτε παρεσκευάζετο ὁ στρατός, αἱ δι᾽ ὀρνίθων μαντεῖαι ἐμήνυον αἴσια, οὔτε, ὅτε ἐκίνησεν ὁ στρατός, ἤστραψεν ὁ Ζεὺς ἐπιδέξια». — ἀλλὰ φείσασθαι] «ἀλλ᾽ οὐκ ἀστράψας ἐπιδέξια, ἀπώτρυνε φείσασθαι».

— Στ. 49-52. Φαινομέναν . . . ἔντεσιν] «εἰς φανερὰν ἄρα ἄτην καὶ βλάβην τὸ τούτων ἔσπευδε στράτευμα παραγενέσθαι σὺν τοῖς χαλκοῖς ὅπλοις, φησὶ τοῖς πεζοῖς, καὶ τοῖς ἱππεῦσιν» Π. Σ.

στ. 54. ἐρυσάμενοι ἡ συλλαβὴ ρυ ἐνταῦθά ἐστι μακρά.

— Στ. 53-55. Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι . . . καπνὸν] «ἐπὶ δὲ τῶν ὀχθῶν τοῦ Ἰσμηνοῦ τραπέντες εἰς φυγὴν, ἵνα δι αὐτῆς τύχωσι τοῦ γλυκέος νόστου, ἔπεσον· τὰ δὲ σώματα αὐτῶν καιόμενα ἐπὶ τῶν πυρῶν ἐπάχυναν τὸν καπνόν». — γλυκὺν νόστον ἐρυσάμενοι] οὔτε ἡ τοῦ Ἑρμάνου ἐξήγησις «continentes, impedientes γλυκὺν νόστον» κατὰ Ὁμηρικὸν (Ἰλ. Θ.' 143) . . . ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο σημαίνει τι, οὔτε ἡ τοῦ Heynii „inhibentes sibi, sistentes" κατὰ τὸ Ὁμηρικὸν (Ὀδυσσ. ψ. 243)

Νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν,
(Ἀθήνη), Ἠῶ δ' αὖτε
ῥύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον . . .

ὡς νομίζει ὁ Dissenius· ἀλλ' ὁ ποιητὴς ἀντὶ τοῦ εἰπεῖν «τραπέντες εἰς φυγὴν μαχόμενοι» λέγει ἐπὶ τὸ εὐφημότερον «νόστον ἐρυσάμενοι» ἤτοι «φροντίσαντες οὐχὶ νίκης οὐδὲ ἁλώσεως τῶν Θηβῶν, ἀλλὰ νόστου διὰ τοῦ φεύγειν μαχόμενοι». Ὅτι μὲν τὸ ἐρύομαι σημαίνει καὶ τὸ φροντίζω, οὐ καταφρονῶ τινος, παράβαλε πρὸς τὸ (Ἰλιαδ. Α.' 216)

Χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι

καὶ πρὸς τὸ (Ἰλιάδ. Φ.' 230)

Ὢ . . . Διὸς τέκος, οὐ σύγε βουλὰς
εἰρύσαο Κρονίωνος, ὅ τοι πόλλ' ἐπέτελλεν
Τρωσὶ παρεστάμεναι . . .

ὅτι δὲ οἱ Ἀργεῖοι εἰρύσαντο, ἐφρόντισαν τῆς γλυκείας εἰς τὴν πατρίδα ἐπιστροφῆς διὰ τοῦ φεύγειν μαχόμενοι, ἔστω μαρτυρία ὁ Ἀμφιάραος, ὅστις φεύγων ἐδιώκετο ὑπὸ τοῦ Περικλυμένου. Καὶ Δούκας τὸ ἐρυσάμενοι ἐξέλαβεν, ὡς ἐγώ· σχολιάζων «φυλάττοντες, φροντίζοντες τοῦ νόστου». — λευκανθέα . . . καπνὸν] κατὰ συνεκδοχὴν ἀντὶ τοῦ «ἔπεσον». — λευκανθέα] κατὰ τὸν Π.

Λευκανθέα σώματ᾽ ἐπίαναν καπνόν.
Ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους
Φῶτας· ὁ δ᾽ Ἀμφιάρῃ
Σχίσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα,
Κρύψεν δ᾽ ἅμ᾽ ἵπποις,

Δ. στ΄.

Δουρὶ Περικλυμένου πρὶν
Νῶτα τυπέντα μαχατὰν
Θυμὸν αἰσχυνθῆμεν· ἐν γὰρ
Δαιμονίοισι φόβοις
Φεύγοντι καὶ παῖδες θεῶν.

Σ. δυνατὸν νὰ συναφθῇ καὶ τῷ σώματα καὶ τῷ καπνόν· «λευκανθέα λέγει τὰ σώματα· γίνεται γὰρ τὰ σώματα τῶν καιομένων νεκρῶν λευκά, ἢ (λέγει τὸν καπνὸν λευκανθέα), ὅτι ὁ καπνὸς διὰ τὴν πιμελὴν λευκός ἐστι καὶ βαρύς, παρὸ οὐδὲ πόῤῥω διϊκνεῖται μετέωρος, καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός» Π. Σ. — ἐρυσάμενοι σώματ᾽ ἐπίαναν] σχῆμα ἀνακόλουθον ἴσον τοῦ «ἐρυσάμενοι τοῖς σώμασιν ἐπίαναν».

— Στ. 56. ἑπτὰ . . . νεογυίους φῶτας] «ἑπτὰ γὰρ ὅλαι πυρκαϊαὶ κατευωχήθησαν καὶ κατέφλεξαν τὰ τῶν νεκρῶν ἢ τὰ τῶν νέων σώματα» Π. Σ. Ἑπτὰ δὲ

στ. 55. σώμασι καὶ σώμασιν ἐν τοῖς χειρογρ. Ὁ δὲ Π. Σ. ἀναγινώσκει σώματα ἢ σώματ', καὶ αὕτη ἡ γραφή ἐστιν ἡ ἀρίστη· ἡ δὲ σώμασι ἐστὶ γλώσσημα ἕνεκα τοῦ ἀνακολούθου.

στ. 57. Ἀμφιάρηϊ ἐν τοῖς χειρογρ. Ἀμφιάρῃ δὲ ἐκ διορθώσεως ἀπὸ τῆς ὀνομαστικῆς Ἀμφιάρας ἢ Ἀμφιάρης, άρου, άρῃ.

ἐγένοντο αἱ πυραὶ οὐχὶ ἵνα καύσωσι ἐφ᾽ ἑκάστης ἕκαστον τῶν ἑπτὰ στρατηγῶν, ἀλλ᾽ ἵνα καύσωσι τοὺς ἀποθανόντας νέους, τοὺς νεογυίους, τοὺς ἀνὰ ἑκάστῳ τῶν ἑπτὰ τμημάτων τοῦ ὅλου στρατοῦ χωρίς· «τὸ δὲ ἑπτὰ πυραὶ οὐ πρὸς τοὺς λοχαγοὺς, ἀλλὰ πρὸς τὸ τῶν νέων στράτευμα· ἐφ᾽ ἑκάστῃ γὰρ πύλῃ πολυάνδριον ἐγένετο» Π. Σ. — δαίσαντο] καλῶς ἔχει πρὸς τὸ «ἐπίαναν». Αἱ μὲν πυραὶ ὡς πρόσωπα ἐδαίσαντο, ὁ δὲ καπνὸς ὁ ἐκ τῶν πυρῶν ἐκπνεόμενος ἐπιάνθη, ἐγένετο λιπαρὸς καὶ παρεῖχεν ὀσμὴν κρεατώδη, ὡς ἡ ἀναπνοὴ τοῦ ἀνθρώπου τοῦ κρέατος καὶ οἴνου πεπλησμένου.

— Στ. 57-63. ὁ δ᾽ Ἀμφιάρη . . . αἰσχυνθῆμεν] «ὁ νοῦς οὕτως. Ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε καὶ διέστησε τὴν γῆν τὴν πλατεῖαν, ἄνωθεν ἐπιπέμψας τὸν κεραυνὸν τὸν πάντας βιάζεσθαι δυνάμενον, καὶ οὕτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραος ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ, πρὶν ἢ τῷ τοῦ Περικλυμένου δόρατι τρωθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ, καὶ αἰσχύνην προστρίψασθαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ τοῦ Ἀμφιαράου τὸν τοιοῦτο θάνατον» Π. Σ. — Περικλυμένου] «ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τειρεσίου ὁμωνύμου τῇ Νηλέως» Π. Σ. — νῶτα τυπέντα] «τὸν Ἀμφιάραον τυπέντα κατὰ τὰ νῶτα»· διότι ἀεὶ ἐπεδιώκετο ὑπὸ τοῦ Περικλυμένου, καὶ ἦν δυνατὸν νὰ τρωθῇ ὑπ᾽ αὐτοῦ κατὰ τὰ νῶτα. — μαχητὰν θυμὸν αἰσχυνθῆμεν] «κατὰ τὸν μαχητὰν θυμὸν αἰσχυνθῆναι τὸν Ἀμφιάραον»· διότι ἤθελε καταισχύνῃ τὴν ἀνδρείαν αὐτοῦ ψυχὴν ὁ Ἀμφιάραος, εἰ ἐτιτρώσκετο κατὰ τὰ νῶτα.

— Στ. 64-65. ἐν γὰρ δαιμονίοισι . . . θεῶν] «τὸ μὲν τρωθῆναι κατὰ νῶτα τὸν Ἀμφιάραον ἦν αἰσχύνη, τὸ δὲ φεύγειν οὔ· διότι ἐν φόβοις παρὰ θεῶν γενομένοις καὶ παῖδες θεῶν φεύγουσιν». — δαιμονίοισι φόβοις] «ὁ γὰρ Ζεὺς συνεμάχει τότε Θηβαίοις, διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος· οὕτω καὶ ὁ Αἴας ἔφευγεν.

Εἰ δυνατὸν, Κρονίων,
Πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων
Ἐγχέων ταύταν θανάτου πέρι καὶ ζω-
ᾶς ἀναβάλλομαι ὡς

Ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων (Ἰλιαδ. λ. 547) τὸν Δία ἔχων ἀντιστάτην» Π. Σ.

— Στ. 66-80. Εἰ δυνατὸν . . . Χρομίῳ κεν] ὑμνηθέντος τοῦ Ἀδράστου εἰς τιμὴν τῆς Λητοῦς καὶ τῶν παίδων αὐτῆς, ὡς συστήσαντος τοὺς ἐν Σικυῶνι ἀγῶνας, ἐν οἷς ἐνίκησεν ὁ Χρόμιος μεταβαίνει ἤδη εἰς τοὺς ἐπαίνους αὐτοῦ τοῦ Χρομίου. Ἡ δὲ μετάβασις γίνεται ὧδέ πως· «παρακαλεῖ τὸν Δία τὸν προστάτην τῆς νεοκτίστου πόλεως Αἴτνης, ἐὰν ᾖ πεπρωμένον νὰ ἐπιπλεύσωσι πάλιν οἱ Καρχηδόνιοι εἰς Σικελίαν, νὰ ποιήσῃ δυνατὸν οὗτος μὲν ὁ πόλεμος νὰ ἀναβληθῇ ἐπὶ μακρότατον· ὁ δὲ Ζεὺς ἐν τῷ παρόντι νὰ παράσχῃ ἁπάσῃ τῇ νήσῳ καὶ τῇ Αἴτνῃ εὐνομίαν καὶ εἰρήνην, ἵνα ὁ λαὸς ἀπολαύῃ ἀγλαΐας καὶ εὐφροσύνης· διότι ὑπάρχουσιν ἐν αὐτῷ ἄνδρες, οἵτινες καὶ ἀφειδῶς δαπανῶσιν εἰς τέρψιν τοῦ λαοῦ καὶ ἐν ταῖς μάχαις, ἐάν ποτε ἐπέλθωσιν οἱ Καρχηδόνιοι, οὐ φιλοψυχοῦσιν, ἀλλὰ ἀγωνίζονται τὸν ὑπὲρ ζωῆς ἐλευθέρας ἢ θανάτου ἐνδόξου κίνδυνον· διότι φοβοῦνται τὴν αἰσχύνην· παράδειγμα δέ ἐστιν ὁ Χρόμιος». — εἰ δυνατὸν . . . πόρσιστα] Ταῦτα οὐ λέγει ὁ ποιητὴς, ὁρμώμενος ἐκ τῆς ἡγουμένης διηγήσεως τῆς τοῦ Ἀδράστου στρατείας, ἵνα παραβάλῃ αὐτὴν πρὸς τὴν τυχὸν γενησομένην στρατείαν τῶν Καρχηδονίων εἰς Σικελίαν· διότι βαρβάρους πρὸς Ἕλληνας καὶ μάλιστα ἥρωας ἀπαξιοῖ νὰ παραβάλλῃ ὁ ποιητής. Τὴν παροῦσαν εὐχὴν, ὅλως ἄσχετον οὖσαν πρὸς τὴν ἡγουμένην διήγησιν τῆς ἐπὶ Θήβας στρατείας τῶν ἑπτὰ, ἐποίησεν ὁ ποιητὴς ἵνα εὕρῃ ὁδὸν πρὸς μετάβασιν εἰς τοὺς ἐπαίνους τοῦ Χρομίου.

Οὐδὲ πάλιν ἄνευ ἀνάγκης, ἀλλ᾽ ἁπλῶς μόνον πρὸς μετάβασιν εἰς ἄλλην ὑπόθεσιν ἐγένετο ἡ εὐχή· ἀλλά, ὥσπερ οἱ Ἀθηναῖοι μετὰ τὴν ἐν Μαραθῶνι ἧτταν τῶν Περσῶν περιέμενον τοὺς βαρβάρους μετὰ πολὺ μείζονος δυνάμεως καὶ τὴν μὲν στρατείαν αὐτῶν ἐγίνωσκον μετὰ βεβαιότητος γενησομένην, τὸν δὲ χρόνον, καθ᾽ ὃν ἔμελλον νὰ ἐπέλθωσιν, οὐκ ἐγίνωσκον· οὕτω καὶ οἱ ἐν Σικελίᾳ Ἕλληνες ἦσαν βεβαιότατοι, ὅτι οἱ Καρχηδόνιοι οὐκ ἀνέξονται τὴν τοσαύτην ἐν τῇ πρώτῃ ἐπὶ Σικελίαν στρατείᾳ ἧτταν καὶ ἀτιμίαν αὐτῶν, ἀλλὰ παρεσκευάζοντο νὰ ἀνορθώσωσι τὴν προτέραν συμφοράν· τοῦτο λοιπὸν οἱ Σικελιῶται Ἕλληνες ἐθεώρουν βεβαιότατον καὶ τρόπον τινὰ εἱμαρμένον· τὸν χρόνον δὲ καθ᾽ ὃν οἱ Καρχηδόνιοι ἔμελλον νὰ ἐπανέλθωσι μετὰ μείζονος παρασκευῆς, οὐκ ἐγίνωσκον· καὶ τούτου ἕνεκα ὁ ποιητὴς δέεται τοῦ Διὸς νὰ κωλύσῃ τὴν ἐπέλευσιν τῶν Καρχηδονίων ἐπὶ μήκιστον (ἀναβάλλεται ὡς πόρσιστα). Διότι εἰ οἱ Σικελιῶται ἁπλῶς μόνον ἐφοβοῦντο νέον πόλεμον ἐκ τῶν Καρχηδονίων, ὤφειλεν ὁ ποιητὴς νὰ εἴπῃ τοιοῦτόν τι κατ᾽ ἔννοιαν· «ἱκετεύω σε, Κρονίων, εἰς ἀεὶ ἀπαλλάξαι τὸν λαὸν τῶν Αἰτναίων τοῦ πολέμου τῶν Καρχηδονίων» καὶ οὐχὶ «πόρσιστα» ἤ, ὡς κατωτέρω λέγει, «δαρόν». — εἰ δυνατόν] Πότε ἐστὶ δυνατὸν νὰ ἀναβάλῃ ὁ Ζεὺς τὴν ἐπίθεσιν τῶν Καρχηδονίων; ὅτε αἱ Μοῖραι ἐψηφίσαντο μὲν νὰ γένηται ἡ ἐπίθεσις, τὸν χρόνον δὲ τῆς ἐπιθέσεως οὐ προσδιώρισαν. Ὅθεν τὸ εἰ δυνατὸν ἐστιν ἴσον τῷ «εἰ μὴ αἱ Μοῖραι προσδιώρισαν χρόνον τῆς ἀγάνορος πείρας». — πεῖραν ἀγάνορα] «τὴν ἀξιοθαύμαστον τῶν ἐν Σικελίᾳ Ἑλλήνων πεῖραν» ἤτοι «τὸ τοὺς ἐν Σικελίᾳ Ἕλληνας μετὰ θαυμαστῆς ἀνδρείας πειράσασθαι τῶν ἐγχέων». — Φοινικοστόλων ἐγχέων] «τῶν ὑπὸ Φοινίκων, ἤτοι Καρχηδονίων ἐσταλμένων δοράτων» ὅπερ ἐστὶ «τῶν Καρχηδονίων στρατῶν». — ταύταν . . . ζωᾶς] ἐπεξηγηματικὸν τοῦ ἀγάνορα «πεῖραν

Πόρσιστα, μοῖραν δ' εὔνομον
Αἰτέω σε παισὶν δαρὸν Αἰ-
τναίων ὀπάζειν,

Δ. ς'.

Ζεῦ πάτερ, ἀγλαΐαισιν
Δ' ἀστυνόμοις ἐπιμίξαι
Λαόν· ἐντί τοι φίλιπποί
Τ' αὐτόθι καὶ κτεάνων
Ψυχὰς ἔχοντες κρέσσονας
Ἄνδρες· ἄπιστον εἶ-

ἀγάνορα, ταύτην τὴν θανάτου πέρι καὶ ζωῆς» ἤτοι «πεῖραν ἀγάνορα, ταύτην δηλονότι, καθ' ἣν ὁ Ἕλλην λαὸς τῆς Σικελίας ἢ θὰ ἀποθάνῃ, ἢ θὰ ζήσῃ ἐλεύθερος». Πρόσχες μὴ ἀποδῷς τῷ «ταύτην» τὴν ἐξήγησιν «ταύτην, ἧς ἐπειράθησαν οἱ Θηβαῖοι μαχόμενοι πρὸς τοὺς περὶ τὸν Ἄδραστον». — ἀναβάλλομαι] ἐκεῖνο, τὸ ὁποῖον παρακαλεῖ τὸν Δία νὰ ἀναβάλῃ, νὰ κωλύσῃ νὰ γένηται ταχέως, λέγει, ὅτι αὐτὸς ἀναβάλλεται. — μοῖραν . . . πάτερ] «αἰτῶ δέ σε, ὦ Ζεῦ, μοῖραν εὔνομον τοῖς παισὶ τῶν Αἰτναίων δοῦναι· τουτέστιν αἰτῶ δέ σε καὶ ἱκετεύω, ὦ Ζεῦ, ὥστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν εἰρήνης μοῖραν (ὅρα Σημ. εἰς τὸ ἑπόμενον «μοῖραν εὔνομον») παρέχειν· ἀπὸ μέρους δὲ τὸ πᾶν, ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς σύμπαντας Σικελιώτας» Π. Σ. — μοῖραν εὔνομον] «εὐνομίαν» ὁ δὲ Π. Σ. ἐξηγήσατο ἄνευ ἀνάγκης συνεκδοχῆς «εἰρήνην»· ἀλλὰ τὴν εἰρήνην περιγράφει, ἤτοι αἰτεῖ τὸν Δία ἐν τῷ ἑπομένῳ κώλῳ. — δαρὸν] «ἐπὶ πολὺν χρόνον». Ὅρα τὴν συνέπειαν· πόρσιστα . . . δαρόν. — ἀγλαΐαισιν . . . λαὸν] ἐνταῦθα αἰτεῖ τὸν Δία τὴν εἰρήνην· διότι τὸ ἐπιμιγνύεσθαι τὸν λαὸν ἀστυνόμοις ἀγλαΐαις οὐδὲν ἄλλο σημαί-

νει ἡ εἰρήνην· «πολλαῖς δὲ εὐφροσύναις ἐπιμίξαι τοὺς ὄχλους, εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν» Π. Σ. — ἀστυνόμοις] ἃς νέμεται ἅπαν τὸ ἄστυ· οἷαί εἰσιν αἱ δημόσιαι θυσίαι καὶ ἑορταὶ καὶ αἱ ἐπὶ ταῖς ἐν τοῖς ἱεροῖς ἀγῶσι νίκαις πομπαὶ καὶ κῶμοι· ἅπερ ἅπαντα ἔργα εἰρήνης εἰσίν· ὥστε τὸ κῶλον «ἀγλαΐαισιν . . . λαόν» ἴσον ἐστὶν «αἰτῶ σε, Ζεῦ πάτερ, δαρὸν ὀπάζειν παισὶν Αἰτναίων εἰρήνην, ἵνα τὸν λαὸν ἐπιμιγνύῃς ἀγλαΐαις ἀστυνόμοις». — ἐντί τοι . . . ἄνδρες] σχῆμα ἀσύνδετον παραλειπομένου τοῦ γάρ. Ὁ νοῦς· «διότι ἢν ἐπὶ πολὺν χρόνον παρέχῃς εἰρήνην, ὑπάρχουσιν ἐν Αἴτνῃ ἄνδρες φιλότιμοι περὶ τὰς ἱπποτροφίας, ὥστε νὰ νικῶσιν ἐν τοῖς ἱεροῖς ἀγῶσι, καὶ τῶν χρημάτων οὕτως ἀφειδεῖς, ὥστε μὴ μόνον κώμους νὰ τελῶσι καὶ θυσίας καὶ δεῖπνα τῷ λαῷ, ἀλλὰ καὶ τὴν ψυχὴν νὰ κινδυνεύωσιν ὑπὲρ πατρίδος, ἐὰν ἐπανέλθωσιν οἱ Καρχηδόνιοι ἐπὶ τὴν Σικελίαν». — κτεάνων . . . κρέσσονας] «ἄνδρες νικῶντες τῇ προαιρέσει τὸν πλοῦτον καὶ οὐχ ἡττώμενοι χρημάτων» Π. Σ. Τὸ κ τ ε ά ν ω ν σημαίνει οὐ μόνον «τοῦ πλούτου» ἀλλὰ καὶ «τῆς ἐπιθυμίας τοῦ ζῆν καὶ ἀπολαύειν αὐτοῦ». Ἐνταῦθα λοιπὸν ἐπαινεῖ τοὺς ἄνδρας τῆς Αἴτνης οὐ μόνον ὡς δαπανῶντας ὑπὲρ τοῦ λαοῦ ἐν εἰρήνῃ καὶ μὴ φειδομένους χρημάτων, ἀλλὰ καὶ ὡς ἀνδρείους, μὴ φειδομένους ἐν πολέμῳ τοῦ ζῆν· ὧν παράδειγμα φέρει ἀπὸ στ. 80 τὸν Χρόμιον. — ἄπιστον ἔειπ'] «Τοῦτο, ὃ εἶπον, ὅτι ὑπάρχουσιν ἐν Αἴτνῃ ἄνδρες φιλότιμοι, καὶ ὅτι ἂν ἐπέλθωσι πάλιν εἰς Σικελίαν οἱ Καρχηδόνιοι, οἱ Ἕλληνες τῆς Σικελίας ἅπαντες καὶ μάλιστα οἱ Αἰτναῖοι θὰ ἀγωνίσωνται θ α ν ά τ ο υ π έ ρ ι κ α ὶ ζ ω ᾶ ς· ταῦτα πάντα, οὐκ ἐστι πιστευτὰ τοῖς ἀνθρώποις». — αἰδὼς γὰρ . . . δόξαν] Φαίνεται, ὅτι τοῦτο ἦν δημῶδες γνωμικὸν, ᾧ ἐχρήσατο ὁ ποιητὴς ἐνταῦθα, ἵνα ἀποδείξῃ μὲν, ὅτι οἱ ἄνθρωποι δυνατὸν νὰ ἀπιστῶσι τοῖς περὶ τῆς ἀρετῆς τῶν Αἰτναίων λόγοις

π'· αἰδὼς γὰρ ὑπόκρυφα κέρδει κλέπτεται,
Ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπί-
ζων, παρὰ πεζοβόαις,
Ἵπποις τε, ναῶν τ' ἐν μάχαις,
Ἔκρινας ἂν κίνδυνον ὀ-
ξείας ἀϋτᾶς,

Δ. ή.

Οὕνεκεν ἐν πολέμῳ κεί-
να θεὸς ἔντυεν αὐτοῦ

αὐτοῦ, ἀναγκασθῇ δὲ νὰ ἐνέγκῃ τὰς ἀρετὰς τοῦ Χρομίου ὡς παράδειγμα τοῦ ὅτι τὸ γνωμικὸν τοῦτο οὐκ ἀεὶ ἀληθεύει. — αἰδώς, ἃ δόξαν φέρει] καὶ ὁ πλούσιος αἰδῶ ἔχων δοξάζεται διὰ τοῦ πλούτου, καὶ ὁ μαχόμενος οὐ τρέπεται ἕνεκα τῆς αἰδοῦς εἰς φυγὴν καὶ οὕτω γίνεται ἔνδοξος. — ὑπόκρυφα κέρδει κλέπτεται] Ἐν μὲν ταῖς μάχαις κέρδος, ἕνεκα τοῦ ὁποίου κλέπτεται, ἤτοι ἀφαιρεῖται ἡ αἰδώς, ἐστι τὸ μὴ ἀποθανεῖν, ἀλλ' ἐπιζῆσαι, ἐν δὲ ταῖς εἰς φιλοτιμίας δαπάναις κέρδος ἐστὶ τὸ μὴ ἐλαττῶσαι τὸν πλοῦτον. Ὅθεν ἡ αἰδὼς κέρδει κλέπτεται σημαίνει κατὰ τὰς περιστάσεις ἢ «ἡ αἰδὼς ἀφαιρεῖται ἕνεκα φιλοψυχίας» ἢ «ἡ αἰδὼς ἀφαιρεῖται ἕνεκα φιλαργυρίας». Τὸ δὲ ὑπόκρυφα ἐτέθη, ἵνα σημάνῃ, ὅτι ὁ ἀπολέσας τὴν αἰδῶ οὐδέποτε λέγει τὴν ἀλήθειαν, ὅτι δηλαδὴ ἕνεκα φιλαργυρίας οὐ δαπανᾷ, ἢ ἕνεκα φιλοψυχίας λείπει τὴν τάξιν.

— Στ. 80-88. Χρομίῳ κεν . . . Ἐνυαλίου] «εἰ ἦσθα ὑπασπιστὴς καὶ συμπαραστάτης τοῦ Χρομίου, ὅτε καὶ πεζὸς καὶ ἱππεὺς καὶ ἐν ναυσὶν ἐμάχετο, ἤθελες

στ. 83. ἀν' ἐκ διορθώσεως ἀντὶ τῆς ἀνά. Ἐγὼ παρεδεξάμην τὴν γραφὴν τῶν χειρογρ.

γνωρίσῃ, οἷος ἦν ὁ κίνδυνος τῆς ὀξείας μάχης, καὶ ὡς ὑφίστατο αὐτόν· διότι ἐκείνη ἡ θεά, ἡ αἰδώς, ηὐτρέπιζε τὸν αἰχμητὴν αὐτοῦ θυμὸν νὰ ἀμύνῃ τῇ πατρίδι τὸν ὄλεθρον τοῦ Ἄρεως». Παρατήρησον τὴν τέχνην, ᾗ ἐχρήσατο ὁ ποιητὴς εἰς τὸ ἐπαινεῖν τὸν Χρόμιον. Εἶπεν ἀνωτέρω (στ. 66-70), ὅτι, ἐὰν ἐπανέλθωσιν οἱ Φοίνικες, οἱ Σικελοί εἰσιν ἕτοιμοι ἢ νὰ ἀποθάνωσιν ἢ ἐλεύθεροι νὰ ζήσωσι (πειράσονται τοῦ περὶ θανάτου καὶ ζωῆς κινδύνου)· εἶπεν ἔτι, ὅτι ἐν εἰρήνῃ οὐ φείδονται τοῦ πλούτου, ἀλλὰ δαπανῶσιν αὐτὸν εἰς φιλοτιμίας τρέφοντες ἵππους, ἵνα ἀγωνίζωνται ἐν τοῖς ἱεροῖς ἀγῶσι, καὶ παρέχοντες τῷ λαῷ δεῖπνα καὶ θεάματα καὶ ἑτέρας τοιαύτας εὐφροσύνας. Παράδειγμα δὲ ὅλων τούτων, ἃ εἶπεν ἐν τοῖς ἡγουμένοις φέρει τὸν Χρόμιον. Ἐπαινῶν ἄρα τὸν Χρόμιον ἐν τοῖς ἑπομένοις ὡς παράδειγμα ἀνδρείας μὲν ἐν ταῖς μάχαις, ἀφειδίας δὲ πλούτου εἰς τὰς εὐφροσύνας τοῦ λαοῦ ἐν εἰρήνῃ ἐπαινεῖ συνάμα καὶ τὴν πατρίδα αὐτοῦ ὡς τρέφουσαν τοιαῦτα τέκνα. Τὰς μὲν ἐν πολέμῳ ἀρετὰς τοῦ Χρομίου ἐπαινεῖ ἀπὸ στ. 80-106. τὰς δὲ ἐν εἰρήνῃ ἀπὸ στ. 107-127. — ἔκρινας . . . ἀϋτᾶς] ὀρθῶς ἑρμηνεύει τὴν βραχυλογίαν ταύτην ὁ Π. Σ. «ἔκρινας, οἷός τις ὁ κίνδυνος ὁ (παρὰ) τῶν πολεμίων». Τὸ πλῆρες ὅμως ἐστὶν «ἔκρινας, οἷός τις ἦν ὁ κίνδυνος ὁ ἐκ τῆς ὀξείας ἀϋτῆς (μάχης), ὃν ὑφίστατο ὁ Χρόμιος». — οὕνεκεν . . . ἔντυεν] Διὰ τί ὁ Χρόμιος ὑφίστατο τὸν περὶ ζωῆς ἐλευθέρας ἢ θανάτου ἐνδόξου κίνδυνον; διότι ἡ αἰδὼς παρεσκεύαζε κ. λ. — οὕνεκεν] ἴσον τῷ γάρ. — κεῖνα θεὸς] «ἐκείνη, ἣ φέρει δόξαν, καὶ ἣν νομίζουσι κοινῶς ὑπόκρυφα κέρδει κλέπτεσθαι»· ταύτην τὴν ἔμφασιν ἔχει τὸ κεῖνα. Ἐπροσωποποίησε δὲ εἰς θεὸν τὴν αἰδῶ διὰ τὴν μεγάλην αὐτῆς παρὰ Χρομίῳ καὶ τοῖς πολίταις αὐτοῦ καὶ τοῖς λοιποῖς Ἕλλησι Σικελιώταις δύναμιν· «ἐκείνη ἡ θεός, δηλονότι ἡ αἰδώς, παρεσκεύαζεν

Θυμὸν αἰχματὰν ἀμύνειν
Λοιγὸν Ἐνυαλίου.
Παῦροι δὲ βουλεῦσαι φόνου
Παρποδίου νεφέλαν
Τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας,
Χερσὶ καὶ ψυχᾷ, δυνατοί· λέγεται μὰν
Ἕκτορι μὲν κλέος ἀν-
θῆσαι Σκαμάνδρου χεύμασιν
Ἀγχοῦ· βαθυκρήμνοισι δ' ἀμ-

αὐτοῦ τὸν θυμόν, ὥστε ἀμύνειν λοιγὸν Ἐνυαλίου· Ὅμηρος (Ἰλ. ε. 531)
Α ἰ δ ο μ έ ν ω ν δ' ἀ ν δ ρ ῶ ν π λ έ ο ν ε ς σ ό ο ι ἠ ὲ π έ φ α ν τ α ι.
Παρεσκεύαζεν οὖν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κέρδος, ὡς ἄλλοι ἀπαναισχυντοῦσιν, ἀλλ' αὐτοῦ χάριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ» Π. Σ.

— Στ. 89-92. Παῦροι δὲ . . . δυνατοί] «ὀλίγοι δέ εἰσι δυνατοὶ νὰ βουλεύσωνται τῇ ψυχῇ, πῶς ἂν τρέψωσι τὸν παρόντα φόνον πρὸς τὰς στίχας τῶν πολεμίων, καὶ ταῖς χερσὶν ἐκτελέσωσιν, ὃ ἐβούλευσαν, οἷός ἐστιν ὁ Χρόμιος» (παράβαλ. πρὸς Νεμ. Α.' 39. κ. ἑξῆς). — Παῦροι δὲ βουλεῦσαι δυνατοί] «ὀλίγοι δέ εἰσι δυνατοὶ σκεψάμενοι νὰ εὕρωσι τὸν τρόπον, ᾧ τρέψουσιν». — παρποδίου] ἴσον τῷ ἄλλοθι τ ὸ π ὰ ρ π ο δ ὸ ς (Πυθ. Γ.' 108 Ι.' 97). — νεφέλαν φόνου] ἐν τοιαύταις ποιητικαῖς ἐκφράσεσι παραβάλλεται ἡ πληθὺς τῶν βελῶν τῶν ῥιπτομένων καὶ ποιούντων τὸν φόνον πρὸς χάλαζαν ἢ βροχὴν τὴν ἐκ νεφέλης πίπτουσαν· οὕτω ὅ σ τ ι ς ἐ ν τ α ύ τ ᾳ ν ε φ έ λ ᾳ χ ά λ α ζ α ν α ἵ μ α τ ο ς ἀ μ ύ ν ε τ α ι (Ἰσθμ. Ζ.' 38)· τ ρ α χ ε ῖ α ν ι φ ὰ ς π ο λ έ μ ο ι ο (Ἰσθμ. Ε.' 56) καὶ ἄλλοθι. — χερσὶ καὶ

ψυχᾷ] Ἀναπλήρου τὴν βραχυλογίαν «κατορθοῦντες χερσὶ καὶ ψυχᾷ»· ἣν ἄριστα ἑρμηνεύει ὁ Π. Σ. οὕτως «καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δρᾶσαι καὶ φονεῦσαι τοὺς πολεμίους καὶ ἐν τῷ βουλεύσασθαι, πῶς δεῖ ἀνελεῖν αὐτούς· κατορθοῦται γὰρ ὁ πόλεμος γνώμῃ καὶ χειρί· χειρὶ τῇ ἀνδρείᾳ, ψυχῇ τῇ φρονήσει, ἵν' ᾖ ῥώμη μετὰ φρονήσεως· ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος· καὶ γὰρ οὗτος βουλῇ καὶ χειρὶ ἐγένετο ἀγαθὸς ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Φοίνικας».

— Στ. 93-100. λέγεται μὰν Ἕκτορι . . . ἐν ἁλικίᾳ πρώτᾳ] «ὁ νοῦς· λέγεται μὲν καὶ ᾄδεται τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν ἀνθῆσαι παρὰ τῷ Σκαμάνδρῳ, ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ, ἐφ' ᾧ δὴ καὶ ὁ Ἀρείας πόρος καλεῖται, δέδεικται τοῦτο τὸ φέγγος τῷ Χρομίῳ ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ» Π. Σ. — Ἕκτορι] «καὶ τῷ Ἕκτορί φησιν ἀνθῆσαι τὸ κλέος μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ· τοῦτο δὲ εἰς ἔπαινον παρείλκυσε τοῦ Χρομίου· ἀπεικάζει γὰρ αὐτὸν τῷ Ἕκτορι. Τὸν δὲ Ἕκτορα παρείληφε καὶ οὐκ Αἴαντα ἢ Ἀχιλλέα τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον» Π. Σ. — ἀμφ' ἀκταῖς Ἑλώρου] Οἱ μὲν τῶν Π. Σ. νομίζουσιν, ὅτι ἐνταῦθα ἐγένετο ἡ πρὸς τοὺς Καρχηδονίους μάχη, ἐν ᾗ ἤνθησε τὸ κλέος τοῦ Χρομίου· «ἐνίκησε γὰρ ἐνταῦθα Χρόμιος Καρχηδονίους συμμαχῶν Γέλωνι τῷ τυράννῳ τῷ Ἱπποκράτους διαδόχῳ» Π. Σ. Οἱ δὲ λοιποὶ τῶν Π. Σ. λέγουσι τάδε «Περὶ τοῦτον τὸν ποταμὸν συνέστη Ἱπποκράτει τῷ Γελώων τυράννῳ πρὸς Συρακουσίους πόλεμος· ὁ δὲ Γέλων, οὗ Χρόμιος ἦν ἑταῖρος, ἱππήρχει τότε Ἱπποκράτει· ἐν δὲ τούτῳ, φησί, τῷ πολέμῳ εἰκὸς τὸν Χρόμιον ἐπιδείξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην. Περὶ δὲ τούτου τοῦ πολέμου Τίμαιος ἐν τῇ δεκάτῃ δεδήλωκεν. Καθάπαξ γάρ, φησὶν ὁ Δίδυμος, οὐδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ

φ' ἀκταῖς Ἑλώρου,

Δ θ'.

Ἔνθ' Ἀρείας πόρον ἄνθρω-
ποι καλέοισι, δέδορκε
Παιδὶ τοῦτ' Ἀγησιδάμου
Φέγγος ἐν ἁλικίᾳ
Πρώτᾳ· τὰ δ' ἄλλαις ἁμέραις
Πολλὰ μὲν ἐν κονίᾳ
Χέρσῳ, τὰ δὲ γείτονι πόντῳ, φάσομαι.
Ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται

τυράννων, ὅτι μὴ τὴν σὺν Ἱπποκράτει τοῦ Γέλωνος πρὸς Συρακουσίους· ὅτι μὲν Γέλωνα ἱππαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως· Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελώοις χαρίσασθαι βουλόμενος, μεταπεμψάμενος αὐτὸν καὶ παρακαλέσας πρὸς τὰς πράξεις, ἁπάντων τῶν ἱππέων τὴν ἐπιμέλειαν ἐκείνῳ παρέδωκεν. Ὡς δὲ καὶ ὁ Γέλων τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν, ἐξ ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γράφων οὕτως· ἐπιτρόπους δὲ τοῦ παιδὸς μετ' ἐκεῖνον κατέστησεν Ἀριστόνουν καὶ Χρόμιον τοὺς κηδεστάς· τούτοις γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς» Π. Σ. — Ἀρείας πόρον] «Ἀρείας πόρος ἐλέγετο πᾶς ὁ περὶ τὸν πορθμὸν καὶ τὸ Ῥήγιον τόπος· καὶ καλεῖσθαι μέχρι τοῦ νῦν Ἀρείας πόρον» Π. Σ. — δέδορκε παιδὶ Ἀγησιδάμου τοῦτο φέγγος] «ἐν τῷ παιδὶ τοῦ Ἀγησιδάμου, τῷ Χρομίῳ αὕτη ἡ λάμψις λάμπει, τοῦτο τὸ κλέος ὁρᾶται». Περὶ τοῦ δέδορκε κλέος ὅρα Ὀλυμπ. Α.' 151. καὶ τὴν Σημ. — τοῦτο] ὅπερ ἤνθησε τῷ Ἕκτορι.

— Στ. 101-103. τὰ δ' ἄλλαις ἁμέραις . . . φάσομαι] Ἡ ἐξήγησις τῶν Π. Σ., ἣν παρεδέξατο καὶ ὁ

ἡμέτερος Δούκας, ἐστὶν «ἐν ὑπερβατῷ φησιν· ἐν δὲ ἄλλαις ἡμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἐν τοῖς νήσοις αὐτῷ διηνυσμένα· ἢ οὕτως· ἐὰν κατορθώσῃ, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἑξῆς» Π. Σ. Οἱ Π. Σ. ὑποτιθεῖσιν, ὅτι ὁ Χρόμιος ἔχει ἡλικίαν, καθ᾽ ἣν μέχρι τοῦ χρόνου τῆς ἐν Σικυῶνι ἱερᾶς νίκης αὐτοῦ οὐδὲν ἕτερον πολεμικὸν ἔργον ἔπραξεν ἢ τὸ ἀνωτέρω μνημονευθὲν περὶ τὰς ἀκτὰς τοῦ Ἑλώρου· τὰ δὲ π ο λ λ ὰ μ ὲ ν ἐ ν κ ο ν ί ᾳ χ έ ρ σ ῳ, π ο λ λ ὰ δ ὲ ἐ ν γ ε ί τ ο ν ι π ό ν τ ῳ ὑπολαμβάνουσιν, ὅτι ὁ μὲν Χρόμιος μέλλει νὰ πράξῃ, ὁ δὲ ποιητὴς μαντεύεται, ὅτι θὰ πράξῃ· ὥστε τὰ ἐν τῷ χωρίῳ τούτῳ λεγόμενά εἰσι κατὰ τοὺς Π. Σ. μαντεία τοῦ ποιητοῦ. Εἰ τῷ ὄντι ἦσαν ταῦτα μαντεία τοῦ ποιητοῦ, καλῶς ἂν εἶχεν· ὁ τρόπος ὅμως τῆς ἐκφράσεως τοῦ ποιητοῦ οὐ δηλοῖ μαντείαν, ἀλλὰ διήγησιν ἔργων ἤδη πεπραγμένων. Ἐὰν δὲ πάλιν ὑποθῶμεν τὸ ἕτερον, ὧν ὑποτιθεῖσιν οἱ Π. Σ. ὅτι δηλαδὴ ἐν ἄλλῳ χρόνῳ θὰ διηγήσηται ταῦτα ὁ ποιητὴς, οὐδεὶς λόγος ὑπάρχει, δι᾽ ὃν ὁ ποιητὴς οὐ νῦν διηγεῖται, ἀλλὰ ἀναβάλλει εἰς ἄλλον χρόνον. Τούτων οὖν ἕνεκα παραδεκτέα ἡ ἑρμηνεία τοῦ Heynii, καθ᾽ ἣν οὐδὲν ὑπερβατὸν ὑπάρχει, ἀλλὰ τὸ ἄ λ λ α ι ς ἁ μ έ ρ α ι ς κεῖται ἐν τῇ αὐτοῦ θέσει· ἡ δὲ ἑρμηνεία ἔχει οὕτω πως «τὰ δὲ πεπραγμένα τῷ Χρομίῳ ἐν ἄλλαις ἡμέραις (τὰ δὲ ἕτερα πλὴν τῶν περὶ τὸν Ἕλωρον), ἃ πολλὰ μὲν κατωρθώθησαν ἐν ξηρᾷ (ἢ ἐν Σικελίᾳ ἢ ἐν Ἰταλίᾳ), πολλὰ δὲ ἐν τῷ πέριξ τῶν χωρῶν τούτων πόντῳ, ταῦτα πάντα ὡς γνωστὰ τοῖς πολίταις, παρ᾽ οἷς τελεῖται ἡ παροῦσα πομπὴ, ἐγὼ ἐπιβεβαιῶ καὶ ὁμολογῶ τὴν ἀλήθειαν αὐτῶν». — φάσομαι] ἴσον τῷ «οὐ διηγήσομαι, ἀλλὰ συνομολογήσω τοῖς μαρτυροῦσιν αὐτά»· ἤ, ὡς παρατηρεῖ ὁ Dissenius, ἴσον τῷ (Ὀλυμ. ΣΤ.΄ 35.) σ α φ έ ω ς ο ἱ μ α ρ τ υ ρ ή σ ω.

— Στ. 104-106. ἐκ πόνων δ᾽ . . . ἁμέρα] «ἐκ

Σύν τε δίκᾳ, τελέθει
Πρὸς γῆρας αἰὼν ἁμέρα.
Ἴστω λαχὼν πρὸς δαιμόνων
Θαυμαστὸν ὄλβον.

Δ. ι.

Εἰ γὰρ ἅμα κτεάνοις πολ-
λοῖς ἐπίδοξον ἄρηται
Κῦδος, οὐκέτ' ἐστὶ πόρσω

δὲ τῶν πόνων, οἳ ἐν τῇ νεότητι τοῦ ἀνθρώπου ὑπὲρ τοῦ δικαίου ἐπετελέσθησαν, ὁ αἰὼν ἐν τῷ γήρᾳ ἐστὶν λαμπρὸς καὶ εὐφρόσυνος». — σὺν νεότατι σύν τε δίκᾳ γένωνται] ὅτι ἡ πρόθεσις σὺν σημαίνει καὶ ἐνταῦθα τὸ ὁμοῦ κατανοεῖ τις, ἐὰν τρέψῃ τὴν πρότασιν εἰς τὴν ἰσοδύναμον ταύτην «οἳ ἄνευ τῆς νεότητος τῆς τε δίκης οὐκ ἂν γένωνται». — σὺν δίκᾳ] μετὰ τοῦ δικαίου, ὅπερ ἐστὶ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις καὶ μάχεσθαι ὑπὲρ πατρίδος. — αἰὼν ἁμέρα τελέθει] «Τινὲς θηλυκῶς φασιν ἐξενηνέχθαι τὴν ἡμέραν ἀντὶ τοῦ ἥμερος, καὶ τὸν αἰῶνα θηλυκῶς εἰρῆσθαι· ἡ αἰών ἐστιν αὐτοῖς ἡμέρα, ἀντὶ τοῦ ἥμερος καὶ πρᾷός ἐστιν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν νεότητι πεπονηκότες δικαίως· τὰ δὲ προσηνῆ κατὰ μεταφορὰν ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥσπερ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός· ἢ οὕτως, ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τούτοις τοῖς πόνοις, οἳ ἂν γένωνται ἐν νεότητι καὶ δίκῃ, ἀεὶ φῶς τελέθει· ἔστι δὲ ἐκ τοῦ ἐναντίου πρὸς τὸ τοῦ Ὁμήρου (Ὀδυσσ. Τ.' 360)
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν» Π. Σ.
τὴν δευτέραν ἐξήγησιν τῶν Π. Σ. ὁ ἡμέτερος Δούκας ἐκφράζει οὕτως «ὑπάρχει βίος φωτεινός, ὅλως ἡμέρα, εὐδαίμων μηδενὸς κακοῦ ἐκ νυκτὸς καὶ σκότους μεσολαβοῦντος». Παράβαλλε δὲ καὶ πρὸς τὸ ὁ νικῶν

δὲ, λοιπὸν ἀμφὶ βίοτον ἔχει μελιτόεσσαν εὐδίαν (Ὀλυμ. Α.' 157-158).

— Στ. 107-108. Ἴστω . . . ὄλβον] Ἐπαινέσας μέχρι τοῦδε τὰς ἐν πολέμῳ ἀρετὰς τοῦ Χρομίου· ἤδη προοιμιάζεται νὰ εἰσέλθῃ εἰς τὰς ἐν εἰρήνῃ, ἤτοι νὰ ὑμνήσῃ αὐτὸν ἐπὶ τῇ ἀναλώσει τοῦ πλούτου εἰς ἱπποτροφίας, εἰς τὸ νικᾶν ἐν τοῖς ἱεροῖς ἀγῶσιν, εἰς τὸ παρέχειν δεῖπνα τῷ λαῷ καὶ κώμους καὶ ἄλλας τοιαύτας ἀγλαΐας καὶ εἰς τὸ ὑμνεῖσθαι ὑπὸ τῶν ποιητῶν τὰς αὐτοῦ ἀρετάς. Ἔχε ἐν τῇ μνήμῃ, ὅτι ἡ πρόθεσις τοῦ ποιητοῦ ἀπὸ στ. 66. ἦν νὰ ἀποδείξῃ, ὅτι ἐὰν μὲν ᾖ πόλεμός, εἰσιν ἐν Αἴτνῃ καὶ ἁπάσῃ τῇ Σικελίᾳ ἄνδρες, οἵτινες ὑπὸ τῆς θεᾶς Αἰδοῦς ὀτρυνόμενοι οὐ φιλοψυχοῦσιν, ἀλλὰ ὑφίστανται τὸν περὶ ζωῆς καὶ θανάτου κίνδυνον· καὶ ὡς δεῖγμα ἐνεκωμίασε τὰς ἐν πολέμῳ ἀρετὰς τοῦ Χρομίου· ἐὰν δὲ ὁ Ζεὺς δῷ εἰρήνην τῇ Σικελίᾳ, ἡ πρόθεσις τοῦ ποιητοῦ ἦν νὰ ἀποδείξῃ, ὅτι ὑπάρχουσιν ἄνδρες ἐν Αἴτνῃ, οἵτινες οὐ φείδονται τοῦ αὐτῶν πλούτου, ἀλλὰ καταναλίσκουσιν αὐτὸν γενναίως εἰς τὸ παρέχειν ἀγλαΐας καὶ τέρψεις τῷ λαῷ· τούτων λοιπὸν τῶν ἀνδρῶν δεῖγμα φέρει ἐν τοῖς ἑπομένοις πάλιν τὸν Χρόμιον. — ἴστω λαχὼν] «ἂς γινώσκῃ ὁ Χρόμιος, ὅτι ἔλαχεν». — ὄλβον] ἐννοεῖ τὴν κτῆσιν τοῦ πλούτου καὶ τὴν εἰς φιλοτιμίας χρῆσιν αὐτοῦ καὶ τὴν ἐπιτυχίαν τῆς ἐν Σικυῶνι νίκης καὶ τὴν ἐν πολέμοις ἀνδρείαν καὶ τὴν ἐκ τούτων ἁπάντων εὐδαιμονίαν.

— Στ. 109-113. εἰ γὰρ ἅμα . . . ποδοῖν] «διότι ἐὰν μετὰ τῆς ἐκ κτημάτων πολλῶν δόξης τύχῃ τις καὶ δόξης εὐκλεοῦς ἐκ τῆς ἀνδρείας, θνητὸς ὢν ἀνέβη εἰς τὸ ἀνώτατον σημεῖον τοῦ ὕψους τῆς εὐδαιμονίας». Τὴν τοιαύτην ἔννοιαν ἐξήνεγκε πολλάκις κατὰ ποικίλους τρόπους. Παράβ. Ὀλυμπ. Γ'. 77 μέχρι τέλους. Νεμ. Γ'. 35. κ. ἑξῆς. — ἐπίδοξον κῦδος] τὸ κῦδος τὸ ἐκ τῶν ἀνδραγαθιῶν μόνον δηλοῖ· διότι τὸ ἐκ τῆς ἱερᾶς νίκης

Θνατὸν ἔτι σκοπιᾶς
Ἄλλας ἐφάψασθαι ποδοῖν.
Ἁσυχίαν δὲ φιλεῖ
Μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
Μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ.
Θαρσαλέα δὲ παρὰ
Κρητῆρα φωνὰ γίνεται.

καὶ τῶν γενναιοδωριῶν εἰς τὰς τέρψεις τοῦ λαοῦ σημαίνεται διὰ τῶν λέξεων ἅμα κτεάνοις πολλοῖς. — ἄρηται] ὁ Χρόμιος, ἤ, τίς. — πόρσω ἄλλας σκοπιᾶς] ἄλλης σκοπιᾶς ὑψηλοτέρας. Σκοπιὰ δὲ ἄκρον ὄρους, ἀφ' οὗ περισκοποῦσι τὰ κύκλῳ πάντα. Ἐνταῦθα δὲ παραβάλλεται τοῦ τοιούτου ὄρους τὸ ὕψος πρὸς τὸ ὕψος τῆς εὐδαιμονίας. — ἐφάψασθαι ποδοῖν] νὰ ἐγγίσῃ διὰ τῶν ποδῶν, νὰ ἀναβῇ· «ὁ δὲ νοῦς· ὁ γὰρ ἅμα πλήθει περιουσίας καὶ δόξαν εὐκλεῆ καρπωσάμενος οὐκέτι περαιτέρω θνητὸς ὢν ὀφείλει περισκοπεῖν, οὐδὲ ἄλλης εὐτυχίας ὁδοὺς ἐπιζητεῖν τοῖς αὐτοῦ ποσίν· ἀνυπέρβλητος γάρ, φησίν, αὕτη ἡ ἀρετὴ (ἀντί, εὐτυχία)» Π. Σ.

— Στ. 114-123. Ἁσυχίαν δὲ . . . ἀμπέλου παῖδ'] ἐν τούτοις κατασκευάζει τὸ ἐν ὑποθέσει ἀνωτέρω ἐξενεχθὲν εἰ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος· διότι τὸ ἐπίδοξον κλέος, ὡς εἴπομεν ἀνωτέρω, περιλαμβάνει τὴν ἐκ τῶν ἐν ταῖς μάχαις ἀδραγαθιῶν δόξαν, τὴν δὲ ἐκ τῶν γενναιοδωριῶν εἰς τὰς τέρψεις τοῦ λαοῦ σημαίνει διὰ τῶν λέξεων ἅμα κτεάνοις πολλοῖς. Καὶ περὶ μὲν τῶν ἐν ταῖς μάχαις ἀνδραγαθιῶν εἶπε πολλὰ ἀνωτέρω· λείπεται ἄρα ἔτι νὰ εἴπῃ πρὸς τελείαν κατασκευὴν τοῦ ἐν ὑποθέσει ἐξενεχθέντος λόγου περὶ τῆς νικηφορίας καὶ περὶ τῶν λοιπῶν ἐν εἰρήνῃ γενναιοδωριῶν τοῦ Χρομίου. Καὶ περὶ μὲν τῆς νικηφορίας ποιεῖ ἴδιον κεφάλαιον ἀπὸ

τῆς (ἐν στ. 115) λέξεως νεοθαλὴς μέχρι τῆς (ἐν στ. 127) Σικυῶνος. Περὶ δὲ τῶν λοιπῶν ἐν εἰρήνῃ γενναιοδωριῶν αὐτοῦ λέγει βραχυλογώτατα μέν, περιεκτικώτατα δὲ ἐν μόνῃ τῇ μικρᾷ προτάσει Ἁσυχίαν . . . συμπόσιον. Καθίσταται δὲ ἡ συνέχεια τοῦ λόγου φανερά, ἐὰν ἑρμηνεύσῃ τις οὕτω πως. «Ἐκτήσατο δὲ τὸ ἐκ τῶν κτεάνων κῦδος· διότι ὁ λαὸς ἐν εἰρήνῃ τιμᾷ καὶ δοξάζει τὸν παρέχοντα αὐτῷ δεῖπνα καὶ θεάματα μετὰ πομπῶν καὶ μουσικῶν ᾀσμάτων· τὰ δὲ ᾄσματα ᾄδονται μετὰ φωνῆς εὐσθενοῦς καὶ θαρσαλέας ἐν κώμοις, ὅπου ἵσταται ὁ κρατὴρ οἴνου μεστός. Ἐγκιρνάτω λοιπόν τις αὐτὸν τὸν γλυκὺν προφήτην καὶ ἄγγελον τοῦ κώμου· διανεμέτω τις ἐξ αὐτοῦ τὸν παῖδα τῆς ἀμπέλου ταῖς φιάλαις, ἅς ποθ' ἵπποι κ. τ. λ». Ἤδη ἐξετάσωμεν ἕκαστον χωρίς. — Ἁσυχίαν δὲ . . . συμπόσιον] Ὁ δέ ἐστιν ἀντὶ τοῦ γάρ πρὸς αἰτιολογίαν προτάσεως παραλειπομένης τοιαύτης τινός «Ἐκτήσατο δόξαν ἐκ τῶν κτεάνων, ἐπειδὴ ἐν εἰρήνῃ παρέχει δεῖπνα τῷ λαῷ». Ἡ αἰτιατικὴ Ἁσυχίαν καὶ ἡ ὀνομαστικὴ συμπόσιον ἐτέθησαν καθ' ὑπαλλαγὴν πτώσεων, καὶ ὁ ἑνικὸς ἀριθμὸς «συμπόσιον» κεῖται ἀντὶ πληθυντικοῦ «συμπόσια». Ὅθεν ἡ πρότασις γίνεται «Ἁσυχία γὰρ φιλεῖ μὲν συμπόσια». Τὸ δὲ πάλιν Ἁσυχία, ὅπερ σημαίνει εἰρήνη, ἐστὶν ἴσον τῷ «ὁ λαὸς ἐν εἰρήνῃ». Μετὰ δὲ τὴν λέξιν συμπόσιον προσυπακουστέαι ἐκ τῶν ἑπομένων καὶ αἱ λέξεις νικαφορίαι καὶ ἀοιδαί. Τὸ ὅλον λοιπὸν οὕτω πως μεταβλητέον καὶ ἀναπληρωτέον. «Ἐκτήσατο δὲ δόξαν ὁ Χρόμιος ἐκ τῶν πολλῶν κτεάνων, ἐπειδὴ κατανήλισκεν ἐξ αὐτῶν παρέχων δεῖπνα τῷ λαῷ καὶ τρέφων ἵππους διὰ ἱεροὺς ἀγῶνας· ὁ μὲν γὰρ λαὸς ἐν εἰρήνῃ φιλεῖ συμπόσια καὶ ᾠδὰς καὶ νικηφορίας». Ἡ ἀναπλήρωσις αὕτη ἐγένετο ἐκ τῶν στ. 73. κ. ἑξῆς· ἀγλαΐαισιν ἀστυνόμοις κ. τ. λ. Ὅτι δὲ ὁ Χρόμιος παρεῖχε πυκνὰ συμπόσια, δῆλον ἐκ τῶν στ. 4-5

Ἐγκιρνάτω τίς μιν, γλυκὺν
Κώμου προφάταν·

Δ. ιά.

Ἀργυρέαισι δὲ νωμά-
τω φιάλαισι βιατὰν
Ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι
Κτησάμεναι Χρομίῳ

καὶ μάλιστα ἐκ τῶν Νεμ. Α.' 31-33. Κάκιστα οἱ ἑρμηνευταὶ νομίζουσιν, ὅτι ὁ ποιητὴς ἐξήνεγκε τὴν πρότασιν ταύτην, ἵνα ποιήσῃ ταύτην τὴν παρομοίωσιν «ὥσπερ τὸ συμπόσιον φιλεῖ ἡσυχίαν, οὕτω καὶ ἡ νεοθαλὴς νικηφορία αὔξεται σὺν ἀοιδῇ»· διότι οἱ ἔπαινοι τῶν αἰτίων, ἐξ ὧν προῆλθε τῷ Χρομίῳ ἥ τε ἐν πολέμῳ καὶ ἡ ἐν εἰρήνῃ δόξα, τελευτῶσιν ἐν τῇ λέξει «συμπόσιον»· ἐν δὲ τοῖς ἑπομένοις μέχρι στ. 127. ἐξυμνεῖ μὲν τὸν Χρόμιον, διότι ἑορτάζει τὴν νέαν ταύτην νικηφορίαν διὰ πομπῆς καὶ ᾠδῆς καὶ κώμου, ὅστις παρεσκευασμένος ἤδη ὢν ἄρξεται εὐθὺς μετὰ τὸ τέλος τῆς πομπῆς· τὰ λεγόμενα ὅμως οὐδεμίαν ἄλλην συντακτικὴν σχέσιν ἔχουσι πρὸς τὰ ἀμέσως ἡγούμενα, ἢ ὅτι ἐκ τῆς προτάσεως ν ε ο θ α λ ὴ ς . . . σ ὺ ν ἀ ο ι δ ᾷ προσυπακουστέαι αἱ λέξεις ν ι κ α φ ο ρ ί α] κ α ὶ ἀ ο ι δ α ὶ καὶ ἐν τῇ ἡγουμένῃ Ἁ σ υ χ ί α ν . . . σ υ μ π ό σ ι ο ν, ὡς ἤδη εἴπομεν. — νεοθαλὴς . . . σὺν ἀοιδᾷ] «ἡ δὲ νέα νικηφορία τοῦ Χρομίου τιμᾶται μετὰ πομπῆς καὶ ᾠδῆς». — μαλθακᾷ] ἐπειδὴ τὴν νικηφορίαν ὡς νεωστὶ γενομένην ἐκάλεσε νεοθαλῆ κατὰ παραβολὴν πρὸς τὸ νέον φυτὸν, διὰ τοῦτο εἶπεν, ὅτι αὔξεται ἀντὶ τοῦ τιμᾶται· διὰ τοῦτο καὶ τὴν ᾠδὴν, δι' ἧς αὔξεται, ὠνόμασε μαλθακὴν κατὰ παραβολὴν πρὸς τὸ ὕδωρ, δι' οὗ αὔξονται τὰ νέα φυτά. — σὺν ἀοιδᾷ] οὐ μόνον σὺν ἀοιδᾷ, ἀλλὰ καὶ σὺν πομπῇ· ἀλλὰ τὸ σὺν πομπῇ παρέλιπεν, ἵνα δῷ, ἣν ἐβούλετο,

ἔμφασιν τῇ ᾠδῇ. — θαρσαλέα δὲ . . . γίνεται] Ἡ πομπὴ ἀρξαμένη τῆς πορείας ἢ ἀπὸ τῆς οἰκίας τοῦ Χρομίου ἢ ἀπό τινος τῶν πυλῶν τῆς πόλεως ἐγγὺς ἤδη ἐστὶ τοῦ ναοῦ τοῦ Αἰτναίου Διὸς, πρὸς ὃν ἀπ᾽ ἀρχῆς διευθύνετο· περὶ τὸν ναὸν τοῦτον, ὅπου ἔμελλε νὰ τελειώσῃ ἡ πομπὴ, ἦσαν παρεσκευασμέναι τράπεζαι καὶ κρατῆρες ἐπὶ τριπόδων πρὸς κῶμον καὶ εὐωχίαν τοῦ λαοῦ. Ταύτης λοιπὸν τῆς παρασκευῆς φανείσης ᾄδει ὁ χορὸς θαρσαλέα δὲ φωνὰ . . . (μέχρι τῆς λέξεως) Σικυῶνος. — παρὰ κρατῆρα] «ὅτε γίνεται ὁ κῶμος καὶ ἡ εὐωχία, καὶ ὁ χορὸς ᾄδει πίνων». Δῆλον δὲ ἐκ τούτων, ὅτι ἡ ᾠδὴ αὕτη ἔμελλε νὰ ᾀσθῇ καὶ δευτέραν φορὰν ἐν τῇ εὐωχίᾳ. — ἐγκιρνάτω τίς μιν] «ἐγκεραννύτω τις τὸν ἐν αὐτῷ οἶνον ὕδατι»· τό μιν αὐτὸν τὸν κρατῆρα συνεκδοχικῶς ἀντὶ «τοῦ ἐν αὐτῷ οἴνου». — κώμου προφάταν] «ὅστις ἐστὶ προοίμιον καὶ προφήτης τοῦ κώμου» Π. Σ. Ὅτε ἐν τῷ κώμῳ ἤρχετο ὁ χορὸς τοῦ ᾄδειν, ἐποίει πρῶτον σπονδὰς πίνων· διὸ καλεῖ τὸν οἶνον, προφήτην (προσημαίνοντα τὸν κῶμον) κώμου. — ἀργυρέαισι . . . παῖδα] «τὸν ἐν τῷ κρατῆρι κεκερασμένον ἤδη οἶνον διανεμέτω τις τοῖς χορευταῖς, ἵνα ἄρξωνται τοῦ κώμου, τοῦ ἐν τῷ κώμῳ ὕμνου». — βιατὰν] «βιατὰν ἀμπέλου παῖδα τὸν οἶνόν φησιν, ἤτοι τὸν βίᾳ θλιβόμενον, ἢ τὸν βιάζεσθαι εἰδότα καὶ εἰς μέθην ἄγειν» Π. Σ.

— Στ. 123-127. ἅς ποθ᾽ ἵπποι . . . Σικυῶνος] «ἅστινας φιάλας αἱ τοῦ Χρομίου ἵπποι προσεκόμισαν διὰ τῆς νίκης τῷ δεσπότῃ ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος στεφάνοις ἐκ τῆς ἱερᾶς Σικυῶνος· οὐ παρῆν δὲ ὑπὸ τὴν νίκην, ἀλλ᾽ ἐπεπόμφει τὸ ἅρμα» Π. Σ. Ὅτι ἐν Σικυῶνι τὸ βραβεῖον ἦν ἀργυραῖ φιάλαι, γινώσκομεν καὶ ἐκ τοῦ Νεμ. Ι.' 80-81. Ὅτι δὲ πρὸς ταῖς φιάλαις ἐδίδοτο καὶ στέφανος, ἐνταῦθα μόνον μανθάνομεν. — θεμιπλέκτοις] «ἤτοι νομίμως καὶ καθηκόντως πεπλεγμένοις, ἢ καθὸ

Πέμψαν θεμιπλέκτοις ἅμα
Λατοΐδα στεφάνοις
Ἐκ τὰς ἱερᾶς Σικυῶνος· Ζεῦ πάτερ,
Εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
Σὺν Χαρίτεσσιν, ὑπὲρ
Πολλῶν τε τιμαλφεῖν λόγοις
Νίκαν, ἀκοντίζων σκοποῦ
Ἄγχιστα Μοισᾶν.

πάρεδρός ἐστι τοῦ Ἀπόλλωνος ἡ Θέμις χάριν τοῦ χρηστηρίου· καὶ γὰρ ἦν προφήτης· ἢ ὅτι δικαίως καὶ ἄνευ δωροδοκίας ἐστέφθη». — ἱερᾶς Σικυῶνος] «οἰκείως ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν· ἡ γὰρ Μηκώνη ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος (Θεογον. 535)

Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ·

καὶ Καλλίμαχος·

Μηκώνην μακάρων ἕδρανον αὖτις ἰδεῖν» Π. Σ.

«Τὴν δὲ Σικυῶνα πρότερον Μηκώνην ἐκάλουν». Στραβ. Η.' κεφ. ΣΤ.' 25.

— Στ. 127-132. Ζεῦ πάτερ . . . Μοισᾶν] Ἀφικομένης ἤδη τῆς πομπῆς εἰς τὸν ναὸν τοῦ Αἰτναίου Διὸς καὶ τοῦ Χρομίου ἀνατιθέντος τοὺς στεφάνους τῷ Διῒ ἀποτείνει ὁ ποιητὴς διὰ τοῦ χοροῦ τὴν εὐχὴν ταύτην «Εὔχομαι, ὦ Ζεῦ, νὰ ἔχω κεκελαδημένην τὴν ἀρετὴν ταύτην τοῦ Χρομίου σὺν τῇ ἀρωγῇ τῶν Χαρίτων, καὶ τιμήσας τοῖς λόγοις τὴν νίκην νὰ φανῶ, ὅτι πολλοὺς ὑπερέβαλον εὐστοχώτατα ἐπαινῶν». — ταύταν] ταύτην τὴν περὶ τὰς ἐλευθεριότητας τοῦ Χρομίου εἰς τὸ ἐπιμιγνύναι τὸν λαὸν ἀγλαΐαισι καὶ τὴν περὶ τὰς μάχας. — εὔχομαι κελαδῆσαι] τὸ τῆς καθομιλουμένης

«εὔχομαι νὰ ἐκελάδησα», ἢ, εἰ βούλει, «καυχῶμαι, ὅτι ἐκελάδησα». — σὺν Χαρίτεσσιν] «τερπνῶς καὶ ἐπιχαριέντως»· διότι ἅπαντα τὰ τερπνὰ καὶ ἡδέα παρέχουσιν, ὡς πολλάκις ἐλέχθη, αἱ Χάριτες. — ὑπὲρ πολλῶν] «ὑπὲρ πολλοὺς, ὑπερβαλὼν πολλοὺς, οἳ ἂν ἐπαινῶσι τὴν νίκην τοῦ Χρομίου». Καὶ παρ' Ὁμήρῳ καὶ παρὰ Πινδάρῳ πολλάκις ἡ ὑπὲρ μετὰ γενικῆς τίθεται ἀντὶ τῆς ὑπὲρ μετὰ αἰτιατικῆς. — λόγοις] οἷς εἶπον, ἤτοι τούτῳ τῷ ὕμνῳ. — ἀκοντίζων . . . Μοισᾶν] «ἀκοντίζων τὴν νίκην κατ' ἐκεῖνο τὸ μέρος αὐτῆς, ὅπου αἱ Μοῦσαι ἔθεντο τὸν σκοπόν»· ὅπερ ἐστὶ «ἐπαινῶν καὶ ᾄδων τὴν νίκην οὕτως, ὡς αἱ Μοῦσαί μοι ἐνέπνευσαν». Ἐνθυμηθήτω ὁ ἀναγνώστης, ὅτι ἐν ἀρχῇ ἀπὸ στ. 13-24. αἱ Μοῦσαι ἐπροοιμιάσαντο αὐταὶ διὰ τοῦ χοροῦ νὰ ὑμνήσωσιν· καὶ ὅτι ἀπὸ στ. 25 ἄρχεται αὐτὸς ὁ ποιητὴς τοῦ ὕμνου ὡς ὑπὸ τῶν Μουσῶν ἐμπνεόμενος. Ταύτην λοιπὸν τὴν τῶν Μουσῶν ἔμπνευσιν καλεῖ σκοπὸν Μοισᾶν.

ΜΕΤΑΦΡΑΣΙΣ.

Παρ' Ἀπόλλωνος ἐκ Σικυῶνος ἐλθόντες, ὦ Μοῦσαι, εἰς τὴν νεόκτιστον πόλιν Αἴτνην εἰς τὸν ὄλβιον οἶκον τοῦ Χρομίου θὰ κωμάσωμεν, οὗ αἱ θύραι ἡττημέναι ὑπὸ φιλοξενίας εἰσὶν ἀνεῳγμέναι τοῖς ξένοις. Τελεῖτε λοιπὸν, ὦ Μοῦσαι, γλυκὺν ὕμνον λόγων· διότι ἀναβαίνων εἰς τὸ νικηφόρον ἅρμα (ὁ Χρόμιος) σημαίνει νὰ ᾄδωμεν τὴν μητέρα καὶ τοὺς διδύμους αὐτῆς παῖδας τοὺς ὁμοψήφους τῆς Πυθῶνος ἐπιστάτας. Ἔστι δέ τις παρ' ἀνθρώποις λόγος παραινῶν τὸ τετελεσμένον ἀγα-

θὸν νὰ μὴ καλύπτηται διὰ τῆς σιωπῆς ὑπὸ τὴν γῆν· ἐπιτηδεία δὲ εἰς τοῦτό ἐστιν ἡ θεία τῶν ἐπαινετικῶν λόγων ᾠδή· ἀλλ' ἂς διεγείρωμεν βρέμουσαν φόρμιγγα, ἂς διεγείρωμεν αὐλὸν ἐπ' αὐτὸ τὸ ἄνθος τῶν ἱππικῶν ἄθλων, οὓς ἀφιέρωσεν ὁ Ἄδραστος τῷ Φοίβῳ παρὰ τὰ ῥεῖθρα τοῦ Ἀσωποῦ· ὧν ἐγὼ μνησθεὶς κλυταῖς τιμαῖς θὰ δοξάσω τὸν ἥρωα. Οὗτος τότε μὲν βασιλεύων ἐκεῖ, εὐκλεΐζων τὴν πόλιν, καὶ νέαις ἑορταῖς καὶ ἁμίλλαις ἰσχύος ἀνδρῶν τε καὶ γλαφυρῶν ἁρμάτων ἐλάμπρυνεν αὐτήν· διότι ἔφευγε τὸν θρασυμήδη Ἀμφιάραον καὶ τὴν δεινὴν στάσιν ἐκπεσὼν τῶν πατρῴων οἴκων καὶ τοῦ Ἄργους· ἡγεμόνες δὲ τοῦ Ἄργους οὐκέτι ἦσαν οἱ Ταλαοῦ παῖδες βιασθέντες ὑπὸ τῆς στάσεως. Ἀλλ' ἀνὴρ φρόνιμος καταπαύει τὴν προτέραν ἔχθραν· οὕτω καὶ οἱ παῖδες τοῦ Ταλαοῦ δόντες τῷ υἱῷ τοῦ Οἰκλέους γυναῖκα ὡς ἐνέχυρον πίστεως τὴν ἀνδροδάμην Ἐριφύλην ἐγένοντο οἱ μέγιστοι τῶν ξανθοκομώντων Δαναῶν· καί ποτε εἰς ἑπταπύλους Θήβας ἐστράτευσαν· ἀλλ' ἡ στρατεία αὕτη οὐκ ἦν αἰσίων οἰωνῶν· οὐδὲ ὁ Ζεύς, ὅτε ἐμαίνοντο νὰ ἀναχωρήσωσιν ἐκ τῆς πατρίδος, ἀστράψας ἐπιδέξια παρώτρυνεν, ἀλλ' ἐκέλευε νὰ ἀπόσχωνται τῆς στρατείας ταύτης. Εἰς φανερὰν ἄρα βλάβην ἔσπευδεν ὁ στρατὸς νὰ ἔλθῃ σὺν χαλκοῖς ὅπλοις καὶ ἱππείοις ἅρμασιν· ἐπὶ δὲ τῶν ὄχθῶν τοῦ Ἰσμηνοῦ μαχεσάμενοι ὑπὲρ τοῦ γλυκέος νόστου ἐπάχυναν τοῖς λευκοῖς σώμασι καπνόν· διότι ἑπτὰ πυραὶ εὐωχήσαντο τὰ νεκρὰ μέλη τῶν

ἀνδρῶν· ὁ δὲ Ζεὺς τῷ πανισχύρῳ κεραυνῷ ἔσχισε τῷ Ἀμφιαράῳ τὴν βαθύστερνον γῆν καὶ ἔκρυψεν αὐτὸν ἐνταῦθα μετὰ τῶν ἵππων πρὶν τυπεὶς κατὰ τὰ νῶτα τῷ δόρατι τοῦ Περικλυμένου καταισχυνθῇ τὴν ἀνδρείαν αὐτοῦ ψυχήν· διότι ἐν τοῖς ἐκ δαιμόνων φόβοις φεύγουσι καὶ θεῶν παῖδες. Εἰ ἔστι δυνατὸν (ἐκ τῶν Μοιρῶν), ὦ Ζεῦ, τὴν θαυμαστὴν μὲν κατὰ τῶν ἐκ Καρχηδόνος πεμπομένων δοράτων ἀνδρείαν, ταύτην τὴν περὶ θανάτου (ἐντίμου) ἢ ζωῆς (ἐλευθέρας), δέομαι νὰ ἀναβάλῃς ὡς μακρότατα· εὐνομίαν δὲ παρακαλῶ σε νὰ παρέχῃς καὶ εἰρήνην ἐπὶ πολὺν χρόνον τοῖς παισὶ τῶν Αἰτναίων, Ζεῦ πάτερ· νὰ ποιήσῃς δὲ τὸν λαὸν κοινωνὸν εὐφροσυνῶν καθ᾽ ἅπαν τὸ ἄστυ· διότι (ἐὰν παρέχῃς εὐνομίαν καὶ εἰρήνην), ὑπάρχουσι βέβαια αὐτόθι ἄνδρες ἱπποτροφοῦντες καὶ ἔχοντες ψυχὰς κρείττονας χρημάτων· ἀλλὰ τοῦτο οὐκ ἔστι πιστευτὸν (τοῖς πᾶσιν)· διότι (λέγουσιν, ὅτι) ἡ αἰδὼς, ἥτις φέρει δόξαν, ὑφαιρεῖται ὑπὸ τοῦ κέρδους ἀφανῶς· (ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀληθὲς ἐν τοῖς πολίταις τῆς Αἴτνης· διότι) εἰ ἧς ὑπασπιστὴς τῷ Χρομίῳ καὶ ἐν πεζομαχίαις καὶ ἐν ἱππομαχίαις καὶ ἐν ναυμαχίαις, ἤθελες γνωρίσῃ, οἷον κίνδυνον ὀξείας μάχης ὑφίστατο· διότι ἐν πολέμῳ ἐκείνη ἡ θεὸς παρασκευάζει τὴν ἀνδρείαν αὐτοῦ ψυχὴν, ὥστε νὰ βοηθῇ τῇ πατρίδι κατὰ τοῦ ὀλέθρου τοῦ Ἄρεως. Ὀλίγοι δέ εἰσι δυνατοὶ νὰ εὕρωσι τὸν τρόπον, πῶς νὰ τρέψωσι τὴν νεφέλην τοῦ παρόντος φόνου εἰς τὰς τάξεις τῶν πολεμίων, κατορθοῦντες χερσὶ καὶ νῷ. Λέγεται

δὲ, ὅτι τὸ μὲν κλέος τοῦ Ἕκτορος ἤνθησε παρὰ τὸ ῥεῦμα τοῦ Σκαμάνδρου· ἐν δὲ ταῖς βαθυκρήμνοις ἀκταῖς τοῦ Ἑλώρου, ἔνθα καλοῦσιν οἱ ἄνθρωποι Ἀρείας πόρον, ἐκ τοῦ υἱοῦ τοῦ Ἀγησιδάμου ἐν τῇ πρώτῃ ἡλικίᾳ λάμπει τοῦτο τὸ φέγγος.. Τὰ δὲ ἐν ἄλλαις ἡμέραις ὑπ᾽ αὐτοῦ πεπραγμένα πολλὰ μὲν ἐν ξηρᾷ, πολλὰ δὲ ἐν τῇ γείτονι θαλάσσῃ συνομολογῶ τοῖς μαρτυροῦσιν. Ἐκ δὲ τῶν πόνων, οἳ ἂν γένωνται ἐν νεότητι ἔν τε δικαιοσύνῃ, ὁ κατὰ τὸ γῆρας βίος καθίσταται λαμπρός. Γινωσκέτω τοίνυν ὁ Χρόμιος, ὅτι ἔτυχε παρὰ τῶν θεῶν θαυμαστὴν εὐδαιμονίαν· διότι ἐὰν θνητός τις ὢν σὺν τῇ πολλοῦ πλούτου τύχῃ καὶ ἐκ τῆς ἀνδρείας ἔνδοξον κλέος ἄρηται, οὐκ ἔστι δυνατὸν νὰ ἀναβῇ τοῖς ποσὶν ἄλλην ἔτι σκοπιὰν ὑψηλοτέραν· διότι ὁ μὲν λαὸς ἐν εἰρήνῃ φιλεῖ συμπόσια (καὶ νικηφορίας)· ἡ δὲ νεαρὰ νικηφορία αὔξεται σὺν ᾠδῇ μαλθακῇ (ἃ ἐκ τοῦ πλούτου πάντα παρέχει τῷ λαῷ ὁ Χρόμιος)· ἡ δὲ φωνὴ τῶν ᾀδόντων γίνεται θαρσαλέα ἐν πόσει. Ἐγκεραννύτω οὖν τις τὸν κρατῆρα τὸν γλυκὺν μάντιν τοῦ κώμου· διανεμέτω δὲ τὸν θερμουργὸν παῖδα τῆς ἀμπέλου ταῖς ἀργυραῖς φιάλαις, ἅς ποτε οἱ ἵπποι κτησάμενοι ἔπεμψαν τῷ Χρομίῳ ἐκ τῆς ἱερᾶς Σικυῶνος μετὰ τῶν θεμιπλέκτων στεφάνων τοῦ Ἀπόλλωνος. Ζεῦ πάτερ, εὔχομαι τὸ μὲν κελάδημα τοῦτο τῶν ἀρετῶν τοῦ Χρομίου νὰ ᾖ τερπνὸν, ἐγὼ δὲ τιμῶν τῷ ὕμνῳ τὴν νίκην νὰ ᾦ πολλοῖς ἀνυπέρβλητος ἐπαινέσας συμφωνότατα τῇ ἐμπνεύσει τῶν Μουσῶν.

ΝΕΜΕΑ

ΕΙΔΟΣ Ι'.

ΘΕΙΑΙΩι ΠΑΙΔΙ ΟΥΛΙΟΥ ΠΑΛΑΙΣΤΗ.

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος συνίσταται ἐκ κώλων ἕνδεκα.

Κῶλον 1. ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ | ⏑́ ⏑ Ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον.

„ 2. – ⊥ ⏑ ⊥ – | ⊥ ⏑ ⏑ – ⏑ ⏑ – Ἰαμβέλεγος.

„ 3. ⊥ ⏑ ⊥ – | – ⏑ ⏑ – ⏑ ⏑ ⊥ Ἰαμβέλεγος λείποντος τοῦ ἰαμβικοῦ πενθημιμεροῦς μίαν συλλαβὴν ἐν ἀρχῇ, ὅπερ καὶ ἄλλοθι συμβαίνει.

„ 4. – – ⏑ ⏑ | – ⏑ ⏑ – Προσοδιακόν.

„ 5. ⊥ ⏑ ⊥ – | ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ – Ἰαμβέλεγος ὡς τὸ τρίτον.

„ 6. ⊥ ⏑ ⊥ ≚ | – ⏑ ⏑ – Ἐπιχοριαμβικόν.

„ 7. ⏑ ⏑ – – | ⊥ ⏑ ⊥ Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν.

„ 8. ⊥ ⏑ ⊥ – | ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ | – Ἰαμβέλεγος· τοῦ πενθημιμεροῦς ὅμως ἰαμβικοῦ ἡ πρώτη συλλαβὴ ἐτέθη, ὡς καὶ ἀλλαχοῦ, ἐν τῷ τέλει τοῦ πενθημιμεροῦς δακτυλικοῦ.

„ 9. ⊥ ⏑ ⏑ ⊥ ⏑ ⏑ ⊥ Δακτυλικὸν πενθημιμερές.

„ 10. ⊥ ⏑ ⊥ – | ⊥ ⏑ ⊥ ⏑ | ⊥ ⏑ – Τροχαϊκὸν τρίμετρον καταληκτικόν.

„ 11. ⊥ ⏑ ⊥ ⏒ | ⊥ ⏑ ⊥ – | ⊥ ⏑ ⊥ Τὸ αὐτό.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων δώδεκα.

Κῶλον 1. –́ ⏑ –́ – | – ⏑ – Τροχαϊκὸν δίμετρον βραχυκατάληκτον.

„ 2. ⊥́ ⏑ ⏑ | –́ – | –́ ⏑ ⏑ Δακτυλικὸν τρίμετρον.

„ 3. –́ ⏑ –́ – | –́ ⏑ ⏑ –́ Ἐπιχοριαμβικόν, ὡς τὸ ἕκτον τῶν στροφῶν.

„ 4. ⏑ ⏑ –́ – – | ⏑ ⏑ Ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον.

„ 5. –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ – Δακτυλικὸν τρίμετρον ἀκατάληκτον.

„ 6. –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ Δακτυλικὸν πενθημιμερές.

„ 7. –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ | – –́ ⏑ –́ ⏒ Ἐγκωμιολογικόν.

„ 8. ⊥́ ⏑ –́ – | –́ ⏑ –́ Εὐριπίδειον.

„ 9. – –́ ⏑ ⏑ –́ | ⏑ ⏑ –́ ⏑ Ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς δισύλλαβον.

„ 10. ⏑ ⏒⏒ ⏒ –́ | ⏑ –́ ⏑ Ἰαμβικὸν δίμετρον καταληκτικόν.

„ 11. ⏑ ⏑ – ⏑ ⏑ – | ⏑ Ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον.

„ 12. –́ ⏑ –́ – | –́ ⏑ –́ Εὐριπίδειον.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἀρχόμενος εὐθὺς ἀπὸ τῆς πατρίδος τοῦ νικηφόρου, τοῦ Ἄργους, ἐπαινεῖ διηγούμενος τὰ τῶν βασιλευσάντων αὐτῆς καὶ τὰ τῶν ἡρώων καὶ ἡμιθέων μέχρι στ. 38. Ἔρχεται ἔπειτα εἰς τὸν νικηφόρον καὶ ἀπαριθμεῖ τὰς νίκας, ὅσας ἤρατο ἐν Πυθῶνι καὶ Νεμέᾳ καὶ Ἰσθμοῖ (στ. 39-52).

Διακόπτει ἐπ' ὀλίγον τὴν ἀπαρίθμησιν καὶ εὔχεται τῷ Διῒ νὰ δῷ αὐτῷ τὴν χάριν νὰ νικήσῃ καὶ ἐν Ὀλυμπίᾳ (53-61). Ἐπαναλαμβάνει τὴν ἀρίθμησιν τῶν νικῶν τοῦ Θειαίου (ἀπὸ στ. 62-68). Μεταβαίνει εἰς τοὺς προγόνους τοῦ νικηφόρου, λέγων, ὅτι αὐτὸς οὐκ ἀνεδείχθη ἥττων ἐκείνων (ἀπὸ στ. 69-76). Διηγεῖται τὰς νίκας αὐτῶν (ἀπὸ στ. 76-90). Ἀποδίδωσι τὸ αἴτιον τῶν τοσούτων νικῶν αὐτοῦ τε καὶ τῶν συγγενῶν τῇ εὐνοίᾳ τῶν Διοσκούρων ἕνεκα τῆς ξενίας, ἣ ὑπάρχει αὐτοῖς καὶ τῷ γένει τοῦ νικηφόρου (ἀπὸ στ. 91-102). Ὑμνήσας τοὺς θεοὺς τοὺς ξένους τοῦ γένους τοῦ νικηφόρου διηγησάμενος τὸν μῦθον περὶ τῆς παρ' ἡμέραν ἀποθεώσεως τῶν Διοσκούρων, τελευτᾷ τὴν ᾠδήν.

ΕΙΣΑΓΩΓΗ.

«Ἐν Ἄργει τελεῖται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς Ἑκατόμβαια, ὃν καὶ Ἥραια καλοῦσιν· ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ» Π. Σ. Ἐν ταύτῃ τῇ ἑορτῇ ἐνίκησεν ὁ παῖς Θειαῖος. Προοιμιάζεται δὲ ἐκ τῆς πόλεως τοῦ Ἄργους, καὶ διότι ἐκεῖ ὁ παῖς ἀγωνισάμενος ἐνίκησε, καὶ διότι τὸ Ἄργος ἦν πατρὶς τοῦ νικηφόρου, ὅπου τελεῖται καὶ ὁ κῶμος ἢ ἐν τῇ οἰκίᾳ τοῦ Οὐλίου ἢ περὶ ναόν τινα, ἢ καὶ περὶ τὸν βωμὸν τῆς Ἥρας ἐν τῷ Ἡραίῳ μετὰ τὴν νίκην.

Σ. ά. Κ. ιά.

Δαναου πόλιν, ἀγλαο-
θώκων τε πεντήκοντα κορᾶν, Χάριτες,
Ἄργος, Ἥρας δῶμα θεοπρεπὲς, ὑ-
μνεῖτε. φλέγεται δ' ἀρεταῖς
Μυρίαις· ἔργων θρασέων ἕνεκεν·
Μακρὰ μὲν τὰ Περσέος ἀμ-

— Στ. 1-5. Δαναοῦ . . . ἕνεκεν] «Τὴν τοῦ Δαναοῦ πόλιν καὶ τῶν πεντήκοντα θυγατέρων αὐτοῦ, φημὶ δὴ τὸ Ἄργος, ἥτις πόλις θειοδέστατόν ἐστιν οἰκητήριον τῆς Ἥρας, ὑμνήσατε» Π. Σ. — Δαναοῦ πόλιν] «Ὁ Δαναὸς Βήλου (υἱοῦ τοῦ Ποσειδῶνος καὶ τῆς Λιβύης, βασιλέως τῆς Αἰγύπτου) παῖς ὤν, τοῦ Ἄργους ἐβασίλευσεν· ὁ δὲ Αἴγυπτος (ἀδελφὸς τοῦ Δαναοῦ), τῆς ὁμωνύμου χώρας· ὁ δὲ Ἀγήνωρ (ὁ ἀδελφὸς τοῦ Βήλου), τῆς Φοινίκης» Π. Σ. — Χάριτες ὑμνεῖτε] συνεκδοχικῶς· διότι αἱ Μοῦσαι ὑμνοῦσιν, αἱ δὲ Χάριτες, αἱ καὶ παρὰ τοῖς θεοῖς καὶ παρὰ τοῖς ἀνθρώποις πάντων τῶν τερπνῶν καὶ ἡδέων πάροχοι, καθιστᾶσι τὸν ὕμνον τερπνόν. Καλῶς δὲ ἔχει ἡ συνεκδοχή· διότι καὶ ἐν τῷ προνάῳ τοῦ ναοῦ τῆς Ἥρας πρὸς ἀριστερὰν μέν εἰσιν ἀγάλματα τῶν Χαρίτων, πρὸς δεξιὰν δὲ ἡ κλίνη τῆς Ἥρας· καὶ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἀγάλματος τῆς Ἥρας στέφανος Χάριτας ἔχει ἀπειργασμένας (Παυσαν. Β.' 17). — Ἄργος, Ἥρας δῶμα] «εὖ παρὰ τὸ Ὁμηρικὸν (Ἰλ. δ. 50)
(Τὸν δ' ἠμείβετ' . . . Ἥρη)

Ἦτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί
εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια
Μυκήνη·

καὶ Καλλίμαχος (Ἀπόσπασμα 108)

Τοῖς μὲν ἀρισκυδὴς εὖνις ἀνῆκε Διὸς
Ἄργος ἔχειν, ἴδιόν περ ἐὸν λάχος,
ἀλλὰ γενέθλη
Ζηνὸς ὅπως σκοτίη τρηχὺς ἄεθλός
ἔοι» Π. Σ.

— φλέγεται] «ἀντὶ τοῦ λάμπεται καὶ δοξάζεται» Π. Σ.
— ἔργων θρασέων ἕνεκεν] «ἐκλάμπει χάριν τῶν ἀρετῶν, ὧν ἔσχεν» Π. Σ.

Στ. 6-7. Μακρὰ μὲν . . . Γοργόνος] Ἤδη διηγήσεται τὰ θρασέα ἔργα, ὧν ἕνεκα τὸ Ἄργος λάμπει. «Ὁ Πίνδαρος, ὅτε βούλοιτο ἐπαινεῖν τὰς πατρίδας τῶν νενικηκότων, ἀθροίζειν εἴωθε τὰ πεπραγμένα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχή. Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν. Ἐνταῦθα δὲ ἄρχεται ἀπὸ Περσέως. Ἀργεῖος γὰρ οὗτος· μακρὰ οὖν, φησὶν, ἂν εἴη λέγειν καὶ διηγεῖσθαι τὰ περὶ Περσέως, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα· ἔστι δὲ ἡ ἱστορία αὕτη. Μέδουσα, μία δὲ τῶν Γοργόνων αὕτη, ἤρισέ ποτε διὰ κάλλους τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς τὴν πρόσκλησιν ἀγανακτήσασα πείθει Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἄϊδος κυνέην· εἴη δ' ἂν ἡ ἀορασία· καὶ ἀποτεμεῖν τῆς Γοργόνος τὴν κεφαλήν· ὁ δὲ τῷ αὐτοῦ τάχει θαῤῥῶν καὶ τῇ τῆς Ἀθηνᾶς συμπραξίᾳ ἐπὶ τὸν ἆθλον στέλλεται, καὶ κατειληφὼς τὰς Γοργόνας καὶ ἰδὼν διαδούσας ἀλλήλαις τὸν ὀφθαλμὸν, ἑνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο, ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σκοπήσας ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν καὶ δίδωσι τῇ Ἀθηνᾷ· ἡ δὲ δεξαμένη ἐνέθηκε τῷ ἑαυτῆς στήθει, ὅπως ἂν ἐν τῇ παραθέσει ἡ τοῦ κάλλους εἴη

φὶ Μεδοίσας Γοργόνος.
Πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν ἄστη
Ταῖς Ἐπάφου παλάμαις.
Οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη, μονό-
ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.

Ἀ. ά. Κ. ιά.

Διομήδεα δ' ἄμβροτον

διάκρισις· ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολύσασθαι· δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα καὶ ἀπολιθώσας αὐτὸ ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον· οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο» Π. Σ. (ὅρα καὶ Σημ. εἰς Πυθ. Ι.' 72-75).

— Στ. 8-9. πολλὰ . . . παλάμαις] «πολλαὶ δὲ πόλεις ἐν Αἰγύπτῳ κατῳκίσθησαν ὑπὸ τοῦ Ἐπάφου». — Ἐπάφου] «Ἔπαφος Διὸς καὶ Ἰοῦς, Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης· οὗτος οὖν ὁ Ἔπαφος ἐβασίλευσεν Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός» Π. Σ.

— Στ. 10-11. οὐδ' Ὑπερμνήστρα . . . ξίφος] «Ὑπερμνήστρα οὐκ ἐσφάλη φεισαμένη τοῦ αὐτῆς ξίφους καὶ μὴ ἀνελοῦσα τὸν Λυγκέα» Π. Σ. — Ὑπερμνήστρα] «Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ, ὃς καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον· γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα· στασιασάντων δὲ αὐτῶν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς, Δαναὸς τοὺς Αἰγύπτου

στ. 8. Πολλοὶ ἐπήνεγκαν ἕνεκα τοῦ μέτρου διόρθωσιν τῷ κώλῳ τούτῳ· ἡ δὲ πιθανωτέρα μοι δοκεῖ ἡ τοῦ Heynii, πολλὰ δ' Αἰγύπτοιο κατῴκισεν ἄστη (δηλ. τὸ Ἄργος).

στ. 11. κολεῷ· αἱ συλλαβαὶ εῳ συνιζάνουσιν.

παῖδας δεδοικώς, ἐν νηῒ τὰς θυγατέρας ἐνθέμενος, φυγὼν ἧκεν εἰς Ἄργος· κρατήσας δὲ τῆς χώρας ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασεν . . . οἱ δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν καὶ τὰς θυγατέρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ φυγῆς, ὡμολόγει τοὺς γάμους καὶ ἐκλήρου τὰς κόρας. Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλε Λυγκεῖ, οὗτος γὰρ ἐκ βασιλίδος γυναικὸς Ἀργυφίης ἐγεγόνει Αἰγύπτῳ . . . ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια διαδίδωσι ταῖς θυγατράσιν· αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας· αὐτὴ δὲ Λυγκέα διέσωσε, παρθένον αὐτὴν φυλάξαντα» Ἀπολλόδωρ. Β.' β. 7. — οὐ παρεπλάγχθη] «οὐκ ἀπεπλανήθη τοῦ ὀρθοῦ καὶ δικαίου». — μονόψαφον ξίφος] τὸ ξίφος εἶχε τεσσαράκοντα καὶ ἐννέα ψήφους τὰς τῶν ἄλλων ἀδελφῶν ὑπὲρ τοῦ ἑλκυσθῆναι ἀπὸ κολεοῦ, καὶ μίαν μόνην τὴν ἑαυτῆς ὑπὲρ τοῦ μὴ ἑλκυσθῆναι. Ὅθεν «καίτοι μονόψηφον ἦν τὸ ξίφος ὑπὲρ τοῦ μὴ ἑλκυσθῆναι, ὅμως αὐτὴ κατέσχεν αὐτὸ ἐν κολεῷ».

— Στ. 12-13. Διομήδεα . . . θεὸν] «καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ᾗ τιμᾶται ὡς θεός. Καὶ Ἴβυκος οὕτως· τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς. Καὶ Πολέμων ἱστορεῖ, ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν αἵρεσθαι τιμῆς ὡς θεόν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ. Ἐποίησε δὲ ἡ Ἀθηνᾶ θεὸν τὸν Διομήδη οὕτως. Κατὰ τὸν Θηβαϊκὸν πόλεμον Μελάνιππος (ἦν δ' οὗτος ἥρως Θηβαῖος) ἔτρωσε τὸν Τυδέα· ὁ δὲ πρὸς τὴν πληγὴν θυμήνας καθικέτευσε τὸν Ἀμφιάραον ἀνελεῖν τὸν Μελάνιππον καὶ προσαγαγεῖν

Ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν.
Γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυ-
νωθεῖσα Διὸς βέλεσι
Μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.
Καὶ γυναιξὶν καλλικόμοι-
σιν ἀριστεύει. πάλαι
Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολών, τοῦ-
τον κατέφανε λόγον.
Πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν
Καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ.

Ἐ. α΄. Κ. ιβ΄.

Θρέψε δ' αἰχμὰν Ἀμφιτρύ-

αὐτοῦ τὴν κεφαλήν· προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς καὶ τῆς ὀργῆς νικησάσης τὸν δέοντα λογισμὸν ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησὶν

Εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται
Κάρηνα Τηδεὺς γένυσι Μελανίππου σπάσας.

Τετρωμένῳ οὖν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ οὐκ ἀπήλαυσε τῆς δωρεᾶς ἔτι διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν· εἶτα ὡς αὐτὸς οὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι· οὐκ ἔστι παρὰ τοῖς ἱστορικοῖς εὑρέσθαι αὐτοῦ τὸν θάνατον» Π. Σ.

— Στ. 14-16. Γαῖα . . . νέφος] «Καὶ ὁ Ἀμφιάραος Ἀργεῖος. Ὁ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ καταχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι, καὶ ἐποίησεν αὐτὸν ἀθάνατον· ἀφ' οὗ δὴ μέχρι νῦν τὸ τοῦ Ἀμφιαράου μαντεῖον εὐδοξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος» Π. Σ. — γαῖα κεραυνωθεῖσα ὑπέδεκτο]

ὅρα καὶ Νεμ. Θ.' 57. κ. ἑξῆς. — πολέμοιο νέφος] Ἐν Ὀλ. ΣΤ.' 29. καλεῖ αὐτὸν ἀγαθὸν δουρὶ μάρνασθαι. Ἡ δὲ μεταφορὰ ἐνταῦθά ἐστι «τὸν Ἀμφιάραον ἐν πολέμῳ ἐπιπίπτοντα φεύγουσιν οἱ ἐχθροί, ὥσπερ ἐν χειμῶνι τὸ ἐκρηγνύμενον νέφος φεύγουσιν οἱ ἄνθρωποι».

— Στ. 18. ἀριστεύει] τὸ Ἄργος.

— Στ. 19-20. πάλαι Ζεὺς . . . λόγον] «Ὁ Ζεύς, ὃς ἐπ' Ἀλκμήνην καὶ Δανάην Ἀργείας οὔσας ἀφίκετο, καταφανὲς ἐποίησε τοῦτο, ὅτι τὸ Ἄργος ἀριστεύει καὶ γυναιξίν». Ἀναφέρει δὲ τὰς δύο ταύτας γυναῖκας· διότι ἡ μὲν Δανάη ἡ θυγάτηρ τοῦ Ἀκρισίου ἐκ τοῦ Διὸς ἐγέννησε τὸν ἥρωα Περσέα, οὗ πρώτου τῶν λοιπῶν Ἀργείων ἡρώων καὶ βασιλέων ἐμνήσθη. Ἡ δὲ Ἀλκμήνη ἡ ἔκγονος τοῦ Περσέως ἐγέννησε τὸν Ἡρακλέα.

— Στ. 21-22. πατρὶ . . . δίκᾳ] Ἐπανέρχεται εἰς τὴν διήγησιν τῶν ἡρώων βασιλέων τοῦ Ἄργους· «τῷ πατρὶ τοῦ Ἀδράστου Ταλαῷ καὶ τῷ προπάππῳ αὐτοῦ Λυγκεῖ ὁ Ζεὺς ἔδωκε φρόνησιν συνηρμοσμένην τῇ δικαιοσύνῃ». Λυγκεύς, ὁ διασωθεὶς ὑπὸ τῆς Ὑπερμνήστρας καὶ γενόμενος ὕστερον σύζυγος αὐτῆς τῇ θελήσει τοῦ Δαναοῦ καὶ διάδοχος τῆς βασιλείας τοῦ Ἄργους, ἅπαντα δήπου ταῦτα φρονήσει καὶ δικαιοσύνῃ κατώρθωσεν· ὁ δὲ Ταλαὸς ὁ υἱὸς τοῦ ἐκ Πύλου Βίαντος γενόμενος σύζυγος τῆς Λυσιμάχης τῆς θυγατρὸς τοῦ Ἄβαντος υἱοῦ τοῦ Λυγκέως καὶ διαδεξάμενος τὴν βασιλείαν τοῦ πενθεροῦ, κατὰ ταῦτα ἐγένετο ὅμοιος τῷ Λυγκεῖ. Ταύτην λοιπὸν τὴν ὁμοιότητα ἐνιδὼν ὁ Πίνδαρος ἐμνημόνευσεν ἀμφοτέρων ὁμοῦ ἀποδοὺς αὐτοῖς τὰς αὐτὰς ἀρετάς.

— Στ. 23. αἰχμὰν Ἀμφιτρύωνος] ὡς βίη Ἡρακλέους, ἀντὶ τοῦ «τὸν αἰχμητὴν Ἀμφιτρύωνα». Καλῶς δὲ ἔχει ἔθρεψεν ὁ Ζεὺς τὸν Ἀμφιτρύωνα· διότι ἦν ἔκγονος τοῦ Περσέως τοῦ υἱοῦ τοῦ Διός.

ωνος. ὁ δ' ὄλβῳ φέρτατος
Ἵκετ' ἐς κείνου γενεάν.
Ἐπεὶ ἐν χαλκέοις ὅπλοις
Τηλεβόας ἔναρέν, οἱ
Ὄψιν ἐειδόμενος
Ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν,
Σπέρμ' ἀδείμαντον φέρων
Ἡρακλέος· οὗ κατ' Ὄλυμπον
Ἄλοχος Ἥβα τελείᾳ
Παρὰ ματέρι βαίνοι-

— Στ. 24-25. ὁ δ' ὄλβῳ . . . γενεάν] «ὁ δὲ τὴν εὐδαιμονίαν φέρτατος Ἡρακλῆς ἐμίγη τῷ γένει τοῦ Ἀμφιτρύωνος». — ὁ ὄλβῳ φέρτατος] λέγει φέρτατον ὄλβῳ τὸν Ἡρακλέα. Τίς δέ ἐστιν οὗτος ὁ ὄλβος; αὐτὸς ὁ ποιητὴς ἐπεξηγεῖται παρακατιὼν λέγων οὗ κατ' Ὄλυμπον . . . καλλίστα θεῶν. — ἵκετ' ἐς κείνου γενεάν] «ἦλθεν εἰς τὸ γένος ἐκείνου τοῦ Ἀμφιτρύωνος» ἤτοι ἡνώθη ἐν τῇ γαστρὶ τῆς Ἀλκμήνης μετὰ τοῦ υἱοῦ τοῦ Ἀμφιτρύωνος, Ἰφικλέους καὶ ἐγένετο ἀδελφὸς αὐτοῦ.

— Στ. 26-34. Ἐπεὶ ἐν χαλκέοις . . . θεῶν] Ἐνταῦθα λέγει πῶς ἵκετο ὁ Ἡρακλῆς εἰς τὴν γενεὰν τοῦ Ἀμφιτρύωνος, καὶ διὰ τί ὁ Ἡρακλῆς ἐστι φέρτατος ὄλβῳ. «Ἀφ' οὗ ὁ Ἀμφιτρύων κατεπολέμησε τοὺς Τηλεβόας, τότε ὁ βασιλεὺς τῶν Ἀθανάτων ὁμοιωθεὶς τὴν ὄψιν ἐκείνῳ εἰσῆλθεν εἰς τὸν οἶκον ἐπὶ τὴν Ἀλκμήνην καὶ ἔσπειρε τὸν Ἡρακλέα, οὗ ἡ σύζυγος Ἥβη, ἡ καλλίστη τῶν θεῶν, ἐστιν ἡ θυγάτηρ τῆς Ἥρας». — ἐπεὶ ἔναρε Τηλεβόας] «ὅτε ἤδη ἐτελείωσε τὸν πρὸς Τηλεβόας πόλεμον καὶ περιεμένετο ὑπὸ τῆς Ἀλκμήνης ὁ Ἀμφιτρύων». Βούλεται νὰ σημάνῃ τὴν ἀρετὴν καὶ πίστιν

πρὸς τὸν Ἀμφιτρύωνα τῆς Ἀλκμήνης, ἥτις, εἰ ὁ Ζεὺς ἤρχετο πρὸ τοῦ τέλους τοῦ πολέμου, μὴ περιμένουσα τὸν Ἀμφιτρύωνα, ἠδύνατο νὰ ὑποπτεύσῃ, ὅτι οὐκ ἦν ὁ αὐτῆς σύζυγος, καίτοι ὅμοιος ἦν· ἔτι δὲ καταφανεστέρα γίνεται ἡ αἰτία, δι' ἣν ἦλθεν ὁ Ζεὺς ἐπὶ τὴν Ἀλκμήνην, ὅτε ἐτελείωσεν ὁ πόλεμος, ἐὰν ὑποτεθῇ βέβαιον, ὅπερ λέγει ὁ Π. Σ. «ἆθλον γὰρ ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσαντι»· διότι κατὰ τὴν μαρτυρίαν τοῦ Π. Σ. ταύτην, εἰ ὁ Ζεὺς ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι, ἢ καὶ αὐτὸς ὁ Ἀμφιτρύων ἤρχετο πρὸ τοῦ τέλους τοῦ πολέμου, ἡ Ἀλκμήνη οὐκ ἐδέχετο εἰς συνουσίαν. — οἱ ἐειδόμενος] ὁμοιωθεὶς αὐτῷ, τῷ Ἀμφιτρύωνι. — αὐλὰν] «εἰς αὐλὴν, εἰς τὸν οἶκον τῆς Ἀλκμήνης». — ἀδείμαντον] «ἀδείμαντον ἔφη τὸ σπέρμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέους γένεσιν καταβαλεῖν ὁ Ζεύς, ὅ ἐστιν ἄφοβον· ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄφοβος Ἡρακλῆς» Π. Σ. — οὗ κατ' Ὄλυμπον . . . θεῶν] αὕτη ἐστὶν ἡ περιγραφὴ τοῦ ὄλβου, ᾧ ἐστιν ὁ Ἡρακλῆς φέρτατος· ὃν ὄλβον ἐκτενέστερον περιγράφει ἐν Ἰσθμ. Δ.' 99-103. Νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον ἀμφέπων ναίει. κ. τ. λ. «οὗ τινος Ἡρακλέους ἡ γαμετὴ Ἥβη παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ προϊοῦσα κατ' Ὄλυμπον πορεύεται τῶν θεῶν ἐκπρεπεστάτη· λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν, καὶ Αἰσχύλος

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ·

ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία· ἔστι δὲ ὁ γάμος τέλος διὰ τὸ τελειότητα βίου κατασκευάζειν» Π. Σ. ἡ σύνταξις «οὗ (ἡ) ἄλοχος Ἥβη βαίνοισ' ἔστι (βαίνει) κατ' Ὄλυμπον παρὰ Τελείᾳ μητέρι, καλλίστα θεῶν». — Τελείᾳ παρὰ ματέρι] «ἤγουν τῇ Ἥρᾳ. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (στ. 982-5)

Ἥραν τε τὴν Τελείαν
Μέλψωμεν, ὥσπερ εἰκός·

σ᾽ ἔστι, καλλίστα θεῶν.

Σ. β΄. Κ. ιά.

Βραχύ μοι στόμα πάντ᾽ ἀνα-
γήσασθ᾽, ὅσων Ἀργεῖον ἔχει τέμενος
Μοῖραν ἐσθλῶν· ἔστι δὲ καὶ κόρος ἀν-
θρώπων βαρὺς ἀντιάσαι.
Ἀλλ᾽ ὅμως εὔχορδον ἔγειρε λύραν,
Καὶ παλαισμάτων λάβε φρον-
τίδ᾽. Ἀγών τοι χάλκεος
Δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥ-
ρας ἀέθλων τε κρίσιν·

Ἡ πᾶσι τοῖς χωροῖσιν ἐμπαίζει τε καὶ κλῆδας γάμου φυλάττει· ἤγουν ἡ γαμηλία» Πατμ. Σχ. — βαίνοισ᾽ ἔστι] ἴσον τῷ ἁπλῷ «βαίνει».

— Στ. 35-38. Βραχύ μοι . . . ἀντιάσαι] «ἥττηταί μοι, φησί, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους καλά· ἔτι δὲ καὶ ὁ φθόνος τῶν ἀνθρώπων βαρὺς πρὸς ἐναντίωσιν· οὐχ ἡδέως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνθρωποι, ἀλλ᾽ εὐθὺς κόρον ἴσχουσι τῶν ἐπαίνων» Π. Σ. — βραχύ μοι στόμα ἀναγήσασθαι] «Βραχεῖά μοί ἐστιν ἡ φωνὴ καὶ ἡ ποιητικὴ δύναμις νὰ διηγήσωμαι». — Ἀργεῖον τέμενος] Ἢ θεοποιεῖ τοὺς βασιλεῖς καὶ ἥρωας τοῦ Ἄργους· διὸ καλεῖ τὴν πόλιν τέμενος αὐτῶν ὡς θεῶν· ἢ θεωρεῖ ἅπασαν τὴν πόλιν ὡς

στ. 42. Τοῦ μέτρου ἕνεκα διώρθωσεν ὁ Pauwius εἰς ποτὶ βουθυσίαν· τὸ δὲ ὀρθὸν τῆς διορθώσεως ἐπικυροῦται καὶ ἐκ δύο χειρογράφων. Ταύτην λοιπὸν τὴν γραφὴν καὶ ἐγὼ παρεδεξάμην, καίτοι ἡ κοινὴ γραφή ἐστι ποτὶ θυσίαν.

τέμενος τῆς Ἥρας. — ἔστι δὲ καὶ κόρος βαρὺς ἀντιάσαι] «ἐκτὸς δὲ τούτου, ἀλλὰ καὶ ὁ ἐκ τῆς διηγήσεως τοσούτῳ μεγάλων ἀγαθῶν κόρος καὶ φθόνος τῶν ἀνθρώπων ἐστὶ βαρὺς, ὥστε νὰ ἀντισταθῇ τις πρὸς αὐτόν». — ἀντιάσαι] «βαρὺς ὥστε ἀντιάσαι τινὰ αὐτῷ, τῷ φθόνῳ».

— Στ. 39-40. Ἀλλ' ὅμως . . . λάβε φροντίδ'] «πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος· ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε καὶ ἐπαίνει τὸν παλαιστήν» Π. Σ. — ἀλλ' ὅμως] Ταύτην τὴν ἔμφασιν ἔχουσι ταῦτα τὰ ἐναντιωματικὰ «καίτοι τὰ παλαίσματά εἰσιν ἓν τῶν ἀγαθῶν τῆς πόλεως, ἃ ποιοῦσι κόρον καὶ φθόνον, ἀλλ' ὅμως ἔγειρε. — καὶ παλαισμάτων] «οὐ μόνον τῶν ἄλλων ἐσθλῶν, ὧν ἔχει μοῖραν (μετέχει) τὸ Ἄργος, ἀλλὰ καὶ παλαισμάτων. Λέγει δὲ παλαισμάτων πληθυντικῶς, διότι δὶς ἐνίκησεν ὁ Θειαῖος ἐν τῇ αὐτοῦ πατρίδι καὶ ἀλλαχοῦ πολλάκις, ὡς διηγήσεται ἐν τοῖς ἑπομένοις.

— Στ. 41-45. ἀγών τοι . . . πόνων] ἐνταῦθα ἡ λύρα οἷον δὴ Μοῦσα προοιμιάζεται ἐκ τῆς ἐν Ἄργει τελετῆς τῶν ἀγώνων, ἵνα ἄρξηται τῆς διηγήσεως τῶν νικῶν τοῦ Θειαίου. «Τελεῖται ἀγὼν, οὗ τὸ βραβεῖόν ἐστι χαλκῆ ἀσπὶς, ὃς παροτρύνει καὶ παρορμᾷ τὸν δῆμον τῶν Ἀργείων εἰς θυσίαν τῇ Ἥρᾳ ἑκατὸν βοῶν καὶ εἰς κρίσιν τῆς νίκης, ὅπου ὁ παῖς τοῦ Οὐλία Θειαῖος δὶς νικήσας ἔσχε λήθην τῶν πόνων, οἳ ἤνεγκον αὐτῷ τὴν νίκην»· ἐν ὀλίγαις λέξεσι καὶ ἄνευ ποιητικοῦ κόσμου «ἐν ταῖς ἑορταῖς τῶν Ἡραίων, ἢ Ἑκατομβαίων, ταῖς τελουμέναις ἐν Ἄργει δὶς ἐνίκησεν ὁ Θειαῖος». — ἀγὼν ὀτρύνει] οὐχὶ νῦν, ὅτε τελεῖται ὁ κῶμος, ὡς κακῶς τις ἐκλαμβάνει, ἀλλὰ «ἀνὰ πᾶσαν πενταετίαν». — χάλκεος «χάλκεόν φησι τὸν ἀγῶνα, τουτέστιν ἰσχυρὸν, ἢ ὅτι χαλκοῦν ὅπλον τὸ ἔπαθλον» Π. Σ. — ποτὶ ἀέθλων κρίσιν] «πρὸς τὸ δικάσαι, τίς ἐνίκησεν». — εὐφόρων

Οὐλία παῖς ἔνθα νικάσαις δὶς, ἔ-
σχεν Θειαῖος εὐφόρων λάθαν πόνων.

Ἀ. β΄. Κ. ιά.

Ἐκράτησε δὲ καί ποθ' Ἕλ-
λανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν,
Καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον
Μοίσαισί τ' ἔδωκ' ἀρόσαι,
Τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχὼν,
Τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις
Ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὲν ἔραται φρενὶ, σιγᾷ.

πόνων] «καρποφόρων πόνων, ὧν ὁ καρπός ἐστιν ἡ νίκη».

— Στ. 46-52. Ἐκράτησε δὲ . . . νόμῳ] «ἐνίκησε δέ ποτε καὶ ἐν Πυθῶνι τοὺς ἀνταγωνιστὰς, καὶ εἰς Ἰσθμὸν καὶ Νεμέαν σὺν ἀγαθῇ τύχῃ ἐλθὼν ἔλαβε τὸν στέφανον καὶ ἔδωκε ταῖς Μούσαις νὰ ὑμνήσωσι, τρὶς μὲν Ἰσθμοῖ τυχὼν τῆς νίκης, τρὶς δὲ καὶ ἐν τοῖς σεμνοῖς πεδίοις τῆς Νεμέας κατὰ τὸν νόμον τοῦ Ἀδράστου ἐν Νεμέᾳ ἀγωνισάμενος». — ἐκράτησε . . . Πυθῶνι] ἡ σύνταξις «ἐκράτησε δέ ποτε καὶ Πυθῶνι Ἕλληνα στρατόν». Ὁ σύνδεσμος καὶ σημαίνει «οὐ μόνον ἐν Ἄργει ἐνίκησε δὶς, ἀλλὰ καὶ Πυθῶνι ἐκράτησεν Ἕλληνα στρατόν». Τὸ δὲ Ἕλληνα στρατὸν ἴσον τῷ «Πανελλήνιον ἀγῶνα» κατ' ἀντίθεσιν πρὸς τὸν ἐν Ἄργει ἀγῶνα, ὃς οὐκ ἦν Πανελλήνιος. — Ἕλλανα στρατὸν] καλεῖ

στ. 44. Ἀλία ἐν ἐνὶ χειρογραφ. καὶ τῇ Ἀλδίνῃ ἐκδόσει, ὅπου καὶ ἡ ἐπιγραφὴ τῆς ᾠδῆς ἐστι Παιδὶ Ἠλίου.

στ. 53. τῶν μὰν, τῶν μέν γ' διορθώσεις. Ἡ κοινὴ γραφή ἐστιν, ἣν παρελάβομεν· διότι καὶ τὸ μὲν δύναται νὰ θεωρηθῇ θέσει μακρὸν διὰ τὸ ὑγρὸν ν.

οὕτως τοὺς ἀγωνιζομένους. Οὕτω καὶ ἐν Πυθ. ΙΑ.' 75. Ἑ λ λ η ν ί δ α σ τ ρ α τ ι ὰ ν ἐκάλεσε τοὺς ἀγωνιζομένους. Καὶ ἐν μὲν τοῖς Πανελληνίοις ἀγῶσι δύναται νὰ εἴπῃ τοὺς ἀγωνιζομένους Ἕλληνα στρατὸν, ὡς ἀγωνιζόμενον δηλονότι εἰς τιμὴν καὶ δόξαν ἁπάσης τῆς Ἑλλάδος, ἢ ὡς πεμπόμενον τρόπον τινὰ ἐξ ἁπάσης τῆς Ἑλλάδος· τοὺς δὲ ἀγωνιζομένους ἐν ἰδίᾳ πανηγύρει πόλεώς τινος, ὡς π. χ. ἐν τοῖς Ἡραίοις τῶν Ἀργείων, οὐ δύναται νὰ εἴπῃ Ἕλληνα στρατόν. — τύχᾳ τε . . . στέφανον] «καὶ σὺν τύχῃ ἀγαθῇ ἐλθὼν ἐκράτησε (ἔλαβεν) ἔτι καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον». Προσέθηκεν ἐνταῦθα τὸ τ ύ χ ῃ μ ο λ ὼ ν· διότι τρὶς ἐνίκησεν Ἰσθμοῖ καὶ τρὶς ἐν Νεμέᾳ· ὅθεν τὸ μέγεθος τῆς εὐτυχίας ταύτης οὐ παραβάλλεται πρὸς τὴν ἐν Πυθῶνι εὐτυχίαν. — στέφανον] Διὰ τὸ ποικίλον ἔθετο τὴν λέξιν ταύτην· διότι «ἐκράτησε Ἕλληνα στρατὸν» καὶ «ἐκράτησε στέφανον» ταὐτόν ἐστιν. — Μοίσαισι . . . ἀρόσαι] «καὶ ἔδωκε ταῖς Μούσαις τὰς νίκας (τοὺς στεφάνους) ταύτας ὡς γῆν εὔκαρπον, ἵνα καλλιεργήσωσι καὶ σπείρωσι ὕμνους καὶ δόξαν καὶ πάντα τὰ πρὸς ἔπαινον ἀγαθά». — ἐν πόντου πύλαισι] «πόντου πύλας εἶπε τὸν Ἰσθμὸν διὰ τὸ στενόν» Π. Σ. — λαχὼν] κληρωθείς· διότι διὰ κλήρου ἐσχηματίζοντο τὰ ζεύγη τῶν παλαιόντων. Εἶπε δὲ «λαχὼν» συνεκδοχικῶς ἀντὶ τοῦ «νικήσας». — ἐν σεμνοῖς δαπέδοις] ἐννοεῖται εὐκόλως, ὅτι καλεῖ σεμνὰ δάπεδα τὴν Νεμέαν ἐκ τοῦ «Ἀδραστείῳ νόμῳ». — Ἀδραστείῳ νόμῳ] λαχὼν καὶ ἀγωνισάμενος κατὰ τὸν νόμον, καθ' ὃν διέταξεν ὁ Ἄδραστος (ὁ μετὰ τῶν λοιπῶν ἡγεμόνων τῶν ἐπὶ Θήβας στρατευσάντων συστήσας τὰ Νέμεα) νὰ γίνωνται ἐν Νεμέᾳ ὅλα τὰ ἀγωνίσματα.

— Στ. 53-61. Ζεῦ πάτερ . . . Ἡρακλέους τεθμόν] Ὁ τοσάκις, νικήσας ἐν τοῖς τρισὶ πανελληνίοις ἀγῶσι Θειαῖος ἑπόμενόν ἐστι νὰ ἐπιθυμῇ καὶ νὰ παρασκευάζηται νὰ πειραθῇ ἀγῶνος καὶ ἐν Ὀλυμπίᾳ. Εὐκαί-

Οἱ στόμα. πᾶν δὲ τέλος
Ἐν τὶν ἔργων· οὐδ᾿ ἀμόχθῳ καρδίᾳ
Προσφέρων τόλμαν παραιτεῖται χάριν.

Ἐ. β'. Κ. ιβ'.

Γνώτ᾿ ἀείδω θεῷ τε καὶ
Ὅστις ἁμιλλᾶται περὶ
Ἐσχάτων ἀέθλων κορυφαῖς.
Ὕπατον δ᾿ ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν. Ἁδεῖ-
αί γε μὲν ἀμβολάδαν

ρως λοιπὸν ἐπικαλεῖται ἐνταῦθα τὸν Δία νὰ ἐκτελέσῃ τὴν ἐπιθυμίαν αὐτοῦ· «ὧν μὲν ἔτι ἐπιθυμεῖ ὁ Θειαῖος νὰ τύχῃ (ἤτοι νίκης ἐν Ὀλυμπίᾳ), ταῦτα κρύπτει ἐν τῇ διανοίᾳ, φοβούμενος ἀποτυχίαν· παντὸς ὅμως ἔργου ἡ ἐκτέλεσις ἐν σοί, ὦ Ζεῦ, κεῖται· οὐκ ἔχει ὁ Θειαῖος ψυχὴν μὴ ἀγαπῶσαν τοὺς μόχθους, οὐδὲ ἄτολμός ἐστι· καὶ φιλοπονίαν λοιπὸν ἔχων καὶ τόλμην μετα δεήσεων αἰτεῖ παρὰ σοῦ, ὦ Ζεῦ, ταύτην τὴν χάριν. Ἡ δὲ δέησις αὕτη οὐδενὶ ἑτέρῳ ἐστὶ γνωστή, εἰμὴ μόνον σοὶ τῷ θεῷ καὶ τῷ ἁμιλλωμένῳ περὶ τῶν ἐσχάτων καὶ κορυφαίων ἄθλων. Ὕψιστον δὲ ἀγῶνα, οὗ τὰ ἆθλά εἰσι κορυφαιότατα, ἔσχεν ἡ Πίσα τὸν συστάντα ὑφ᾿ Ἡρακλέους». — τῶν μὰν . . . στόμα] δικαίως ὑποτίθησιν ὁ ποιητής, ὅτι ὁ Θειαῖος ὁ τοσοῦτον καὶ ἐν τοσούτοις ἀγῶσιν ἐπιτυχὼν ἐπιθυμεῖ νὰ πειραθῇ τῆς τύχης καὶ ἐν Ὀλυμπίᾳ, καίτοι οὐδενὶ ἐκφράζει τοιαύτην ἐπιθυμίαν, φοβούμενος

στ. 57-58. Ἡ κοινὴ γραφὴ θεῷ τε (58) χὤστις. Ἐν δυσὶ χειρογρ. ἀντὶ τοῦ χὤστις ἐστὶ καὶ ὅστις. Παρέλαβον λοιπὸν ταύτην τὴν γραφήν, ἣ καὶ πρὸς τὸ μέτρον καὶ πρὸς τὴν ἔννοιαν κάλλιστα ἔχει. Αἱ δύο συλλαβαὶ τῆς λέξεως θεῷ συνιζάνουσιν. Ἡ τοῦ Hermanni διόρθωσις γνωτὰ Θειαίῳ τε καὶ (58) ὅστις πρὸς μὲν τὸ μέτρον ἔχει καλῶς, πρὸς τὴν ἔννοιαν δ᾿ οὔ.

μὴ οὐκ ἐκτελέσῃ τὸν σκοπόν. — σιγᾷ οἱ στόμα] «τὸ στόμα αὐτοῦ σιγᾷ, τοῖς πᾶσιν ἀποκρύπτει ταῦτα». — πὰν . . . ἔργων] «ἀλλὰ σὺ, ὦ Ζεῦ, ἐν ᾧ κεῖται ἡ ἐκτέλεσις παντὸς ἔργου, γινώσκεις ταῦτα, καὶ εἴθε ἐκτελέσοις». — οὐδ' ἀμόχθῳ . . . χάριν] ἡ σύνταξις «προσφέρων δὲ τόλμην οὐκ ἀμόχθῳ καρδίᾳ παραιτεῖται χάριν» ἤτοι «προσφέρων δὲ τόλμην ψυχῇ οὐκ ἀμόχθῳ παραιτεῖται (αἰτεῖ παρὰ σοῦ διὰ δεήσεων) χάριν». — οὐδ' ἀμόχθῳ καρδίᾳ] δοτικὴ συντακτικὴ τῷ π ρ ο σ φ έ ρ ω ν · ἤτοι προσφέρων εἰς τὴν ἑαυτοῦ καρδίαν, ἥ ἐστιν οὐκ ἄνευ μόχθων καὶ ἥ ἐστι γεγυμνασμένη εἰς τοὺς ὑπὲρ τῆς νίκης μόχθους. Συναπτέα δ' ἔτι ἡ δοτικὴ αὕτη καὶ τῷ π α ρ α ι τ ε ῖ τ α ι, ἵνα ᾖ «παρακαλεῖ μετὰ ψυχῆς οὐκ ἀμόχθου». — γνώτ' ἀείδω . . . ἁμιλλᾶται] «αὐτὰ, ἃ ᾄδω περὶ τῆς ἐπιθυμίας καὶ δεήσεως τοῦ Θειαίου, γινώσκει μόνος ὁ θεὸς, ὃς παρακαλεῖται, καὶ ὁ Θειαῖος, ὃς ἁμιλλᾶται. — περὶ κορυφαῖς] ἀντὶ τοῦ «περὶ κορυφῶν»· ἔσχατα, ἤτοι ἀνώτατα ἆθλά εἰσιν οἱ τέσσαρες πανελλήνιοι ἀγῶνες· κορυφὴ δὲ αὐτῶν ἐστιν ὁ Ὀλυμπιακὸς ἀγών· νικήσας λοιπὸν ὁ Θειαῖος τοὺς τρεῖς, ἑπόμενόν ἐστιν νὰ ἁμιλλᾶται καὶ ἐπιθυμῇ καὶ τῆς κορυφῆς. — ἐσχάτων] «καὶ γὰρ τὸ πρῶτον ἔσχατόν ποτε δύναται γενέσθαι καὶ τὸ ἔσχατον πρῶτον· κέχρηται δὲ καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου·

Ἤ δ η γ ὰ ρ ἕ δ ρ α Ζ ε ὺ ς, «φ η σ ὶ ν» ἐ ν ἐ σ χ ά τ ῳ θ ε ῶ ν,

ἀντὶ τοῦ ἐν πρώτῳ» Π. Σ. — Ὕπατον . . . τεθμὸν] ἡ ἀνάπτυξις τῆς προτάσεως ταύτης οὕτω πως δύναται νὰ γένηται «Ὕπατος δὲ τεθμὸς (σύστασις ἀγῶνος) ἐστὶν ὁ τοῦ Ἡρακλέους, ὃν ἔσχεν (ἔχει) ἡ Πίσα»· ὅπερ ἐστὶν ἴσον τῷ «τὰς δὲ κορυφὰς τῶν ἄθλων ἔχει ἡ Πίσα».

— Στ. 62-68. Ἁδεῖαι . . . παμποικίλοις] Τελειώσας τὴν εὐχὴν ὑπὲρ τοῦ ἀγωνίσασθαι ἔτι τὸν Θειαῖον καὶ ἐν Ὀλυμπίᾳ καὶ τυχεῖν τῆς νίκης, ἐπανέρχεται ἤδη

Ἐν τελεταῖς δὶς Ἀθαναίων μιν ὀμφαὶ
Κώμασαν. γαίᾳ δὲ καυ-
θείσᾳ πυρὶ καρπὸς ἐλαίας
Ἔμολεν Ἥρας τὸν εὐά-
νορα λαὸν, ἐν ἀγγέων
Ἕρκεσιν παμποικίλοις.

Σ. γ'. Κ. ιά.

Ἕπεται δὲ, Θειαῖε, μα-
τρώων πολύγνωτον γένος ὑμετέρων,
Εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ
Σὺν Τυνδαρίδαις θαμάκις.

εἰς τὴν διήγησιν καὶ τῶν ἄλλων νικῶν· «δὶς δὲ ἐνίκησεν ἐν τοῖς Παναθηναίοις καὶ δὶς ἐκόμισεν εἰς τὸ Ἄργος τὸ ἔπαθλον, ὅπερ ἐστὶ ὑδρία πεποικιλμένη πλήρης ἐλαίου». — ἄδεῖαι ὀμφαὶ κώμασάν μιν ἀμβολάδαν] «ἡδεῖαι εὐφημίαι ἀνατεταμένῃ τῇ φωνῇ δὶς ἐκώμασαν καὶ ὕμνησαν αὐτὸν νικήσαντα». — ἀμβολάδαν] ἀναβολάδην «τουτέστιν ἀνατεταμένως τῇ φώνῇ καὶ λαμπρῶς» Π. Σ. — ἐν τελεταῖς Ἀθηναίων] ἐν τοῖς Παναθηναίοις· «ὅστις δὶς ἐνίκησε τὰ Παναθήναια». Π. Σ. — γαίᾳ . . . ἔμολεν] «γαίαν κεκαυμένην εἶπε τὴν ὑδρίαν, ἐν ᾗ ὁ καρπὸς τῆς ἐλαίας, τὸ ἔλαιον ἔμολεν· ὀπτᾶται γὰρ ὁ κέραμος· φησὶν

στ. 67. ἀγγέων· αἱ συλλαβαὶ γέων συνιζάνουσιν.

στ. 69-72. Καὶ Pauwius συντάττει τὸ χωρίον, ὡς ἐγώ· δηλονότι θεωρεῖ ὑποκείμενον τοῦ ἕπεται τὸ γένος στίζων μετὰ τὸ ὑμετέρων· τῇ λέξει ὅμως οὐκ ἀποδίδωσι τὴν σημασίαν τοῦ «ἁρμόζει» ἀλλὰ ἑρμηνεύει «ἕπεται τῇ διηγήσει τῶν σῶν ἐπαίνων τὸ γένος τῶν σῶν ματρώων, ἡ εὐάγων τιμὴ αὐτοῦ». Ὁ δὲ Mingarelli παραδέχεται μὲν τὴν σύνταξιν τοῦ Pauwii, ἀποδίδωσιν ὅμως τῷ «ἕπεται» τὴν σημασίαν τοῦ «ἁρμόζει» τὴν παρὰ Πινδάρῳ συχνοτάτην. Ἡ πρόθεσις σὺν «σὺν Τυνδαρίδαις» ὀρθῶς προσετέθη ἐκ διορθώσεως.

οὖν τὴν ὑδρίαν πλήρη ἐλαίου κεκομικέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θειαῖον νικήσαντα· τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίου πλήρης· διὸ καὶ Καλλίμαχος

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ στέγος ἱερὸν ἧνται
Κάλπιδες, οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης» Π. Σ.

— Ἥρας τὸν εὐάνορα λαόν] «ἦλθεν εἰς Ἄργος, τὴν αὐτοῦ πατρίδα». — ἐν ἀγγέων ἕρκεσι παμποικίλοις] ἐπεξήγησις τοῦ γαίᾳ καυθείσᾳ πυρὶ οὕτως «ἐν γαίᾳ καυθεῖσᾳ πυρί, δηλονότι ἐν παμποικίλοις ἕρκεσιν ἀγγέων»· ποικίλοις δὲ διότι αἱ ὑδρίαι ἦσαν ἐζωγραφημέναι. Ἕτερος δὲ τῶν Π. Σ. μαρτυρεῖ ταῦτα «ἐν ἀμφιφορεῦσι χαλκοῖς ἔλαιον ἐτιμῶντο οἱ ἀγωνιζόμενοι Ἀθήνησι τὰ Παναθήναια, ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ θεός· τὰ δὲ χαλκᾶ ταῦτα ἄγγη ἐκ γῆς καιομένης γίγνεται· ἡ οὖν γῆ καιομένη δίδωσι τὸν χαλκόν, ἐκ δὲ τοῦ χαλκοῦ γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον· ταύτην οὖν φησι τὴν διάνοιαν· τούτοις γὰρ ἐτιμῶντο».

— Στ. 69-75. Ἕπεται δὲ . . . φάος ὀμμάτων] Τελειώσας τὴν διήγησιν τῶν νικῶν τοῦ Θειαίου, ἔρχεται ἤδη καὶ εἰς τὴν διήγησιν τῶν νικῶν τῶν συγγενῶν αὐτοῦ προοιμιαζόμενος διὰ τούτων· «οἱ δὲ συχνῇ τῇ βοηθείᾳ τῶν Χαρίτων καὶ τῶν Τυνδαριδῶν εὐτυχεῖς ἀγῶνες τοῦ ἀριγνώτου γένους τῶν πρὸς μητρὸς προγόνων παρέχουσιν ὦ Θειαῖε, σοί, τῷ μὴ ἧττονι ἐκείνων γενομένῳ τὴν τιμὴν νὰ λέγῃς· ὢν Θρασύκλου καὶ Ἀντίου συγγενής, ἄξιός εἰμι νὰ μὴ κρύπτω τὸ φῶς τῶν ὀμμάτων βαίνων ἐν τοῖς Ἀργείοις. Τὴν ἔννοιαν, ἣν ἐκφράζει (ἐν Νεμ. ΣΤ.' 23-29) περὶ τοῦ Ἀλκιμίδα, τὴν αὐτὴν ἐν ἄλλαις λέξεσιν ἐκφράζει καὶ ἐνταῦθα περὶ τοῦ Θειαίου.

— Ἕπεται ματρώων γένος] «ἕπεταί σοι, ἁρμόζει σοι τὸ γένος τῶν ὑμετέρων μητρώων, οὐκ ἀνάξιος εἶ τοῦ

Ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε ξύγγονος, Ἄρ-
γεϊ μὴ κρύπτειν φάος
Ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις ἱπ-
ποτρόφον ἄστυ τὸ Προί-
τοιο θάλησεν, Κορίνθου τ' ἐν μυχοῖς,
Καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις.

Ἀ. γ'. Κ. ιά.

Σικυωνόθε δ' ἀργυρω-

γένους»· πολλάκις παρὰ Πινδάρῳ τὸ «ἕπεταί τινι» σημαίνει «ἁρμόζει τινί». Τὸ γένος οὐκ ἐστιν αἰτιατικὴ, ὡς νομίζουσιν ἄλλοι ἐννοοῦντες τὴν διὰ, διὰ τὸ γένος· ἀλλ' ἔστιν ὑποκείμενον τοῦ ἕπεται. — εὐάγων τιμά] Ἐπεξηγεῖται, τί ἐννοεῖ διὰ τοῦ «Ἕπεται, Θειαῖε, ματρώων . . . ὑμετέρων»· δηλονότι «ἁρμόζει σοι ἡ τιμὴ τοῦ γένους τούτου, ἣν πολλάκις ἐν εὐτυχέσιν ἀγῶσιν ἐκτήσατο τῇ βοηθείᾳ τῶν Χαρίτων καὶ τῶν Τυνδαριδῶν· διότι καὶ σὺ ἴχνεσιν αὐτῶν σὸν πόδα νέμεις, (ὡς ἐν τῷ ἀνωτέρω μνημονευθέντι χωρίῳ ἐκφράζεται)». Σημαίνει δὲ τὸ «εὐάγων τιμὰ» τιμὴν προελθοῦσαν ἐξ εὐτυχῶν ἀγώνων. — σὺν Χαρίτεσσί τε καὶ Τυνδαρίδαις] συντακτέον τῷ εὐάγων τιμά· δηλονότι «τιμὴ γενομένη τῷ γένει τούτῳ σὺν τῇ βοηθείᾳ τῶν Χαρίτων καὶ τῶν Τυνδαριδῶν». Ἐπειδὴ αἱ Χάριτές εἰσι πάροχοι τῶν τερπνῶν καὶ ἡδέων, διὰ τοῦτό ἀναφέρει ἐνταῦθα αὐτάς· ἴσως δὲ καὶ διότι λατρεύονται ἐν τῷ ναῷ τῆς Ἥρας· οἱ δὲ Τυνδαρίδαι ἐβοήθησαν, διότι ἔσχον ξενίαν πρὸς τοὺς προγόνους τοῦ Θειαίου (ὅρα κατωτέρω στ.

στ. 73-76. Τὰ «Ἀξιωθείην κεν . . . Ὀμμάτων» οὐ λέγονται ἐκ μέρους τοῦ ποιητοῦ, ὡς νομίζουσιν, ἀλλ' ἐκ μέρους τοῦ νικηφόρου, ὡς σεσημειώκαμεν.

91). — θαμάκις] Ἀνάγκη νὰ προσδιορισθῇ ἡ εὐάγων τιμὴ διὰ τοῦ θ α μ ά κ ι ς, ἵνα σημανθῇ, ὅτι ἡ τιμὴ οὐκ ἐξ ἑνὸς ἐγένετο ἀγῶνος, ἀλλ' ἐκ θαμινῶν. — Ἀξιωθείην κεν . . . φάος ὀμμάτων] Ἐνταῦθα ἐγένετο πήδημα παραλειπομένης τοιαύτης τινὸς προτάσεως «ἕπεταί σοι λέγειν» ἤτοι «ἁρμόζει σοι νὰ λέγῃς τὰ ἑξῆς Ἀ ξ ι ω - θ ε ί η ν κ. τ. λ. Ὁ δὲ νοῦς τοῦ χωρίου «τοῦ Θρασύκλου καὶ τοῦ Ἀντίου συγγενὴς ὤν (δύναμαι νὰ ὦ ἄξιος νὰ μὴ κρύπτω) ἐν τῷ Ἄργει τὸ φῶς τῶν ὀμμάτων, τουτέστιν οὐκ ἀπαῤῥησιάστως ὄψομαι, ὡς οὐ νενικηκώς, ἀλλὰ μετὰ παῤῥησίας· νενίκηκα γάρ· ἄξιος οὖν ἂν εἴην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος μηδὲ κατηφὴς εἶναι, Ἀντία τ' ὢν καὶ Θρασύκλου σύγγονος» Π. Σ.

— Στ. 76-90. νικαφορίαις γὰρ . . . σθένει] Ἄρχεται ἤδη τῆς διηγήσεως τῶν νικῶν τῶν ἐκ μητρὸς συγγενῶν τοῦ Θειαίου «πόσαις γὰρ νικηφορίαις αὕτη ἡ πόλις ἡ τοῦ Προίτου οὐκ ἔθαλε τοῦτο μὲν ἐν τῷ Κορινθίῳ Ἰσθμῷ, τοῦτο δὲ ἐν τῇ Νεμέᾳ τετράκις (διὰ τῶν συγγενῶν τοῦ Θειαίου) νικήσασα·] ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τοῦ Θειαίου· ἐκ τῆς Πελλήνης δὲ τὰ Θεοξένια νικῶντες ἀνεχώρησαν χλανίσιν ἐπιτηδειοτάταις κοσμηθέντες· ἀλλὰ τὸ τοῦ χαλκοῦ πλῆθος οὐ δυνατὸν εἰπεῖν ἁπλῶς· μακροτέρας γὰρ δεῖται σχολῆς· ὃν αἵ τε περὶ Κλείτορα καὶ Τεγέαν καὶ αἱ τῶν Ἀχαιῶν πόλεις καὶ τὸ Λύκαιον ἔθηκε παρὰ τῷ τοῦ Διὸς βωμῷ τοῖς δυναμένοις νικῆσαι σὺν ποδῶν δρόμῳ καὶ χειρῶν σθένει, πάλῃ καὶ παγκρατίῳ καὶ πυγμῇ». Π. Σ. — νικαφορίαις ὅσαις] «πόσαις (θαυμαστικῶς) νικηφορίαις διὰ τῶν ἀνδρῶν τούτων, Θρασύκλου καὶ Ἀντίου». Ἐπειδὴ δὲ αἱ ἀριθμούμεναι νῖκαί εἰσι λίαν πολλαὶ ὡς πρὸς δύο ἀθλητάς· φαίνεται, ὅτι ἐχρήσατο συνεκδοχῇ ἀπὸ τοῦ ὅλου τῶν συγγενῶν τὸ μέρος ὀνομάσας, τὸν Θράσυκλον καὶ Ἀντίαν. — Κορίνθου τ' ἐν

θέντες σὺν οἰνηραῖς φιάλαις ἐπέβαν,
Ἐκ δὲ Πελλάνας, ἐπιεσσάμενοι
Νῶτον μαλακαῖσι κρόκαις.
Ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
Ἐξελέγχειν· μακροτέρας
Γὰρ ἀριθμῆσαι σχολᾶς·
Ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν
Ὑψίβατοι πόλιες
Καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ
Σὺν ποδῶν χερῶν τε νικᾶσαι σθένει.

Ἐ. γ. Κ. ιβ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ
Ξεινίαν παρὰ Παμφάη,
Καὶ κασιγνήτου Πολυδεύ-
κεος, οὐ θαῦμα σφίσιν
Ἐγγενὲς ἔμμεν ἀεθλη-
ταῖς ἀγαθοῖσιν· ἐπεί,
Εὐρυχόρου ταμίαι Σπάρτας, ἀγώνων
Μοῖραν, Ἑρμᾷ καὶ σὺν Ἡ-

μυχοῖς] ἀναπλήρωσον «ἅπαξ» οὕτω καὶ ἀνωτέρω (στ. 46-47) καὶ ἀλλαχοῦ ἐν τοιαύτῃ περιπτώσει παραλείπει τὸ «ἅπαξ». — καὶ Κλεωναίων τετράκις] καὶ ἐν τοῖς μυχοῖς τῶν Κλεωναίων, ἤτοι ἐν Νεμέᾳ τετράκις τὸ Ἄργος ὑπὸ τῶν ἀνδρῶν τούτων, τῶν ματρώων τοῦ Θειαίου θάλησεν». Ἐν Νεμ. Δ.' 27. καλεῖ τὸν Νεμεαῖον ἀγῶνα Κλεωναῖον· ὅπου ὅρα τὴν Σημείωσιν. — πρὸς ἀνδρῶν] Πρόσεχε μὴ συνάψῃς «πρὸς Κλεωναίων ἀνδρῶν»· ἀλλὰ σύνταξον «θάλησε πρὸς ἀνδρῶν» ἤτοι «ἤνθησε ὑπὸ τῶν ἀνδρῶν τούτων, Θρασύκλου καὶ Ἀντίου» Τὸ δὲ «καὶ Κλεωναίων» σύνταττε «καὶ ἐν μυχοῖς Κλεω-

ναίων». — Σικυωνόθε] ὅτι ἐτελοῦντο ἐν Σικυῶνι τὰ Πύθια, ὅρα Νεμ. Θ.' εἰσαγωγήν· ὅτι δὲ τὸ βραβεῖον τῆς νίκης ἦν ἀργυραῖ φιάλαι, ὅρα αὐτόθι στ. 21-24. — ἀργυρωθέντες] ἐπειδὴ τὸ βραβεῖον ἦν ἐξ ἀργύρου. — ἐκ δὲ Πελλάνας] παραλάμβανε τὸ ἐπέβησαν, ἐπέβαν· «τίθεται δὲ βραβεῖον ἐν Πελλήνῃ παχέα ἱμάτια ἄγναφα· δυσχείμεροι δὲ οἱ τόποι· περιφραστικῶς δὲ τὴν χλανίδα μαλακὴν κρόκην εἶπεν· ὁ δὲ ἀγὼν Διός· καλεῖται δὲ Δῖïα, ἢ Θεοξένια· λέγεται δὲ, ὅτι καὶ ἐξωμίσιν ἐτιμῶντο» Π. Σ. — ὅν τε Κλείτωρ] ἀντὶ τοῦ «ὃν Κλείτωρ τε» ἀναφέρεται δὲ ἡ ἀντωνυμία ὃν πρὸς τὸν ἐν στ. 84. χαλκόν. — παρ Διὸς] ἤτοι παρὰ τῷ Διὸς, δηλονότι, βωμῷ· «ὡς καὶ τὸ, ἐν Ἅδου, εἰς διδασκάλου» Δούκας. — θῆκε] συμφωνεῖ πρὸς τὸ πλησιέστερον ἀντὶ τοῦ ἔθεσαν. — ἔθηκε νικᾶσαι] «ἔθηκε ὥστε νικῆσαί τινα» ὅπερ ἐστὶν ἴσον τῷ «ἔθηκε τῷ νικήσαντι» ἤτοι «ἵνα λάβῃ αὐτὸν ὁ νικήσας». Ἡ δὲ πρότασις «νικήσαντες δὲ οἱ ἄνδρες οὗτοι ἔλαβον αὐτὸν (τὸν χαλκόν)» παραλείπεται εὐκόλως ἐννοουμένη.

— Στ. 91-99. Κάστορος δὲ . . . θάλειαν] Βούλεται ἤδη νὰ αἰτιολογήσῃ, ὃ εἴρηκεν ἀνωτέρω (στ. 71-72) Εὐάγων τιμᾷ σὺν Τυνδαρίδαις. «Τοῦ δὲ Κάστορος ξενωθέντος παρὰ τῷ Παμφάῃ τῷ προγόνῳ σου, ὦ Θειαῖε, σὺν τῷ ἀδελφῷ Πολυδεύκει, θαυμαστὸν οὐδὲν ἀγαθοὺς καὶ θαυμασίους γενέσθαι τοὺς προγόνους σου ἀγωνιστάς· ἐπόπται γάρ εἰσιν τῶν ἀγώνων οὗτοι» Π. Σ. — οὐ θαῦμα . . . ἀγαθοῖσιν] ἡ σύνταξις «οὐ θαῦμά ἐστιν εἶναι (νὰ ᾖ) ἐγγενὲς σφίσιν (τοῖς σοῖς προγόνοις) ἔμμεν ἀθληταῖς ἀγαθοῖσιν». — ἐπεὶ εὐρυχόρου . . . θάλειαν] «ἐπεὶ οἱ τῆς εὐρυχώρου Σπάρτης ταμίαι καὶ δεσπόται Διόσκουροι σὺν τῷ Ἑρμῇ καὶ Ἡρακλεῖ ἱκανὸν καὶ θαλερὸν μέρος τῶν ἀγώνων διέπουσι καὶ διοικοῦσίν, εἰσι θεοὶ ἐναγώνιοι»· διὸ καὶ ὅτε ὁ Ἡρακλῆς ἀνεχώρει εἰς Ὄλυμπον θεὸς γενόμενος, τοῖς Τυνδα-

ρακλεῖ, διέποντι θάλειαν·
Μάλα μὲν ἀνδρῶν δικαίων
Περικαδόμενοι. καὶ
Μὰν θεῶν πιστὸν γένος·

Ἐ. δ΄. Κ. ιά.

Μεταμειβόμενοι δ' ἐναλ-
λὰξ, ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ
Διῒ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαί-
ας, ἐν γυάλοις Θεράπνας,
Πότμον ἀμπιπλάντες ὁμοῖον. ἐπεὶ
Τοῦτον, ἢ πάμπαν θεὸς ἔμ-
μεναι οἰκεῖν τ' οὐρανῷ,
Εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης
Κάστορος ἐν πολέμῳ.
Τὸν γὰρ Ἴδας, ἀμφὶ βουσίν πως χολω-

ρίδαις ἐπέτρεψε τὴν ἐπιστασίαν καὶ διοίκησιν τῶν Ὀλυμπιακῶν ἀγώνων (ὅρα Ὀλ. Γ.' 64. κ. ἑξῆς). — μοῖραν θάλειαν] «μέρος θάλειον, ἀνθηρὸν, ἀρκετὰ μέγα».

— Στ. 100-101. μάλα μὲν . . . περικαδόμενοι] «θεοὶ μέγα δυνάμενοι ἐν τοῖς ἀγῶσι, μάλα φροντίζοντες τῶν δικαίων ἀνδρῶν, οὐδὲν θαυμαστὸν, εἰ οὗτοι ἐβοήθησαν τοὺς σοὺς συγγενεῖς καὶ σὲ δικαίους ὄντας τοσαύτας νὰ ἄρησθε νίκας». Εἶπε δὲ αὐτοὺς δ ι κ α ί ω ν περικηδομένους· «δοκοῦσι γὰρ ἐπιφαινόμενοι κατὰ τὸ πέλαγος σώζειν τοὺς δικαίους» Π. Σ. ἔτι δὲ καὶ ἵνα ἐπαινέσῃ τοὺς συγγενεῖς τοῦ Θειαίου ὡς δικαίους.

— Στ. 102. καὶ μὰν . . . γένος] «ἔτι δὲ τὸ γένος τῶν θεῶν ἐστι πιστόν»· διὸ καὶ αὐτοὶ πιστοί εἰσι τῇ ξενίᾳ, ἣν ἔσχον πρὸς τὸ γένος ὑμῶν· διὸ βεβαίως τῇ αὐτῶν βοηθείᾳ ἀποδοτέον τὰς νίκας ὑμῶν.

— Στ. 103-111. Μεταμειβόμενοι . . . ἐν πολέμῳ] Ἔρχεται ἤδη νὰ ὑμνήσῃ τοὺς θεοὺς τοὺς ξένους τῷ γένει τοῦ νικηφόρου καὶ προστάτας καὶ αἰτίους τῶν τοσούτων νικῶν· ὅθεν ὁ περὶ τῶν Διοσκούρων οὗτος μῦθος ἔχει σχέσιν πρὸς τοὺς ἐπαίνους τοῦ νικηφόρου πολὺ μείζονα, ἢ ὅσην ἔχουσιν οἱ ἀλεῖπται, οὓς ὑπερεπαινεῖ, ὡς Μελησίας (Νεμ. Δ.' 151. κ. ἑξῆς· καὶ ἀλλαχοῦ), καὶ οἱ ἡνίοχοι. «Μεταλαβόντες δὲ αὐτοὶ οἱ Διόσκουροι καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγουσιν ἐν τῷ οὐρανῷ ὡς θεοί, μίαν δὲ ἐν τοῖς ὑπογυίοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες τύχην· ἐπειδὴ μᾶλλον τοῦτον εἵλετο τὸν αἰῶνα Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτοῦ ἐκ διαδοχῆς θεὸς γενέσθαι καὶ πάλιν ἄνθρωπος, ἢ μόνος ἐν οὐρανῷ θεὸς κατοικεῖν Κάστορος τοῦ ἀδελφοῦ αὐτοῦ φθαρέντος ἐν πολέμῳ» Π. Σ. — μεταμειβόμενοι ἐναλλὰξ] δηλονότι τὰς ἡμέρας· «μεταλλάσσοντες ἑαυτοῖς τὰς ἡμέρας ἐναλλὰξ (τὴν μίαν μὲ τὴν ἄλλην)»· ἑρμηνεύει ὁ Πίνδαρος ταῖς λέξεσι ταύταις τὴν παρ' Ὁμήρῳ (Ὀδ. λ. 302, ὅπερ ἀναφέρει ὁ Π. Σ.) ἑ τ ε ρ ή μ ε ρ ο ι. — ἁμέραν τὰν μὲν παρὰ Διῒ νέμονται] «τὴν μὲν μίαν ἡμέραν διάγουσιν ἀμφότεροι ἐν Οὐρανῷ» (παράβαλ. πρὸς τὸ Πυθ. ΙΑ.' 95). — τὰν δ' ὑπὸ . . . Θεράπνας] νέμονται· «τὴν δὲ ἄλλην ἡμέραν διάγουσιν ὁμοῦ ἀμφότεροι ἐν τοῖς ὑπογυίοις τῆς Θεράπνης»· κ ε ύ θ η ἢ γ ύ α λ α φαίνεται, ὅτι καλεῖ τοὺς Θεράπνη τάφους αὐτῶν, εἰ οὐχὶ τὸ ἐν Θεράπνῃ αὐτῶν ἱερόν· ὅρα Σημ. εἰς Ἰσθμ. Α.' 43. — φθιμένου ἐν πολέμῳ] Ἐν τίνι πολέμῳ ἔφθιτο, ὁ Κάστωρ, αὐτίκα διηγήσεται.

— Στ. 112-113. τὸν γὰρ Ἴδας . . . αἰχμᾷ] «τὸν Κάστορα γὰρ τῆς τῶν βοῶν ἀφαιρέσεως ἕνεκεν ὁ Ἴδας ὀργισθεὶς ὁ Ἀφαρέως παῖς ἔτρωσεν. Ἡ ἱστορία ἐστὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες ἐμνηστεύσαντο τὰς Λευκίππου θυγατέρας Φοίβην καὶ

θεὶς, ἔτρωσεν χαλκέας λόγχας αἰχμᾷ.
Ἀ. δ'. Κ. ιά.
Ἀπὸ Ταϋγέτου πεδαυ-
γάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
Ημενον. κείνου γὰρ ἐπιχθονίων

Ἐλάειραν, κατὰ δὲ τὴν τῶν γάμων εὐωχίαν τοὺς Διοσκούρους εἰς ἑστίασιν ἐκάλεσαν· οἱ δὲ τὰς κόρας ἀφαρπάσαντες ἀπέφευγον, οἱ δὲ ἐπεδίωκον καὶ συνίσταται τοῖς Ἀφαρητιάδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων, καὶ ἀναιρεῖται Κάστωρ· εἶτα Πολυδεύκης ἀνεῖλεν ἀμφοτέρους, συμπράξαντος τοῦ Διὸς καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. Ὁ δὲ Πίνδαρος οὐ διὰ τὰς νύμφας φησὶν αὐτοῖς γεγενῆσθαι τὴν στάσιν, ἀλλὰ διὰ βοῶν ἀπελασίαν· ψυχορραγοῦντος οὖν τοῦ Κάστορος Πολυδεύκης ὢν ἀθάνατος πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν τῇ τῆς φύσεως ἐκνικώμενος ἀνάγκῃ· οὕτως οὖν καὶ Ὅμηρος ἑ τ ε ρ η μ έ ρ ο υ ς καλεῖ» Π. Σ. — πως] οὐχὶ «χολωθείς πως»· ἀλλὰ «ἀμφὶ βουσί πως»· ὅπερ ἐστὶ «διά τινα περὶ βοῶν ἔριδα»· ἐπειδὴ ὁ Πίνδαρος θεοσεβάστατος ὢν φοβεῖται, μὴ εἰπὼν καθαρῶς τὴν αἰτίαν ἁμάρτῃ πρὸς τοὺς θεούς.

— Στ. 114-117. Ἀπὸ Ταϋγέτου . . . ὀξύτατον ὄμμα] «ἀπὸ τοῦ Ταϋγέτου σκοπῶν εἶδεν ὁ Λυγκεὺς αὐτὸν καθήμενον ἐν στελέχει δρυός· διότι τὸ ὄμμα ἐκείνου ἦν ὀξύτατον πάντων ἀνθρώπων». — ἥμενον] Περὶ τῆς γραφῆς ταύτης μέγας γίνεται λόγος παρὰ τοῖς Π. Σ. «Ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥ μ ε ν ο ν, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ· ὁ γὰρ τὰ

στ. 113. ἀ κ μ ᾷ ἀντὶ αἰ χ μ ᾷ διορθοῦσιν ἕνεκα τοῦ μέτρου.
στ. 116. ἡ μ έ ν ω ς ἢ ἡ μ έ ν ο ς (ἀντὶ τοῦ ἡμένους), ἢ ἡ μ έ ν ο υ ς, γραφαί, ὧν οὐδεμία ἁρμόζει τῇ ἐννοίᾳ· ὅθεν παρεδεξάμεθα τὴν διόρθωσιν ἥ μ ε ν ο ν.

Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος κατηκολούθησεν» Π. Σ. Ὁ δὲ τὰ Κύπρια γράψας οὕτω λέγει κατὰ τὸν Π. Σ.

. . . . . Αἶψα δὲ Λυγκεὺς
Ταΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς·
Ἀκρότατον δ' ἀναβάς, διεδέρκετο νῆσον ἅπασαν
Τανταλίδου Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
Εἰν ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα
Νύξε δ' ἄρ' . . . .

Λέγων λοιπὸν ὁ ἐν τῷ Π. Σ. Ἀρίσταρχος «ὅτι ἀξιοῖ γράφειν ἥμενον ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ» τοῦτο ἐννοεῖ, ὅτι ἐνταῦθα (ἐν τούτῳ τῷ χωρίῳ τοῦ Πινδάρου) ὁ λόγος ἐστὶ μόνον περὶ τοῦ Κάστορος· διότι ἔφη ἐν τῷ ἡγουμένῳ κώλῳ τὸν (τὸν Κάστορα) ἔτρωσεν»· ὅθεν ἔχομεν ἀνάγκην ἑνικοῦ ἀριθμοῦ καὶ οὐχὶ πληθυντικοῦ· καὶ ὁ ἑνικὸς ἀριθμὸς οὐκ ἀντιφάσκει πρὸς τὰ Κύπρια, ἃ οὐκ ἀρνοῦνται ὅτι ἦν καὶ ὁ Κάστωρ ἔσω δρυὸς κοίλης. Ὑπὲρ δὲ τῆς γραφῆς ἡμένως ἔρχεται ὁ Δίδυμος λέγων «ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδεν» Π. Σ. Ἡ εἰκασία αὕτη τοῦ Διδύμου ἐστὶν ἄτοπος· διότι ἀδύνατόν ἐστι νὰ ἐννοῇ ὁ Πίνδαρος, ὅτι ἀμφοτέρων ἐν τῷ αὐτῷ ὄντων, ὁ Λυγκεὺς τὸν ἕνα μόνον εἶδε, τὸν δὲ ἕτερον οὔ. Ὁ ἑνικὸς λοιπὸν ἀριθμὸς ἥμενον ἐστὶν, ὃν ἐπιζητεῖ ἥ τε διάνοια τοῦ Πινδάρου, καὶ ὁ ἀναγνώστης. Ἔστι λοιπὸν ἡ διάνοια τοῦ Πινδάρου αὕτη. Ὁ

Πάντων γένετ᾽ ὀξύτατον
Ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
Ἐξικέσθαν, καὶ μέγα ἔρ-
γον ἐμήσαντ᾽ ὠκέως,
Καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητί-
δαι Διός· αὐτίκα γάρ
Ἦλθε Λήδας παῖς διώκων· τοὶ δ᾽ ἔναν-
τα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ.

Ἐ. δʹ. Κ. ιβʹ.

Ἔνθεν ἁρπάξαντες ἄ-
γαλμ᾽ Ἀΐδα, ξεστὸν πέτρον,
Ἔμβαλον στέρνῳ Πολυδεύ-
κεος· ἀλλ᾽ οὔ νιν φλάσαν,
Οὐδ᾽ ἀνέσχασαν· ἐφορμα-
θεὶς δ᾽ ἄρ᾽, ἄκοντι θοῷ

μὲν Πολυδεύκης ἤλαυνε τὰς βοῦς· ὁ δὲ Κάστωρ καθήμενος ὄπισθεν στελέχους δρυὸς ἤ, ὡς λέγουσι τὰ Κύπρια, ἔσω κοίλης δρυὸς κεκρυμμένος ἐλόχα τὸν Ἴδαν καὶ Λυγκέα· οὐδὲ εἰκὸς ἦν ἀμφότεροι νὰ λοχῶσι, τὴν δὲ λείαν νὰ ἀφῶσιν ἀφύλακτον. Ἰδὼν λοιπὸν ὁ Λυγκεὺς ἕνεκα τῆς ἀρετῆς τῶν αὐτοῦ ὀμμάτων τὸν μὲν Κάστορα λοχῶντα, τὸν δὲ Πολυδεύκην ἐλαύνοντα τὴν λείαν, ἑνοῦται μετὰ τοῦ ἀδελφοῦ Ἴδα καὶ ἐπιπίπτουσιν ἀπροσδοκήτως τῷ λοχῶντι καὶ τιτρώσκουσιν αὐτόν· ἐν τούτῳ δὲ ἰδὼν ὁ ἐλαύνων τὰς βοῦς Πολυδεύκης τρέχει εἰς βοήθειαν· ἐκεῖνοι τρέπονται εἰς φυγὴν, οὗτος δὲ διώκει μέχρι τοῦ τύμβου τοῦ Ἀφαρέως, ὅπου συνά-

---

στ. 129. ἀνέχασσαν ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου. Ὑπάρχουσι καὶ ἄλλαι ἄλλων διορθώσεις, ὧν ἡ κρείσσων οὐδ᾽ ἄνσχαξαν.

πτουσι μάχην. Καὶ αὕτη ἐστὶν ἡ διάνοια τοῦ ποιητοῦ. — κείνου γὰρ . . . ὀξύτατον ὄμμα] «ὁ Λυγκεὺς ἦν ὀξυδερκής, ὡς καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν» Π. Σ.

— Στ. 118-121. λαιψηροῖς . . . Ἀφαρητίδαι Διός] «αὐτίκα δὲ ταχέσι ποσὶν ἀμφότεροι ἐπέπεσον καταβάντες ἀπὸ τοῦ ὄρους καὶ ταχέως ἐξετέλεσαν τὸ μέγα τοῦτο ἔργον τρώσαντες τὸν Κάστορα οἱ Ἀφαρητίδαι· ἀλλὰ καὶ αὐτοὶ δεινὸν ἔπαθον ὑπὸ τοῦ Διός». — ἐξικέσθαν] Δωρικῶς ἀντὶ τοῦ ἐξικέσθην ἀριθ. δυϊκοῦ. — μέγα ἔργον] ὅ εἶπεν ἀνωτέρω, τὸ τραῦμα τοῦ Κάστορος. — ἐμήσαντ'] κατώρθωσαν· ἐκ τοῦ μ ή δ ο μ α ι· οὕτω καὶ (Ὀλ. Α'. 51.) τ ὸ ἄ π ι σ τ ο ν ἐ μ ή σ α τ ο π ι σ τ ὸ ν ἔ μ μ ε ν α ι.

— Στ. 123. Ἦλθε] Εἰ ἀμφότεροι ἦσαν ἐν στελέχει δρυός, οὐκ ἠδύνατο οὕτως ἀκυρολέκτως νὰ εἴπῃ ἦ λ θ ε ν ἀντὶ τοῦ ὥ ρ μ η σ ε ν ἢ ἄλλου τινὸς τοιούτου. Τὸ ἦ λ θ ε ν σημαίνει, ὅτι ὁ Πολυδεύκης ἄλλοθί που ἦν καὶ ἦλθεν ἰδὼν αὐτοὺς ἐπιπίπτοντας τῷ Κάστορι· ἀλλ' ἕως ἔλθῃ, ἵνα διώξῃ αὐτούς, ἐκεῖνοι ἐξετέλεσαν τὸ ἔργον. — διώκων] ἦλθε διώκων, ἵνα διώξῃ.

— Στ. 124. τοὶ δ' ἔναντα . . . πατρωΐῳ] «οἱ δὲ διώκοντι αὐτῷ ἀνθυπέστησαν ἐξ ἐναντίας περὶ τὸν τύμβον τοῦ πατρὸς αὐτῶν Ἀφαρέως». Ἰδόντες τὸν Πολυδεύκην πλησιάζοντα ἐτράπησαν εἰς φυγήν· ἀφικόμενοι, ἐκείνου διώκοντος, εἰς τὸν τάφον τοῦ Ἀφαρέως, ἐκεῖ στάντες συνῆψαν μάχην.

— Στ. 125-131. Ἔνθεν ἁρπάξαντες . . . χαλκόν] «Ὅθεν (ἐκ τοῦ τύμβου) ἁρπάσαντες στήλην κοσμοῦσαν τὸν τάφον ἔρριψαν ἐπὶ τὸ στέρνον τοῦ Πολυδεύκους, ἀλλ' οὐ συνέτριψαν αὐτό, οὐδ' ἀνεχαίτισαν αὐτόν· ἀλλ' ἐφορμήσας διήλασε τὰς πλευρὰς τοῦ Λυγκέως τῷ δόρατι». — ἄγαλμα Ἀΐδα] οὐχὶ κυρίως ἄγαλμα, ἀλλὰ κόσμημα τοῦ Ἅδου. Ἅδην δὲ καλεῖ τὸν τάφον. —

Ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἔπ' Ἴδᾳ πυρφόρον
Πλᾶξε ψολόεντα κεραυνόν·
Ἅμα δὲ καίοντ' ἐρῆμοι.
Χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποις ὁμιλεῖν κρεσσόνων.

Σ. έ. Κ· ιά.

Ταχέως δ' ἐπ' ἀδελφεοῦ
Βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
Καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ
Φρίσσοντ' ἀναπνοὰς κίχεν.
Θερμὰ δὲ τέγγων δάκρυα στοναχαῖς,
Ὄρθιον φώνασε· πάτερ
Κρονίων, τίς δὴ λύσις
Ἔσσεται πενθέων; καί μοι θάνατον σὺν
Τῷδ' ἐπίτειλον, ἄναξ.
Οἴχεται τιμὰ φίλων τατωμένῳ
Φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν,

ξεστὸν πέτρον] Τί δὲ ἦν τὸ ἄγαλμα, τὸ κόσμημα; ξεστὸς πέτρος, ἤτοι στήλη ἐξεσμένη. — ἄκοντι ἤλασεν ἐν πλευραῖς χαλκόν] «ἐφορμήσας τῷ ταχεῖ δόρατι ἐνέβαλε ταῖς τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον». Π. Σ.

— Στ. 133. ψολόεντα] Ὁ Π. Σ. μεταφράζει τὴν λέξιν ταύτην διὰ τῆς «τεφρώδη». Ἀλλὰ ὁ λίθος, ὃν παρ' ἡμῖν ὁ κοινὸς ὄχλος νομίζει κεραυνόν, ἐστι παμ-

---

στ. 134. ἁμᾷ ἡ κοινὴ γραφή.

στ. 140. φρίσσοντα πνοὰς ἔκιχεν· διόρθωσις ἕνεκα τοῦ μέτρου.

στ. 141. δὴ ἀντὶ τοῦ δὲ ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου.

στ. 144. πενθέων. Αἱ συλλαβαὶ θέων συνιζάνουσιν.

μέλας (ψολόεις), οὐχὶ τεφρώδης. Ἡ δοξασία λοιπὸν αὕτη τοῦ ἡμετέρου κοινοῦ ὄχλου περὶ τοῦ κεραυνοῦ (ἀστροπελέκι) παμπάλαιός ἐστιν.

— Στ. 134. Ἅμα καίοντ' ἔρημοι] Ὁ κεραυνὸς ἐπέπεσεν οὐχὶ μόνῳ τῷ οὐκέτι ὑπὸ Πολυδεύκους πληγέντι Ἴδᾳ, ἀλλὰ καὶ τῷ πλησίον αὐτοῦ κειμένῳ Λυγκεῖ· διὸ ἀμφότεροι ἐκαίοντο. Ἡ δὲ λέξις «ἔρημοι» οὐ σχολάζει, ἀλλὰ διεγείρει οἶκτον πρὸς τοὺς τοιοῦτον θάνατον λαβόντας μηδενὸς τῶν οἰκείων παρόντων, ἵνα θρηνήσῃ αὐτοὺς καὶ θάψῃ.

— Στ 135-136. χαλεπὰ . . . κρεσσόνων] Συνεπτυγμένη πρότασις, ἢ οὕτω πως ἀναπτύσσεται «χαλεπόν ἐστιν ἀνθρώποις ὁμιλεῖν ἔριδι κρεισσόνων» ἤτοι χαλεπόν ἐστι τοῖς ἀνθρώποις νὰ ἐρίζωσι πρὸς κρείττονας· ἡ δὲ κατὰ λέξιν ἐξήγησις «ἡ ἔρις τῶν κρεισσόνων ἐστὶ χαλεπὴ τοῖς ἀνθρώποις ὁμιλεῖν (ὥστε νὰ ὁμιλῶσιν) αὐτῇ».

— Στ. 137-140. ταχέως . . . κίχεν] «ταχέως δὲ ἐπὶ τὸν ἀδελφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποστρέψας, καὶ δὴ αὐτὸν οὔπω τεθνηκότα, πνευστιῶντα δὲ καὶ ἀποψυχρούμενον κατέλαβεν». Π. Σ. — ἄσθματι φρίσσοντ' ἀναπνοάς] «Ἆσθμα ἀναπνοάς, ἢ ἀναπνοὴν» ἴσον «ἆσθμα κατὰ τὴν ἀναπνοήν» ἴσον «ἀσθματικὴ ἀναπνοὴ» ἤτοι ψυχοῤῥαγία (ψυχομάχισμα). «Φρίσσω» δὲ ἴσον τῷ «ψυχροῦμαι». Ὅθεν «εὗρεν αὐτὸν ψυχρούμενον διὰ τῆς ψυχοῤῥαγίας».

— Στ. 143-145. Πάτερ Κρονίων . . . ἄναξ] «οὐδεμία ἄλλη λύσις τοῦ ἐκ τοῦ θανάτου τοῦ ἀδελφοῦ πένθους ἔσεταί μοι, ἢ νὰ πέμψῃς, Ζεῦ πάτερ, καὶ ἐμοὶ θάνατον, ἵνα ἀποθάνω σὺν τούτῳ».

— Στ· 146-148. Οἴχεται . . . μεταλαμβάνειν] «οὐδεὶς συμπονεῖ, ἐὰν μὴ φίλος ᾖ καὶ ἀγαθὸς ἀδελφός· στερηθεὶς δὲ τούτου, τίνα ἕξω κοινωνὸν τῶν πόνων· ὀλίγοι τῶν ἀνθρώπων πιστοὶ κατὰ τοὺς πόνους, πάσχουσι τοῖς ἑταίροις τοῦ καμάτου κοινωνεῖν». Π. Σ. — Οἴχεται

Ἀ. ἑ. Κ. ιά.

Καμάτου μεταλαμβάνειν.
Ὡς ἔννεπε· Ζεὺς δ' ἀντίος ἤλυθέν οἱ,
Καὶ τόδ' ἐξαύδασ' ἔπος· ἐσσί μοι υἱ-
ός· τόνδε δ' ἔπειτα πόσις,
Σπέρμα θνατὸν, ματρὶ τεᾷ πελάσαις,
Ἔσταξ' ἥρως. ἀλλ' ἄγε τῶν-
δέ τοι ἔμπαν αἵρεσιν
Παρδίδωμ'· εἰ μὲν, θάνατόν τε φυγὼν καὶ
Γῆρας ἀπεχθόμενον,
Αὐτὸς Οὔλυμπον ἐθέλεις,
Σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει,

Ἐ. ἑ. Κ. ιβ'.

Ἔστοι σοι τούτων λάχος.
Εἰ δὲ κασιγνήτου πέρι
Μάρνασαι, πάντων δὲ νοεῖς
Ἀποδάσσασθαι ἴσον,
Ἥμισυ μέν κε πνέοις γαί-
ας ὑπένερθεν ἐὼν,
Ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.

τιμὰ φωτί] ἀπόλλυται ἡ τιμὴ ἀνδρί· οὐ τιμᾶται ἀνὴρ (παρὰ τοῖς ἀνθρώποις). — τατωμένῳ φίλων] «στερισκομένῳ φίλων, οἷος ἦν οὗτος ὁ ἐμὸς ἀδελφός»· τὸ «τατωμένῳ» Δωρικῶς ἀντὶ τοῦ «τητωμένῳ». — παῦροι βροτῶν ἐν πόνῳ πιστοὶ] «Οὐδεὶς τῶν ἀνθρώπων, ἔργου πόνων προκειμένου (ἐν πόνῳ), ἐστὶ πιστὸς νὰ μεταλαμβάνῃ

στ. 157. Αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν ἐμοί· ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου.

στ. 165. χρυσέοις· αἱ συλλαβαὶ σεοις συνιζάνουσιν.

τῶν πόνων». — παῦροι] «ἀντὶ τοῦ οὐδὲ ὀλίγοι· ὡς καὶ παρ' Ὁμήρῳ (Ἰλ. έ. 800).

Ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς» Π. Σ.

— Στ. 150-153. ἐσσί μοι . . . ἥρως] «Τὸ σαφὲς οὕτω. Σὺ μέν, ὦ Πολύδευκες, τυγχάνεις μοι υἱός, τὸν δὲ Κάστορα μετὰ ταῦτα ὁ Τυνδάρεως σπέρμα θνητὸν ὄντα τῇ σῇ μητρὶ συνελθὼν ἔσπειρεν. Ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ. Ὁ δὲ Πίνδαρος ἑτέροις τῶν ἱστορικῶν ἐξακολουθήσας τὸν μὲν Πολυδεύκην ἐκ Διός, τὸν δὲ Κάστορα ἐκ Τυνδάρεω εἶναί φησιν, ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος· λέγεται γὰρ τοῦτο, ὅτι Πολυδεύκης καὶ Ἑλένη ἐκ Διός εἰσι καὶ Λήδας, Κάστωρ δὲ ἐκ Τυνδάρεω. Ὁ μέντοι Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος». Π. Σ.

— Στ. 153-165. ἀλλ' ἄγε . . . δόμοισιν] «ἀλλ' ὅμως τούτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι· εἰ μὲν γὰρ τὸν θάνατον ἐκφυγὼν καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν αὐτὸς βούλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ καὶ Ἀθηνᾷ καὶ Ἄρει, ἔστι σοι τούτων μερίς· εἰ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ Κάστορος διαμάχῃ, πάντων δὲ τῶν καλῶν βούλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τοῦ χρόνου ἕξεις ὑπὸ τὴν γῆν διατρίβων, τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ καὶ τοῖς τιμίοις τῶν θεῶν οἴκοις» Π. Σ. — ἥμισυ μέν κε πνέοις . . . δόμοισιν] τί ἐννοεῖ τούτοις ὁ ποιητής, ἐξηγήσατο ἐν ἀρχῇ τῆς διηγήσεως τοῦ μύθου στ. 103-111.

— Στ. 166-167. ὣς ἄρ . . . βουλὰν] «οὕτω ταῦτα τοῦ Διὸς εἰπόντος οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν, ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι» Π. Σ. — γνώμα] «τῷ ἑαυτοῦ νῷ». — οὐκ ἔθετο βουλὴν διπλόαν] «οὐκ

Ὣς ἄρ᾽ αὐδάσαντος, οὐ
Γνώμᾳ διπλόαν θέτο βουλάν.
Ἀνὰ δ᾽ ἔλυσεν μὲν ὀφθαλ-
μόν, ἔπειτα δὲ φωνὰν
Χαλκεομίτρα Κάστορος.

ἔθετο τῷ ἑαυτοῦ νῷ βουλὴν διπλῆν τὴν μὲν κλίνουσαν πρὸς τὸ μὴ μερίσασθαι τῷ ἀδελφῷ τὴν εὐδαιμονίαν, τὴν δὲ πρὸς τὸ μερίσασθαι, ἀλλὰ ὡς ἐκ τοῦ ἑπομένου καταφαίνεται, ἁπλῆν, ἤτοι πρὸς τὸ μερίσασθαι»· δηλονότι «οὐδαμῶς ἐδίστασεν, ἀλλ᾽ εὐθὺς προὐτίμησε τὸ δεύτερον».

— Στ. 168-170. ἀνὰ δ᾽ ἔλυσεν . . . Κάστορος «ἀνέλυσε μὲν καὶ πάλιν ὁρᾶν παρεσκεύασε τὸν τοῦ ἀδελφοῦ ὀφθαλμόν, ἔπειτα δὲ καὶ τὴν φωνὴν ἐνέβαλε τοῦ χαλκομίτρα Κάστορος» Π. Σ. — ἀνὰ ἔλυσε] ὁ Πολυδεύκης· διότι ὁ Πολυδεύκης ἐγένετο ὁ αἴτιος νὰ ἀναλύσῃ ὁ Ζεύς· «οἷον ἤδη μύοντα καί κλειόμενον διὰ τὸν θάνατον ἀναβλέψαι ἐποίησεν». Π. Σ. — χαλκεομίτρα] «Κάστωρ χαλκεομίτρης, χαλκοκορυστής» Heynius.

ΜΕΤΑΦΡΑΣΙΣ.

Ὑμνεῖτε, ὦ Χάριτες, τὴν πόλιν τοῦ Δαναοῦ καὶ τῶν πεντήκοντα ἀγλαοθρόνων κορῶν, τὸ Ἄργος, τὸ θεοπρεπὲς δῶμα τῆς Ἥρας· διότι ἐπὶ μυρίαις ἀρεταῖς λάμπει ἡ πόλις αὕτη ἕνεκα τολμηρῶν ἔργων. Μακρὰ μέν ἐστι τὰ περὶ τὴν Μέδουσαν Γοργόνα ἔργα τοῦ Περσέως· πολλὰ δὲ ἐν Αἰγύπτῳ ἄστη κατῳκίσθησαν ταῖς τοῦ Ἐπάφου παλάμαις· οὐδ' Ὑπερμνήστρα παρεξετράπη κατασχοῦσα ἐν τῷ κολεῷ μόνη αὐτὴ τὸ ξίφος. Διομήδη δὲ ἐποίησέ ποτε ἡ ξανθὴ Γλαυκῶπις ἀθάνατον θεόν· ἡ γῆ δὲ ἐν Θήβαις κεραυνωθεῖσα τοῖς τοῦ Διὸς βέλεσι ὑπεδέξατο τὸν μάντιν Οἰκλείδην τὸ (εἰς χάλαζαν ἐκρηγνύμενον) νέφος τοῦ πολέμου. Καὶ κατὰ γυναῖκας καλλικόμους ἀριστεύει τὸ Ἄργος. Ὁ δὲ Ζεὺς ἐλθὼν πάλαι ἐπὶ Ἀλκμήνην καὶ Δανάην ἀπέφηνε τοῦτον τὸν λόγον ἀληθῆ· ἐν δὲ τῷ πατρὶ τοῦ Ἀδράστου καὶ Λυγκεῖ συνήρμοσεν φρένας εὐκάρπους εὐθείᾳ δικαιοσύνῃ. Ἔθρεψε δὲ τὸν αἰχμητὴν Ἀμφιτρύωνα· ὁ δὲ φέρτατος κατὰ τὸν ὄλβον συνεμίγη τῷ γένει ἐκείνου· διότι, ὅτε ὁ Ἀμφιτρύων κατεπολέμησε τοῖς χαλκοῖς ὅπλοις τοὺς Τηλεβόας, τότε ὁμοιωθεὶς αὐτῷ τὴν ὄψιν ὁ βασιλεὺς τῶν ἀθανάτων εἰσῆλθεν εἰς τὴν αὐλὴν (τῆς Ἀλκμήνης) φέρων σπέρμα τοῦ ἀτρόμου Ἡρακλέ-

ους· οὗ ἄλοχός ἐστιν ἡ Ἥβη, βαίνουσα κατ' Ὄλυμπον παρὰ τῇ μητρὶ αὐτῆς Τελείᾳ Ἥρᾳ καλλίστη θεῶν. Ἀδύνατόν ἐστι τὸ ἐμὸν στόμα νὰ διηγήσηται πάντα τὰ ἀγαθὰ, ὅσων τὸ Ἀργεῖον τέμενος μετέχει· ἔστι δὲ καὶ ὁ φθόνος τῶν ἀνθρώπων βαρὺς, ὥστε νὰ ἀντισταθῇ τις πρὸς αὐτόν· ἀλλ' ὅμως ἔγειρε τὴν εὔχορδον λύραν καὶ φρόντισον περὶ παλαισμάτων. Ἀγὼν χαλκῶν βραβείων (τελούμενος ἐν Ἄργει) ὀτρύνει τὸν δῆμον πρὸς βουθυσίαν εἰς Ἥραν καὶ πρὸς κρίσιν ἄθλων· ὅπου ὁ παῖς τοῦ Οὐλίου Θειαῖος δὶς νικήσας ἐπελάθετο τῶν εὐφόρων πόνων. Ἐκράτησε δέ ποτε καὶ Πανελλήνιον ἀγῶνα ἐν Πυθῶνι· σὺν ἀγαθῇ δὲ τύχῃ ἐλθὼν ἔλαβε καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, καὶ ἔδωκε ταῖς Μούσαις νὰ διαφημίσωσιν αὐτόν· τρὶς μὲν κληρωθεὶς καὶ νικήσας ἐν ταῖς πύλαις τοῦ πόντου, τρὶς δὲ ἐν τοῖς σεμνοῖς (τῆς Νεμέας) πεδίοις κατὰ τὰς διατάξεις τοῦ Ἀδράστου. Ζεῦ πάτερ, ὧν μὲν ἐπιθυμεῖ τῇ διανοίᾳ, ταῦτα τὸ στόμα αὐτοῦ σιωπᾷ· πᾶσα δὲ παντὸς ἔργου ἐκτέλεσις ἐν σοὶ κεῖται. Οὗτος δὲ προσφέρων καρδίᾳ οὐκ ἀποστρεφομένῃ τοὺς μόχθους τόλμην, δέεται σοῦ χάριν· γνωστὰ τῷ τε θεῷ ᾄδω καὶ ἐκείνῳ, ὅστις ἁμιλλᾶται περὶ τῶν κορυφῶν τῶν ἐσχάτων ἄθλων· ὕπατος δὲ ἀγὼν συνέστη ὑφ' Ἡρακλέους, ὃν ἔχει ἡ Πίσα. Ἡδεῖαι μὲν ἐνθουσιώδεις φωναὶ ἐν τελεταῖς Ἀθηναίων δὶς ἐκώμασαν αὐτόν· καρπὸς δὲ ἐλαίας ἦλθεν εἰς τὸν εὔανδρον λαὸν τῆς Ἥρας ἐν γῇ καυθείσῃ πυρὶ, ἐν πεποικιλμέ-

νοις ἀγγείοις. Ἁρμόζει δέ σοι, ὦ Θειαῖε, τὸ πολύγνωτον γένος τῶν σῶν πρὸς μητρὸς προγόνων· ἁρμόζει σοι ἡ τιμὴ τῶν σὺν τῇ βοηθείᾳ τῶν Χαρίτων καὶ τῶν Τυνδαριδῶν συχνῶν εὐκλεῶν ἀγώνων τοῦ γένους τούτου, ἵνα λέγῃς· δύναμαι νὰ ὦ ἄξιος, ὢν συγγενὴς τοῦ Θρασύκλου καὶ Ἀντίου, νὰ μὴ κρύπτω τὸ φῶς τῶν ὀμμάτων ἐν Ἄργει. Πόσαις νικηφορίαις ἤνθησε τὸ ἱππότροφον ἄστυ τοῦ Προίτου διὰ τῶν ἀνδρῶν τούτων ἔν τε τοῖς μυχοῖς τῆς Κορίνθου καὶ ἐν τοῖς τῶν Κλεωναίων τετράκις· ἐκ Σικυῶνος δὲ ἀργύρῳ βραβευθέντες ἐπανῆλθον εἰς τὴν πατρίδα σὺν οἰνηραῖς φιάλαις, ἐκ Πελλήνης δὲ χλανίσι μαλακαῖς ἐνδεδυμένοι· ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν νὰ ἐξελέγχῃ τις· διότι ἡ ἀρίθμησις αὐτοῦ ἀπαιτεῖ σχολὴν μακροτέραν· χαλκόν, ὃν καὶ Κλείτωρ καὶ Τεγέα καὶ αἱ ὑψίβατοι πόλεις τῶν Ἀχαιῶν καὶ τὸ Λύκαιον ἔθεσαν παρὰ τῷ βωμῷ τοῦ Διὸς βραβεῖον τοῖς σὺν δρόμῳ ποδῶν καὶ σθένει χειρῶν νικῶσιν. Ἐπεὶ δὲ ἐξενίσθη παρὰ τῷ Παμφάῃ Κάστωρ καὶ ὁ κασίγνητος Πολυδεύκης, οὐδὲν θαυμαστόν, εἰ ἔστιν ἔμφυτον αὐτοῖς νὰ ὦσιν ἀγαθοὶ ἀθληταί· ἐπειδὴ οἱ διοικοῦντες τὴν εὐρύχωρον Σπάρτην ἔχουσι θαλερὰν μοῖραν ἀγώνων σὺν τῷ Ἑρμῇ καὶ Ἡρακλεῖ, μάλα τῶν δικαίων ἀνδρῶν κηδόμενοι· ἔτι δὲ τὸ γένος τῶν θεῶν ἐστι πιστόν. Οὗτοι δὲ μεταλλάσσοντες τὰς ἡμέρας, τὴν μὲν μίαν διαιτῶνται ἀμφότεροι παρὰ Διῒ φίλῳ πατρί, τὴν δὲ ἄλλην ὑπὸ τὰ κεύθη τῆς γῆς ἐν τοῖς ὑπογυίοις

τῆς Θεράπνης ἐκπληροῦντες μοῖραν ὁμοίαν· ἐπειδὴ τοῦτον μᾶλλον τὸν βίον προυτίμησεν ὁ Πολυδεύκης, ἢ τεθνηκότος ἐν πολέμῳ τοῦ Κάστορος αὐτὸς ἐν οὐρανῷ νὰ οἰκῇ· διότι τοῦτον ὁ Ἴδας διὰ βόας τινὰς χολωθεὶς ἔτρωσεν αἰχμῇ λόγχης. Σκοπεύων ἀπὸ Ταϋγέτου εἶδεν αὐτὸν ὁ Λυγκεὺς καθήμενον ἐν στελέχει δρυός· διότι τὸ ὄμμα ἐκείνου ἐγένετο ὀξύτατον πάντων ἀνθρώπων· ταχέσι δὲ ποσὶ αὐτίκα ἀφίκοντο ἀμφότεροι, καὶ ταχέως ἐτέλεσαν τὸ μέγα τοῦτο ἔργον· ἀλλὰ καὶ ἔπαθον δεινὸν οἱ Ἀφαρητίδαι ταῖς παλάμαις τοῦ Διός· διότι αὐτίκα ἦλθεν ὁ παῖς τῆς Λήδας διώκων· ἐκεῖνοι δὲ ἐστάθησαν ἐναντίον πλησίον τοῦ τάφου τοῦ αὐτῶν πατρός· ἔνθεν ἁρπάσαντες κόσμημα τοῦ τάφου, ξεστὸν πέτρον, ἔρριψαν εἰς τὸ στέρνον τοῦ Πολυδεύκους· ἀλλ' οὐ σενέτριψαν αὐτὸ, οὐδὲ ἐκεῖνον ἀνεχαίτισαν· ἐφορμηθεὶς δὲ ἤλασε διὰ τῶν πλευρῶν τοῦ Λυγκέως τὸν χαλκὸν τοῦ ταχέος δόρατος· Ζεὺς δὲ ἔρριψεν ἐπὶ τὸν Ἴδαν αἰθαλώδη πυρφόρον κεραυνόν· ὁμοῦ δὲ ἀμφότεροι ἐκαίοντο ἔρημοι· χαλεπὸν δὲ τοῖς ἀνθρώποις νὰ ἐρίζωσι πρὸς κρείττονας. Ταχέως δὲ ἐπανῆλθεν ὁ Τυνδαρίδης πρὸς τὸν ἀδελφὸν, καὶ εὗρεν αὐτὸν οὔπω μὲν τεθνηκότα, ἀποψυχρούμενον ὅμως διὰ τὸ κατὰ τὴν ἀναπνοὴν ἄσθμα· θερμὰ δὲ χύνων δάκρυα μετὰ στεναγμῶν μέγα ἐφώνησεν· πάτερ Κρονίων, τίς λύσις τοῦ πένθους μου ἔσεται; θάνατον καί μοι ἐπίπεμψον σὺν τούτῳ, ἄναξ· ἀνδρὶ φίλων στερουμένῳ τιμὴ ἀπόλλυται· διότι ὀλίγοι βροτῶν ἐν

πόνῳ εἰσὶ πιστοὶ νὰ μεταλαμβάνωσι καμάτου. Οὕτως εἶπεν. Ζεὺς δὲ ἦλθεν ἔμπροσθεν αὐτοῦ, καὶ εἶπε ταῦτα· μοὶ εἶσαι υἱός· τοῦτον δὲ ἔσταξε θνητὸν σπέρμα ὕστερον πλησιάσας τῇ σῇ μητρὶ ὁ ἥρως σύζυγος αὐτῆς· ἀλλ᾽ ὅμως ἄγε, δίδωμί σοι αἵρεσιν τούτων· εἰ μὲν θέλεις, θάνατον φυγὼν καὶ γῆρας ἐπαχθὲς, αὐτὸς νὰ οἰκῇς τὸν Ὄλυμπον σὺν Ἀθηνᾷ καὶ χαλκοφόρῳ Ἄρει, ἔστι σοι τούτων νὰ τύχῃς· εἰ δὲ περὶ τοῦ ἀδελφοῦ θερμῶς φροντίζεις, πάντων δὲ διανοεῖσαι ἴσην διανομὴν, δύνασαι τὸ μὲν ἥμισυ νὰ πνέῃς ὑπὸ τὴν γῆν ὤν, τὸ δὲ ἕτερον ἥμισυ ἐν τοῖς χρυσοῖς δόμοις τοῦ οὐρανοῦ. Οὕτως εἰπόντος, οὐ προσέθηκε τῇ αὐτοῦ διανοίᾳ διπλῆν βουλὴν, ἀλλ᾽ ἀνέλυσε μὲν τὸν ὀφθαλμὸν, ἔπειτα δὲ καὶ τὴν φωνὴν τοῦ χαλκοκορυστοῦ Κάστορος.

ΝΕΜΕΑ

ΕΙΔΟΣ ΙΑʹ.

ΑΡΙΣΤΑΓΟΡᾼ ΠΡΥΤΑΝΕΙ ΤΕΝΕΔΙῼ

ΥΙῼ ΑΡΚΕΣΙΛΑ

Μέτρα κατὰ τοὺς Π. Σ. τῆς στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ τοῦ εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος σύγκειται ἐκ κώλων ἕξ.

Κῶλον 1. – ⏑ | –̇ ⏔⏔ | –̇ ⏑ ⏑ | –̇ ⏑ ⏑ | –̇ – | – ⏑ ⏑ Δακτυλικὸν ἑξάμετρον ἀκατάληκτον Αἰολικόν· διότι ἄρχεται ἀπὸ τροχαίου.

„ 2. –̇ ⏑ –̇ – | –̇ ⏑ –̇ – | –̇ ⏑ ⏑ –̇ ⏑ ⏑ –̇ – Σύνθετον ἐκ τροχαϊκοῦ διμέτρου καὶ ἐκ δακτυλικοῦ τριμέτρου· ἐκ τῶν μὴ ἐχόντων ὄνομα ἀσυναρτήτων.

„ 3. –̇ ⏑ ⏑ | –̇ ⏑ ⏑ | –̇ – | –̇ ⏑ ⏑ | –̇ ⏑ ⏑ | –̇ Δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβήν.

„ 4. –̇ ⏑ –̇ – | –̇ ⏑ –̇ – | –̇ ⏑ –̇ Τροχαϊκὸν τρίμετρον καταληκτικόν.

„ 5. –̇ ⏑ ⏑ –̇ | –̇ ⏑ ⏑ Χοριαμβικὸν δίμετρον καταληκτικόν.

„ 6. –̇ ⏑ –̇ – | –̇ ⏑ ⏑ –̇ Ἐπιχοριαμβικὸν δίμετρον.

Περὶ τῆς Ἐπῳδοῦ.

Ἑκάστη ἐπῳδὸς ἐκ κώλων ἐννέα.

Κῶλον 1. –̇ ⏑ ⏑ ¦ –̇ ⏑ ⏑ | –̇ ⏑ Δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον.

Κῶλον 2. –́ ⏑ ⏑ | –́ ⏑ ⏑ | –́ Δακτυλικὸν πενθημιμερές.

„ 3. – ⏑ –́ – | –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ | – –́ ⏑ ⏑ –́ Πινδαρικὸν (καλούμενον ὑπὸ τοῦ Π. Σ.) συνιστάμενον ἐξ ἰαμβελέγου καὶ ἐκ πενθημιμεροῦς ἰαμβικοῦ· ὧν τὸ μὲν ἐν ἀρχῇ πενθημιμερὲς λείπει μίαν συλλαβὴν τοῦ πρώτου ποδὸς, τὸ δὲ ἐν τέλει πενθημιμερὲς λείπει τὴν τελευταίαν συλλαβήν· διὸ καλεῖται ἀμφιλιπές· ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει.

„ 4. –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ Δακτυλικὸν πενθημιμερές.

„ 5. – – ⏑ ⏑ | –́ ⏑ ⏑ –́ – Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον.

„ 6. –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ Δακτυλικὸν πενθημιμερές.

„ 7. – –́ ⏑ ⏑ | – –́ ⏑ ⏑ Ἰωνικὸν δίμετρον ἀκατάληκτον.

„ 8. –́ ⏑ –́ ⏑ | –́ ⏑ –́ – | – ⏑ – Τροχαϊκὸν τρίμετρον καταληκτικόν.

„ 9. –́ ⏑ | – –́ ⏑ –́ –́ ; –́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ Ἰαμβέλεγος προηγουμένου τροχαϊκοῦ ποδός.

ΠΕΡΙΛΗΨΙΣ ΤΟΥ ΕΙΔΟΥΣ.

Ἱκετεύει τὴν Ἑστίαν νὰ ὑποδέξηται εὐμενῶς εἰς τὸ πρυτανεῖον τὸν Ἀρισταγόραν ἀναβαίνοντα εἰς τὴν ἀρχὴν τῆς πρυτανείας μετὰ τῶν συναρχόντων αὐτοῦ, καὶ δέεται νὰ ποιήσῃ νὰ διέλθωσι τὸ ἔτος τῆς ἀρχῆς μετὰ δόξης καὶ ἄνευ λυπῶν (ἀπὸ στ. 1-12). Ἐκ τοῦ προοιμίου μεταβαίνει εἰς τὴν ὑπόθεσιν μακαρίζων πρῶτον τὸν πατέρα Ἀρκεσίλαν, ἔχοντα τοιοῦτον υἱόν· εἶτα τὸν υἱὸν διά τε τὸ κάλλος τοῦ σώματος καὶ διὰ τὴν μεγάλην δύναμιν, ἧς ἕνεκα ἠρίστευσεν ἑκκαιδεκάκις ἀγωνισά-

μενος παγκρατίῳ πρὸς περιοίκους (ἀπὸ στ. 12-27). Ἐκ τῶν ἑκκαίδεκα τούτων νικῶν τεκμαίρεται, ὅτι εἰ μὴ ἐκώλυον αὐτὸν οἱ γονεῖς, ὅτε ἦν παῖς, νὰ πειραθῇ ἄθλων ἔν τε Πυθῶνι καὶ Ὀλυμπίᾳ, βεβαίως ἤθελεν ἐπιστρέψῃ εἰς τὴν πατρίδα ἐστεφανωμένος (ἀπὸ στ. 28-36). Φιλοσοφεῖ ἐπὶ τῶν τολμώντων ἔργα ἀνώτερα τῶν ἑαυτῶν δυνάμεων καὶ ἐπὶ τῶν ἐχόντων μὲν δύναμιν, ἀτόλμων δὲ ὄντων (ἀπὸ στ. 37-42). Ἐκ τῆς πρὸς τοὺς ἄθλους ἀρετῆς τοῦ σώματος τοῦ Ἀρισταγόρου λαμβάνει ἀφορμὴν νὰ διηγηθῇ, ὅτι κατάγεται ἐκ Πεισάνδρου ἐπισήμου τινὸς Σπαρτιάτου τῶν σὺν Ὀρέστῃ στειλαμένων ἀποικίαν εἰς Τένεδον, καὶ ἐκ τοῦ ἥρωος Θηβαίου Μελανίππου (ἀπὸ στ. 43-47). Ἐπειδὴ δὲ τοῦ ἀπὸ Πεισάνδρου γένους αἱ γενεαὶ οὐκ ἐπεδείξαντο ἀρετὰς μέχρι Ἀρισταγόρου, λαμβάνει αἰτίαν νὰ παραβάλῃ τὰ γένη τῶν ἀνθρώπων πρὸς τὰς γαίας καὶ πρὸς τὰ δένδρα, ἃ οὐ κατὰ πᾶν ἔτος διδοῦσι ἄφθονον καρπόν (στ. 48-54). Ἐν τῷ ἐπιλόγῳ λαμβάνει ἀφορμὴν ἐκ τῆς ὁμοιότητος τῶν ἀνθρωπίνων γενῶν πρὸς τὰς γαίας καὶ δένδρα νὰ φιλοσοφήσῃ περὶ τῆς ἀνθρωπίνης φύσεως, ἧς ἕνεκα καίτοι ὁ ἄνθρωπος οὐ γινώσκει τὰς ἐκβάσεις τῶν ἑαυτοῦ πράξεων, ὅμως ἐπιχειρεῖ παρατόλμοις.

ΕΙΣΑΓΩΓΗ

Ἀρισταγόρας υἱὸς Ἀρκεσίλα Τενέδιος κατήγετο πρὸς πατρὸς μὲν ἐκ Πεισάνδρου τοῦ Σπαρτιάτου τοῦ

σὺν Ὀρέστῃ ἀποικίαν στειλαμένου ἐκ Σπάρτης εἰς Τένεδον, πρὸς μητρὸς δὲ ἐκ Μελανίππου τοῦ Θηβαίου τοῦ συστάντος Τυδεῖ καὶ τρώσαντος αὐτόν· ἐκλεχθεὶς δὲ πρύτανις εἴτε βουλῆς εἴτε γερουσίας (διότι ἄγνωστόν ἐστιν, εἰ ἡ πολιτεία τῶν Τενεδίων ἦν δημοκρατία ἢ ἀριστοκρατία, καὶ εἰ ἡ διοικοῦσα τὴν πολιτείαν ἀρχὴ ἐκαλεῖτο γερουσία ἢ βουλή), τὴν ἡμέραν, καθ' ἣν ἔμελλε νὰ ἀναλάβῃ τὴν ἀρχὴν τῆς πρυτανείας, τελεῖ θυσίαν ἑορτάζων μετὰ τῶν συναρχόντων τὰ εἰσιτήρια. Εἰς ταύτην λοιπὸν τὴν ἑορτὴν συνετέθη ἡ ᾠδὴ αὕτη, ἵνα ᾀσθῇ ἐν τῇ θυσίᾳ. Ὅθεν οὐκ ἔστιν ὕμνος εἰς νικηφόρον ἱερῶν ἀγώνων, ἀλλ' εἰς ἄνδρα ἐκλεχθέντα ἄρχοντα καὶ ἤδη ἀναλαμβάνοντα τὴν ἀρχήν. Οἱ χαρακτῆρες ὅμως τῆς ᾠδῆς ταύτης εἰσὶν οἱ αὐτοὶ τοῖς τῶν ἐπινίκων· διὸ ἴσως καὶ κατετάχθη ἐν τοῖς ἐπινίκοις· καὶ πρέπει νὰ ὦσιν οἱ αὐτοί· διότι καὶ αὕτη ἐν κώμῳ ᾄδεται ὡς καὶ οἱ ἐπίνικοι· ἡ δὲ διαφορὰ ὑπάρχει αὕτη μόνον· ὅτι οἱ κῶμοι, ἐν οἷς ᾄδονται οἱ ἐπίνικοι, τελοῦνται ἐπὶ νίκῃ ἐν ἱεροῖς ἀγῶσιν, ὁ δὲ κῶμος τοῦ Ἀρισταγόρου τελεῖται ἐπὶ τῇ εἰς τὴν ἀρχὴν εἰσόδῳ. Ὁ δὲ παρὰ τοῖς Π. Σ. Δίδυμος λέγει περὶ τῆς ᾠδῆς ταύτης «οὐδὲ ὅλως ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἐπινίκους συνηνῶσθαι· οὐ γὰρ ἱερὸν ἀγῶνα νενίκηκεν ὁ Ἀρισταγόρας· εἰ δὲ παραμιμνήσκεται, ὅτι περιχώρους ἀγῶνας ἐνίκα παῖς ὤν, οὐ διὰ τοῦτο ἀθλητής· γεγράφθαι δὲ, φησὶν ὁ Δίδυμος, τὴν ᾠδὴν εἰς πρυτανεύοντα καὶ τῆς πόλεως προεστῶτα τὸν Ἀρισταγόραν· συντακτέον οὖν, φησὶν, εἰς τὰ Παροίνια». Ἕτερος δὲ Π. Σ. λέγει «ἔοικε δὲ Ἀρισταγόρας μὴ νῦν νενικηκέναι· φασὶ γὰρ οἱ ἱστορικοὶ παιδὶ μὲν ὄντι πολλὰς ἐπεισελθεῖν νίκας, ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι τὸν Πίνδαρον πρόσχημα μὲν ἐπίνικον γράψαι, τὸ δὲ ἀληθὲς προσφωνητικὸν εἰς τὴν πρυτανείαν».

Σ. ά Κ. στ'.

Παι Ῥέας, ἅ τε Πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
Εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
Εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
Οἵ σε γεραίροντες ὀρ-
θὰν φυλάσσοισιν Τένεδον,

Ἀ. ά. Κ. στ'.

Πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
Πολλὰ δὲ κνίσσᾳ· λύρα δέ σφιν βρέμεται καὶ
ἀοιδά.

— Στ. 1-12. Παῖ Ῥέας . . . κραδίᾳ] «ὦ παῖ τῆς Ῥέας Ἑστία, ἥτις ἔλαχες νὰ τιμᾶσαι ἐν τοῖς πρυτανείοις, εὖ μὲν ὑπόδεξαι εἰς τὸν σὸν θάλαμον πλησίον τοῦ σοῦ σκήπτρου τὸν Ἀρισταγόραν, εὖ δὲ τοὺς συνάρχοντας αὐτοῦ, οἵ σε πολλαῖς θυσίαις καὶ σπονδαῖς γεραίροντες, διοικοῦσι σωτηρίως τὴν Τένεδον, καὶ τοῖς ξένοις δὲ ἐν τῷ σῷ θαλάμῳ τὸ τοῦ Ξενίου Διὸς ἀσκοῦντες δίκαιον διηνεκῶς ἐν τραπέζαις φιλοξενοῦσιν· παράσχου λοιπὸν αὐτοῖς νὰ διανύσωσι τὴν δωδεκαμηνίαν σὺν δόξῃ καὶ εὐθύμῳ καρδίᾳ». — Πρυτανεῖα λέλογχας] ὅτε οἱ θεοὶ δατέοντο (Ὀλ. Ζ'. 102), ἐμοιράζοντο τὴν γῆν, σοὶ ἔπεσεν ὁ κλῆρος νὰ ἄρχῃς τῶν πρυτανείων· «πρυτανεῖά φησι λαχεῖν τὴν Ἑστίαν, παρόσον αἱ τῶν πόλεων ἑστίαι ἐν τοῖς πρυτανείοις ἀφίδρυνται, καὶ τὸ ἱερὸν λε-

---

στ. 1. λέλογχας· ἡ τελευταία συλλαβή, ἄγνωστον, διά τι ἐτέθη βραχεῖα.

γόμενον πῦρ ἐπὶ τούτων ἀπόκειται· εἴη δ' ἂν πρυτανεῖον κατὰ τὸ ἔτυμον πυροταμεῖον κατὰ συγγένειαν τοῦ μ εἰς τὸ ν, ὡς τὸ μ ι ν καὶ ν ι ν» Π. Σ. — εὖ δέξαι Ἀρισταγόραν, εὖ δ' ἑτέρους] Φανερὸν ἐκ τούτων, ὅτι οὐχὶ μόνον ὁ Ἀρισταγόρας νῦν ἐκλεχθεὶς ἀναλαμβάνει τὴν πρυτανείαν, ἀλλὰ καὶ οἱ συνέταιροι, ἤτοι οἱ συνάρχοντες αὐτοῦ, εἴτε βουλευταὶ οὗτοι καλοῦνται, εἴτε γερουσιασταί, εἴτε ἄλλο ὁτιοῦν, νῦν εἰσέρχονται εἰς τὴν ἀρχήν, ἥτις ἐστὶν ἐτησία, ὡς φαίνεται ἐκ τῆς ἐν στ. 11. λέξεως δ ω δ ε κ ά μ η ν ο ν. — τεὸν ἐς θάλαμον] εἰς τὸ πρυτανεῖον. — σκάπτω πέλας] Παρὰ τῷ βωμῷ τῆς Ἑστίας, ἐν ᾧ ἔθυον, ἣν καὶ τὸ ἄγαλμα αὐτῆς φερούσης σκῆπτρον — οἵ σε γεραίροντες . . . Τένεδον] Ἡ ἀντωνυμία ο ἵ κατὰ σύνεσιν ἀναφέρεται οὐ μόνον εἰς τοὺς σήμερον εἰσερχομένους εἰς τὴν ἀρχὴν συνάρχοντας (ἑταίρους) τῷ Ἀρισταγόρᾳ, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν Ἀρισταγόραν καὶ πάντας τοὺς ἀεὶ πρυτάνεις καὶ τοὺς αὐτοῖς συνάρχοντας. — γεραίροντες] οὐ μόνον νῦν, ἀλλ' ἀεί, ὅτε ἀναλαμβάνουσι τὴν ἀρχήν. — ὀρθὰν] ἀβλαβῆ. — ἀγαζόμενοι πρώταν θεῶν] «σὲ πρώτην τῶν ἄλλων θεῶν ἀγάζονται, τιμῶσι λοιβαῖς καὶ θυσίαις». Οὐκ ἐννοεῖ λοιπὸν ὁ ποιητὴς τὸ τῆς παροιμίας «ἀφ' Ἑστίας ἀρχόμενος» (Ἡσύχιος)· ἀλλὰ τὰς μὲν ἄλλας ἡμέρας τοῦ ἔτους ἔθυον καὶ ἔσπενδον καὶ τοῖς ἄλλοις θεοῖς· τὴν πρώτην ὅμως ἡμέραν ἔθυον τῇ Ἑστίᾳ. — κνίσσᾳ] θυσίᾳ· «ἀπὸ τῆς κνίσσης, ὅ ἐστι, τῆς πιμελῆς καὶ τὰς θυσίας (ἐννοεῖ)» Π. Σ. — λύρα . . . τραπέζαις] Ἀπὸ μὲν τοῦ στ. 5-8. «σὲ γεραίροντες . . . κνίσσᾳ» διηγεῖται τίνας θυσίας καὶ πρὸς τίνα θεὸν θύουσιν ἐν τῷ πρυτανείῳ τὴν πρώτην ἡμέραν, καθ' ἣν ἀναλαμβάνουσι τὴν ἀρχήν· ἐνταῦθα βούλεται νὰ εἴπῃ, ὅτι καὶ ἄλλας θυσίας καὶ πρὸς ἄλλους θεούς, ἄλλας ὅμως ἡμέρας τοῦ ἔτους, οὐχὶ τὴν πρώτην θύουσιν· «λύρα δὲ αὐτοῖς κατὰ τὰς πανηγύρεις ἠχεῖ καὶ ᾠδὴ καὶ τοῦ ξενίου Διὸς θέμις ἀσκεῖται καὶ

Καὶ ξενίου Διὸς ἀσκεῖται θέμις ἀεννάοις
Ἐν τραπέζαις· ἀλλὰ σὺν δόξᾳ τέλος
Δωδεκάμηνον περά-
σαι σὺν ἀτρώτῳ κραδίᾳ.

Ἐ. ά. Κ. θ'.

Ἄνδρα δ' ἐγὼ μακαρίζω
Μὲν πατέρ' Ἀρκεσίλαν,
Καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
Εἰ δέ τις ὄλβον ἔχων
Μορφᾷ παραμεύσεται ἄλλων,
Ἔν τ' ἀέθλοισιν ἀρι-
στεύων ἐπέδειξεν βίαν,
Θνατὰ μεμνάσθω περιστέλλων μέλη,

ἀποσώζεται παρ' αὐτοῖς διὰ παντὸς ἐν ταῖς τραπέζαις· ἀντὶ τοῦ φιλόξενοί εἰσιν» Π. Σ. — ξενίου Διὸς θέμις] καλεῖ οὕτως τὸ δίκαιον τοῦ φιλοξενεῖν τοὺς ξένους, οὗ ἔφορός ἐστιν ὁ Ζεύς. Ἐφιλοξενοῦντο δὲ ἐν τῷ πρυτανείῳ οἱ παρὰ τῶν ἄλλων πόλεων ἀποστελλόμενοι πρέσβεις, καὶ ἄλλοι ἐπίσημοι ἄνδρες. — ἀεννάοις] τῇ λέξει ταύτῃ βούλεται νὰ εἴπῃ, ὅτι πολλάκις τοῦ ἔτους ἐγίνετο αὕτη ἡ φιλοξενία. — ἀλλὰ περάσαι] «ἀλλὰ εἴθε περάσοι (ὁ Ἀρισταγόρας). Ἐὰν δὲ τὸ περάσαι ἐστὶν ἀπαρέμφατον, καὶ οὐχὶ εὐκτική, γραπτέον π ε ρ ᾶ σ α ι, καὶ ἐξηγητέον

στ. 9. ἀ ε ν ά ο ι ς ἐκ διορθώσεως ἕνεκα τοῦ μέτρου.

στ. 11-12. π ε ρ ά σ α ι. Οἱ μὲν τῶν Π. Σ. θεωροῦσιν εὐκτικὴν καὶ ἐννοοῦσιν ὑποκείμενον μόνον Ἀναξαγόραν· οἱ δὲ ἐξηγοῦσιν ὡς ἀπαρέμφατον π ε ρ ᾶ σ α ι· ἐννοοῦντες ὑποκείμενον Ἀναξαγόραν καὶ τοὺς ἑταίρους.

στ. 18. ἄ λ λ ω ς ἐκ διορθώσεως· ἐπειδὴ τὸ παραμείβεσθαι συντάσσεται αἰτιατικῇ. Ἡ δὲ διόρθωσις μ ο ρ φ ὰ ν ἄ λ λ ω ν καθίστησι τὴν ἔννοιαν ὀλίγον σκληράν.

«ἀλλὰ δὸς περᾶσαι αὐτούς, ἤτοι τὸν Ἀρισταγόραν καὶ τοὺς ἑταίρους».

— Στ. 13-15. Ἄνδρα . . . ξύγγονον] «ἐγὼ δὲ ἀνδρῶν μὲν μακαρίζω τὸν Ἀρκεσίλαν ὡς πατέρα, καὶ τὸ ἀξιοθέατον δέμας τοῦ υἱοῦ καὶ τὴν σύμφυτον αὐτῷ ἀνδρείαν». — ἄνδρα] καθ' ὅλον καὶ κατὰ μέρος ἀντὶ τοῦ ἀνδρῶν· ἤτοι «ἐξ ὅλων τῶν ἀνδρῶν μακαρίζω τὸν Ἀρκεσίλαν». — πατέρα] μακαρίζω αὐτὸν ὡς πατέρα· διότι δηλονότι ἔχει τοιοῦτον υἱόν. — καὶ τὸ θαητὸν δέμας] Ἀδύνατον νὰ ἐννοῇ «δέμας τοῦ πατρός». Πόσον ἁρμόζει παρηκμακότι ἤδη τινὶ τὴν ἡλικίαν νὰ ἐπαινῆται οὕτω διὰ τὸ κάλλος. Ἀλλὰ καὶ ὑποτεθέντος, ὅτι ὁ ἤδη γέρων πατὴρ λαμβάνει τοῦτον τὸν ἔπαινον, ποῖοί εἰσιν οἱ ἆθλοι, ἐν οἷς ἠρίστευσε ἐπιδείξας βίαν; διότι ἅπαντα μὲν ὅσα λέγονται μέχρι τοῦ στ. 21 ἀναφέροντα πρὸς τὸν ἔχοντα θαητὸν δέμας· ὁ δὲ Πίνδαρος οὐδὲν λέγει, ποῦ ἠρίστευσεν ὁ Ἀρκεσίλας, ὅπερ καὶ ἄτοπον καὶ ἐναντίον τῆς συνηθείας αὐτοῦ. Ἔτι δὲ τῷ ἐπαινουμένῳ πατρὶ διὰ τὴν ξύγγονον ἀτρεμίαν οὐχ ἁρμόζει τὸ (στ. 28) «ἐλπίδες ὀκνηρότεραι γονέων». Ἀλλὰ καὶ αὐτὸς ὁ Πίνδαρος παρακατιὼν (στ. 49-54) βούλεται νὰ σημάνῃ, ὅτι ὁ πατὴρ ὡς καὶ ἅπαντες αὐτοῦ οἱ πρόγονοι ἀπὸ τοῦ Πεισάνδρου καὶ Μελανίππου ἦσαν ἄσημοι. Θαητὸν λοιπὸν δέμας ἐννοεῖ τὸ τοῦ υἱοῦ, τὸν δὲ Ἀρκεσίλαν μακαρίζει μόνον, διότι ἦν πατὴρ τοιούτου υἱοῦ· οὐ προσδιώρισε δὲ, τίνος δέμας· διότι ἦν γνωστὸν τοῖς Τενεδίοις, ὡς εἰ ἔλεγε «καὶ τὸ ἀξιοθέατον ἐκεῖνο σῶμα, περὶ οὗ πολὺς ἐν Τενέδῳ γίνεται λόγος. — ἀτρεμίαν] ἀφοβίαν, ἀνδρείαν, ἣν ἐπεδείξατο ἐν τοῖς ἄθλοις, οὓς κατωτέρω ἀναφέρει.

— Στ. 16-21. εἰ δέ τις ὄλβον . . . ἐπιεσσόμενος] «εἰ δὲ ἀνθρώπων τις εὐδαιμονίαν κεκτημένος καὶ τῷ εἴδει παρέρχεται τοὺς ἄλλους καὶ ἐν τοῖς ἄθλοις ἀριστεύουσαν ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχὺν, μὴ ὡς θεὸς

Καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.

Σ. β'. Κ. στ'.

Ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεών,
Καὶ μελιγδούποισι δαιδαλθέντα μέλεσιν ἀείδειν.
Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν
Ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
Ἐστεφάνωσαν πάλᾳ
Καὶ μεγαυχεῖ παγκρατίῳ·

Ἀ. β'. Κ. στ'.

Ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν
Ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων·
Ναὶ μὰ γὰρ Ὅρκον, ἐμὰν δόξαν, παρὰ Κα-
σταλίᾳ
Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου,
Κάλλιον ἂν δηριών-
των ἐνόστησ' ἀντιπάλων,

Ἐ. β'. Κ. θ'.

Πενταετηρίδ' ἑορτὰν
Ἡρακλέος τέθμιον,

τῶν μειζόνων ὀρεγέσθω» Π. Σ. — θνατὰ . . . ἐπιεσσόμενος] ἀντὶ τούτου ἔφη (Ἰσθμ. Ε.' 18) Μὴ μάτευε Ζεὺς γενέσθαι· καὶ (Ὀλ. Ε.' 56) μὴ ματεύσῃ θεὸς γενέσθαι. — περιστέλλων] ἀμφιεννύς. — ἐπιεσσόμενος] μέλλων τοῦ ἐπιέννυμαι.

— Στ. 22-23. ἐν λόγοις . . . ἀείδειν] «αὐτὸς μὲν οὐ πρέπει νὰ ζητῇ μείζονα εὐδαιμονίαν, ἢ τοῖς θε-

---

στ. 22. μὲν ἐστὶν ἡ γραφὴ τῶν χειρογράφων· προὐτίμησα ὅμως καὶ ἐγὼ τὴν διόρθωσιν μιν.

στ. 23. ἀοιδαῖς, αἱ συλλαβαὶ αοι συνιζάνουσιν εἰς ω.

οἷς μόνοις ἀνήκει· οἱ πολῖται ὅμως χρεωστοῦσιν ἐν τοῖς λόγοις καὶ ταῖς συνδιαλέξεσι νὰ ἐπαινῶσι, καὶ οἱ ποιηταὶ νὰ ᾄδωσιν αὐτὸν κοσμοῦντες ἔπεσι ποικίλοις καὶ μελιῤῥύτοις». — ἀγαθοῖσι] συναπτέον τῷ «λόγοις». — μιν αἰνεῖσθαι] «νὰ ἐπαινῆται αὐτὸς ὁ «τις» (στ. 16), ἤτοι ὁ Ἀρισταγόρας». — ἀείδειν] Ἡ ἀντωνυμία μ ί ν ἐν μὲν τῷ α ἰ ν ε ῖ σ θ α ί ἐστιν ὑποκείμενον, ἐν δὲ τῷ ἀ - ε ί δ ε ι ν ἀντικείμενον, ὅπου οἴκοθεν ἐννοεῖται ὑποκείμενον τὸ «τοὺς ποιητάς».

— Στ. 24-27. ἐκ δὲ περικτιόνων . . . παγκρατίῳ] «ἐκ δὲ τῶν περιοικούντων τὴν Τένεδον ἑκκαίδεκα νῖκαι πάλης καὶ παγκρατίου ἐστεφάνωσαν τὸν Ἀρισταγόραν καὶ τὴν αὐτοῦ πατρίδα». — ἐκ δὲ] τό δ ε δύναται νὰ ἐκληφθῇ καὶ ἀντὶ τοῦ γὰρ αἰτιολογοῦντος τὸ ἀνωτέρω ἀ ρ ι σ τ ε ύ ω ν ἐ π έ δ ε ι ξ ε β ί α ν.

— Στ. 28-29. Ἐλπίδες . . . ἀέθλων] «παιδὸς δὲ ὄντος τοῦ Ἀρισταγόρου, φησὶν, αἱ τῶν γονέων ἐλπίδες ὀκνηρότερον διατεθεῖσαι ἐνεπόδισαν εἴς τε τὴν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν σταλῆναι τῶν ἄθλων ἕνεκα» Π. Σ. — παιδὸς βίαν] «τὸν ἰσχυρὸν παῖδα». — ἔσχον] κατέσχον, οὐκ εἴασαν.

— Στ. 30-37. Ναὶ μὰ γὰρ Ὅρκον . . . πορφυρέοις ἔρνεσιν] «καὶ νὰ ὁρκισθῶ δύναμαι, ὅτι κατὰ τὴν ἐμὴν δόξαν, εἰ ἤρχετο εἰς Πυθῶνα καὶ Ὀλυμπίαν, ἤθελεν ἐπιστρέψῃ εἰς τὴν πατρίδα κρείσσων τῶν ἀντιπάλων, καὶ ἤθελε τελέσῃ κῶμον ἐπὶ νίκῃ κατὰ τὴν πενταετηρίδα ἑορτὴν τὴν ὑφ' Ἡρακλέους συστᾶσαν ἐστεμμένος τὴν κόμην πορφυροῖς κλάδοις». — ναὶ μὰ ὅρκον] «εὐλαβείᾳ τοῦ ὀμνύειν οἱ ἀρχαῖοι παραλιμπάνοντες τὰ ὀνόματα τῶν θεῶν κατ' αὐτοῦ τοῦ ὅρκου ὤμνυον, ὡς καὶ Ἡσίοδος (θεογ. 231) (κάλλιον ἂν εἶπεν ὁ Π. Σ. «περὶ οὗ Ἡσίοδος»)

Ὅ ρ κ ο ν θ' ὃ ς δ ὴ π λ ε ῖ σ τ ο ν ἐ π ι χ θ ο ν ί ο υ ς
ἀ ν θ ρ ώ π ο υ ς

Κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
Ἔρνεσιν· ἀλλὰ βροτῶν
Τὸν μὲν κενεόφρονες αὖχαι
Ἐξ ἀγαθῶν ἔβαλον·
Τὸν δ᾽ αὖ, καταμεμφθέντ᾽ ἄγαν
Ἰσχὺν, οἰκείων παρέσφαλεν καλῶν,
Χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

Σ. γ'. Κ. στ'.

Συμβαλεῖν λίαν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
Αἷμ᾽ ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ
Αἰολέων στρατιὰν χαλκεντέων δεῦρ᾽ ἀνάγων·

Πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ» Π. Σ. — εὐδένδρῳ] «διὰ τὰ τῶν ἐλαιῶν φυτὰ, ἃ Ἡρακλῆς ἐξ Ὑπερβορείων κομίσας ἐνεφύτευσε τῇ γῇ (Ὀλ. Γ.' 25. κ. ἑξῆς)» Π. Σ. — ὄχθῳ Κρόνου] «ἀντὶ τοῦ τῷ λόφῳ τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνιερωθέντι τῷ Κρόνῳ» Π. Σ. — πενταετηρίδ᾽ ἑορτὰν κωμάσας] συνεκδοχικῶς ἀντὶ τοῦ «κωμάσας τὴν νίκην, ἣν ἂν ἤρατο τὴν πενταετηρίδα ἑορτήν»· πενταετηρίδα δὲ καλεῖ τὴν πανήγυριν τῶν Ὀλυμπιακῶν ἀγώνων, διότι τελεῖται μετὰ τὸ τέλος τοῦ τετάρτου ἔτους. — τέθμιον Ἡρακλέους] Τὴν ὑπὸ τοῦ Ἡρακλέους σύστασιν τῶν Ὀλυμπιακῶν πανηγύρεων

στ. 36. πορφυρέοις, αἱ συλλαβαὶ ρεοις συνιζάνουσιν.

στ. 38. κενόφρονες ἡ τῶν χειρογρ. γραφή· ἡ δὲ γραφὴ κενεόφρονες ἐστὶν ἐκείνη, ἣν ἀνέγω ὁ Π. Σ.

στ. 45. χαλκοκεντέα διόρθωσις ἕνεκα τοῦ μέτρου· ἀλλὰ καὶ τῆς γραφῆς τῶν χειρογράφων χαλκοκεντέων αἱ τελευταῖαι συλλαβαὶ συνιζάνουσαι ἔχουσι καλῶς καὶ πρὸς τὸ μέτρον.

ἐν τῷ ἡγουμένῳ εἴδει (στ. 61) ἐκάλεσε τεθμὸν Ἡρακλέους. — πορφυρέοις ἔρνεσιν] «ἐν διαφόροις σκοτεινοῖς χρώμασιν· καὶ Ὅμηρος οὕτω λαμβάνει τὴν λέξιν, πόντον εἰπὼν πορφύρεον· ἔστι δὲ ἀντὶ τοῦ χλωροῖς» Δούκας.

— Στ. 37-42. Ἀλλὰ βροτῶν . . . ἐὼν] «ἀλλὰ βροτῶν ἄλλους μὲν αἱ ματαιόφρονες καυχήσεις καὶ ἡ ἄγνοια τῆς ἑαυτῶν φύσεως μείζονα τῶν κατὰ δύναμιν τολμήσαντας ἀπεστέρησαν καὶ τῶν ἀγαθῶν, ὧν ἦσαν ἄξιοι νὰ τύχωσιν· ἕτερον δὲ πάλιν, ὅστις λίαν κατεμέμψατο τὴν ἑαυτοῦ δύναμιν, ἡ ἄτολμος ψυχὴ οἷον ἕλκουσα ἐκ τῆς χειρὸς εἰς τὰ ὀπίσω ἀπώθησε τῶν οἰκείων καλῶν». — κενεόφρονες αὖχαι] προσωποποιΐα «καυχήσεις, αἵτινες φρονοῦσι κενά, ὅτι ὁ ἔχων αὐτὰς δύναται νὰ κατορθώσῃ μεγάλα». — ἐξ ἀγαθῶν] παραλάμβανε καὶ ἐνταῦθα ἐκ τοῦ ἑπομένου τὸ οἰκείων. — τὸν δ' αὖ . . . ἰσχὺν] «τὸν δὲ πάλιν ἔχοντα μὲν ἰσχὺν νὰ κατορθώσῃ μεγάλα, καταφρονήσαντα δὲ αὐτῆς παρὰ τὸ προσῆκον». Ὑπὸ τὸ δεύτερον τοῦτο μέρος τοῦ ἀξιώματος ὑπάγεται καὶ ὁ Ἀριστάγορας· ὅστις ὅμως οὐκ αὐτὸς ἐμέμφατο τὴν ἑαυτοῦ ἰσχὺν, ἀλλ' οἱ γονεῖς, ὡς γινώσκομεν ἐκ τῶν στ. 28-29. Ὅθεν ὁ ποιητὴς ἐᾷ τῷ ἀναγνώστῃ νὰ ἐφαρμόσῃ τῷ Ἀρισταγόρᾳ τὸ ἀξίωμα κατὰ συνεκδοχήν· ἤτοι τὸ κατὰ τῶν γονέων νοούμενον λέγεται κατὰ τοῦ παιδός. — μεμφθέντα ἰσχὺν] μεμψάμενον καταφρονήσαντα τῆς ἑαυτοῦ ἰσχύος. Ἐν τῷ Ἀρισταγόρᾳ ὅμως οἱ γονεῖς ἐμέμψαντο τὴν τοῦ παιδὸς ἰσχύν. — θυμὸς] τῶν γονέων καὶ οὐχὶ τοῦ παιδός.

— Στ. 43-47. Συμβαλεῖν . . . Μελανίπποιο μάτρωος] «εἰ ἔμολεν εἰς Ὀλυμπίαν καὶ εἰς Πυθῶνα, ἤθελεν εἶσθαι λίαν εὐμαρὲς νὰ καταλάβωμεν, ὅτι ὁ Ἀρισταγόρας ἐστὶ τὸ παλαιὸν αἷμα ἔκ τε Πεισάνδρου ἀπὸ Σπάρτης (διότι ἀνεχώρησεν ὁ Πείσανδρος σὺν Ὀρέστῃ ἐξ Ἀμυκλῶν ἄγων εἰς Τένεδον ἀποικίαν Αἰολέων), καὶ

Καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον
Ἐκ Μελανίπποιο μά-
τρωος· ἀρχαῖαι δ' ἀρεταὶ
Ἀ. γ'. Κ. στ'.
Ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος.

ἐκ τοῦ παρ' Ἰσμηνὸν Μελανίππου τοῦ πρὸς μητρὸς προγόνου». Εἰπὼν διὰ τοῦ ἀξιώματος, τὸ αἴτιον, δι' ὃ κατέσχον τὸν Ἀρισταγόραν παῖδα ὄντα οἱ γονεῖς νὰ πειραθῇ ἀγῶνος καὶ ἐν Πυθῶνι καὶ Ὀλυμπίᾳ, ἤδη δι' ἀσυνδέτου σχήματος, συνάπτει τὰ ἡγούμενα «κάλλιον ἂν . . . ἐνόστησε . . . ἐν πορφυρέοις ἔρνεσιν» τοῖς «Συμβαλεῖν . . . ἦν τό τε Πεισάνδρου. κ. τ. λ.» — ἦν εὔμαρὲς] παραλείπεται τὸ «καὶ» κατὰ τὸ ἀσύνδετον σχῆμα. Ὅθεν συνδετέον οὕτως «κάλλιον ἂν δηριώντων ἀντιπάλων ἐνόστησε, καὶ συμβαλεῖν λίαν εὔμαρὲς ἂν ἦν κ. ἑξῆς»· διότι παραλαμβάνεται καὶ ἐνταῦθα τὸ «ἄν». — τό τε Πεισάνδρου . . . ἐκ Μελανίπποιο μάτρωος] Ἡ σύνταξις «λίαν εὔμαρὲς συμβαλεῖν (νὰ συμβάλῃ τις) τὸ πάλαι αἷμα κεκραμένον ἔκ τε Πεισάνδρου ἀπὸ Σπάρτης (Ἀμύκλαθεν γὰρ κ. τ. λ.) καὶ ἐκ Μελανίππου παρ' Ἰσμηνοῦ ῥοὰν μάτρωος». — συμβαλεῖν τὸ πάλαι αἷμα] ὁ νοῦς «νὰ ἐνίδῃ τις ἐν τῷ Ἀρισταγόρᾳ τὸ παλαιὸν αἷμα μάτρωος». Κατήγετο λοιπον ὁ Ἀρισταγόρας πατρόθεν μὲν ἀπὸ τοῦ Πεισάνδρου, μητρόθεν δὲ ἀπὸ Μελανίππου. — Ἀμύκλαθεν . . . ἀνάγων] Ἡ Αἰολικὴ ἀποικία ἐκ Πελοποννήσου εἰς Ἀσίαν, ἧς ἦρξεν ὁ Ὀρέστης, τούτου δὲ ἀποθανόντος ἐν Ἀρκαδίᾳ ὁ υἱός αὐτοῦ Πενθίλος, καὶ ἧς ὁ Πείσανδρος ἦν, φαίνεται, εἷς τῶν ὑπ' αὐτὸν ἡγεμόνων, ἐγένετο ἑξήκοντα ἔτεσι τῶν Τρωϊκῶν ὕστερον ὑπ' αὐτὴν τὴν τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον κάθοδον τέτρασι γενεαῖς πρότερον τῆς Ἰωνικῆς. (Στράβ. ΙΓ'. 582) Ταύτην δὲ τὴν

ἀποικίαν συνέπραξαν τοῖς περὶ τὸν Πενθίλον καὶ Βοιωτοὶ πλείστους ἐξ ἑαυτῶν συμπέμψαντες, ὥστε καὶ Βοιωτικὴν προσαγορευθῆναι. (Στράβ. Θ'. 402). Ἐν τοῖς συμπεμφθεῖσι λοιπὸν τῷ Πενθίλῳ εἰς τὴν ἀποικίαν ταύτην Βοιωτοῖς ἦσαν καὶ ἔγκονοι τοῦ Μελανίππου, ἐξ ὧν κατάγεται ἡ μήτηρ τοῦ Ἀρισταγόρα. — παρ' Ἰσμηνοῦ ῥοὰν Μελανίπποιο] ἀντὶ τοῦ «Μελανίππου Θηβαίου»· «ὁ δὲ Μελάνιππος οὗτος Θηβαῖος ἦν ἐπὶ τοῦ πολέμου συστὰς τῷ Τυδεῖ· τούτου δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ ῥήξας ἐκροφῆσαι τὸν ἐγκέφαλον· διὸ καὶ ἀπεστράφη ἡ Ἀθηνᾶ τότε κομίζουσα αὐτῷ τὴν ἀθανασίαν· τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πείσανδρον· τὸ δὲ ἀπὸ μητρὸς εἰς τοῦτον τὸν Μελάνιππον· μάτρωες γὰρ οὗτοι οἱ κατὰ μητέρα πρόγονοι». Π. Σ.

— Στ. 48-49. Ἀρχαῖαι . . . σθένος] «Ἀλλ' αἱ ἐξ ἀρχῆς πάλαι φυτευθεῖσαι ἀρεταὶ ἔν τινι ἀνδρῶν γένει οὐκ ἀναδεικνύουσι τὸ ἑαυτῶν σθένος κατὰ συνέχειαν ἁπάσαις ταῖς γενεαῖς, ἀλλὰ ἐναλλάξ· ὡς συνέβη καὶ τῷ Ἀρισταγόρου γένει, ᾧ ἐνεφυτεύθησαν μὲν αἱ ἀρεταὶ τὸ ἀρχαῖον ὑπὸ τοῦ Πεισάνδρου καὶ Μελανίππου, ἀλλ' οὐκ ἐν ἁπάσαις ταῖς γενεαῖς ἀπὸ τῶν ἀνδρῶν ἐκείνων ἀνέδειξαν τὴν ἑαυτῶν ἰσχύν, ἀλλὰ ἐν τῇ γενεᾷ τοῦ Ἀρισταγόρου». — ἀρχαῖαι ἀρεταὶ] «ἀρεταὶ ἀρχαίου τινὸς ἀνδρὸς, οἷαί εἰσιν αἱ ἀρεταὶ τοῦ Μελανίππου καὶ Πεισάνδρου». — ἀμφέρονται σθένος] «φέρουσιν εἰς τὸ φανερὸν, ἀναφαίνουσι τὸ ἑαυτῶν σθένος». — ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν] «οὐκ ἐν ἁπάσαις ταῖς γενεαῖς τῶν ἀνδρῶν τοῦ αὐτοῦ γένους, ἤτοι τῶν ἀνδρῶν τῶν καταγομένων ἐκ τοῦ αὐτοῦ ἀρχαίου ἀνδρός». Κυρίως ἀλλασσόμεναι γενεαῖς σημαίνει «κατ' ἀλλαγὴν τῶν γενεῶν»· ἤτοι κατὰ δευτέραν γενεὰν, ὡς ἐν Νεμ. ΣΤ'. 16. ἡ συνώνυμος λέξις ἀμειβόμεναι· ἐνταῦθα ὅμως τὸ ἀλλασσόμεναι οὐκ ἐτέθη κυριολεκτικῶς ὡς ἐν τῷ μνησθέντι τοῦ ΣΤ'. εἴδους χωρίῳ· διότι οὐ

Ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδω-
καν ἄρουραι·
Δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περιόδοις
Ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,
Ἀλλ' ἐν ἀμείβοντι· καὶ
Θνατὸν οὕτω σθένος ἄγει

Ἐ γ'. Κ. θ'.

Μοῖρα· τὸ δ' ἐκ Διὸς ἀνθρώ-
ποις σαφὲς οὐχ' ἕπεται
Τέκμαρ. ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,
Ἔργα τε πολλὰ μενοι-
νῶντες· δέδεται γὰρ ἀναιδεῖ

σημαίνει «κατ' ἐναλλαγὴν μιᾶς γενεᾶς» ἀλλὰ «κατ' ἐναλλαγὴν πολλῶν γενεῶν». Τὸ χωρίον τοῦτο καταδηλοῖ, ὅτι ὁ πατὴρ τοῦ Ἀρισταγόρου οὐκ ἦν ἐπίσημος ἐπὶ ἀρεταῖς, οἵας ἐννοεῖ ἐνταῦθα ὁ ποιητὴς, ὥστε ἀδύνατόν ἐστιν ὁ ἐν τοῖς ἀνωτέροις στ. 18-19 ἔπαινος νὰ ἀναφέρηται τῷ πατρί.

— Στ. 50. καρπὸν] Παράλαβε ἐκ τοῦ ἑπομένου «πλούτῳ ἴσον».

— Στ. 52. πλούτῳ ἴσον] «τὰ φυτὰ οὐ φέρουσι κατὰ πάσας τὰς περιόδους τῶν ἐτῶν καρπὸν ἴσον κατὰ τὸν πλοῦτον, ἤτοι τὴν ἀφθονίαν». Ὁ νοῦς «οὔτε αἱ ἄρουραι διδοῦσι καθ' ἕκαστον ἔτος καρπὸν ἴσον κατὰ τὴν ἀφθονίαν (πλούτῳ), οὔτε τὰ δένδρα· ἀλλὰ τὸ μὲν πρῶτον ἔτος ἄφθονον καὶ πλούσιον διδοῦσι καρπὸν, τὸ δὲ δεύτερον ἢ σμικρὸν ἢ οὐδένα».

— Στ. 53. ἀλλ' ἐν ἀμείβοντι] «ἀλλὰ κατ' ἐναλλαγὴν τῶν ἐτῶν».

στ. 54. γένος, ἢ γε συλλ. μακρὰ διὰ τὸ ἑπόμενον ἀμετάβολον ν.

— Στ. 55-63. τὸ δὲ ἐκ Διὸς . . . μανίαι] Ὁ Πίνδαρος ἐνορῶν τῷ Ἀρισταγόρᾳ ἀρετὰς μεγάλας ἔτι δὲ καὶ πλοῦτον (ὄλβον στ. 16), δι' ὧν ἀνέβη εἰς τὴν ἀνωτάτην ἀρχὴν τῆς αὐτοῦ πόλεως, φοβεῖται μὴ ἐπέλθῃ αὐτῷ καὶ ἡ βουλὴ νὰ καταστῇ τύραννος· διὸ λαβὼν ἀφορμὴν ἐκ τῆς παρομοιώσεως τῆς καρποφορίας τῶν ἀρουρῶν καὶ δένδρων πρὸς τὴν ἀνάδοσιν τῶν ἀρετῶν τῶν γενεῶν τοῦ ἀνθρωπίνου γένους, ἐμβαίνει συνεπέστατα εἰς φιλοσοφικὰς σκέψεις, δι' ὧν βούλεται νὰ ἀποτρέψῃ τὸν ὑμνούμενον τοῦ νὰ διανοῆται ἔργα, ὧν ἡ ἔκβασις τῷ Διῒ μόνῳ γνωστή ἐστιν. Λέγει λοιπὸν «Προσδιώρισται ἐκ τῆς Μοίρας τὸ σθένος τῶν ἀνθρωπίνων γενεῶν εἰς τὸ παράγειν ἀρετὰς ὅμοιον τῷ σθένει τῶν ἀρουρῶν καὶ δένδρων εἰς τὸ γεννᾶν καρπούς· ἀλλ' ὁ ἄνθρωπος ἐν ἑκάστῃ αὐτοῦ ἐπιχειρήσει οὐ γινώσκει τὸ ἀποβησόμενον ἀλλὰ μόνος ὁ Ζεύς· καὶ ὅμως πολλῶν καὶ δυσκατορθώτων ἐπιθυμοῦντες, ἐπιχειροῦμεν ἔργοις ἐπικινδύνοις· καίτοι πρέπει νὰ ἐπιχειρῶμεν ἔργοις σύμφωνα ταῖς ἡμετέραις δυνάμεσιν». Ὅτι δὲ λέγει τοιαῦτα ὁ ποιητής, ἵνα ἀποτρέψῃ τὸν Ἀριστογόραν τυραννικῶν σκοπῶν, φαίνεται, ὅτι καὶ ὁ Π. Σ. ἐννοεῖ λέγων. «Τείνει δὲ πρὸς Ἀρισταγόραν, ἐπειδὴ τότε ἦρχε καὶ ἐπρυτάνευε, παραινῶν αὐτῷ μὴ ὑπερηφανεύεσθαι ἀλλὰ μετρίως βιοῦν, πράως τε καὶ ἐν ἀρετῇ διάγειν». — τὸ δὲ ἐκ Διὸς τέκμαρ] «τὸ ἀποβησόμενον τέλος ἐκ Διός». Π. Σ. Παραράβαλε πρὸς τὴν ἔννοιαν Ὀλ. ΙΒ'. 10-12. — οὐχ ἕπεται σαφὲς ἀνθρώποις] «οὐκ ἔστι σαφὲς τοῖς ἀνθρώποις». — ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν] «ἀλλὰ καίτοι οὐ γινώσκομεν τὴν ἐκ Διὸς ἔκβασιν, ἡμεῖς ὅμως ἐμβαίνομεν εἰς ἀνδραγαθίας μεγάλας, τολμῶμεν ἐπιχειρήσεις μεγάλων ἀνδραγαθιῶν». — ἔργα τε μενοινῶντες] ὁ τε συμπλέκει τῇ μετοχῇ μενοινῶντες τὸ ῥῆμα ἐμβαίνομεν· τοιαύτη τις συμπλοκή ἐστι καὶ ἐν Ὀλ. ΣΤ'. 114-116. ἐλθὼν Ἡρακλῆς, πατρός θ'

Ἐλπίδι γυῖα· προμα-
θείας δ' ἀπόκεινται ῥοαί.
Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.
Ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.

ἑ ο ρ τ ὰ ν κ τ ί σ ῃ. — δέδεται . . . ῥοαὶ] Διὰ τί ἐπιχειροῦμεν μεγάλα ἀνδραγαθήματα καὶ ἐκτέλεσιν πολλῶν ἔργων μενοινῶμεν; διότι ἐλπίδες μὲν μεγάλαι εἰσὶν ἔμφυτοι ἡμῖν, πρόγνωσις δὲ τῶν μελλώντων νὰ συμβῶσι μακρὰν ἡμῶν κεῖται». — δέδεται γυῖα ἐλπίδι] «τὰ γυῖα ἡμῶν (τὰ σώματα ἡμῶν, ἡμεῖς) εἰσὶ δεδεμένα ἐλπίδι, ἔχουσιν ἑαυτοῖς τὴν ἐλπίδα δεδεμένην, ἔχομεν τὴν ἐλπίδα ἔμφυτον». Καλεῖ δὲ τὴν ἐλπίδα ἀναιδῆ, διότι τῷ ὄντι αὐθάδεια καὶ ἀναίδειά ἐστι νὰ ἐλπίζωμεν ἐκ μεγαληνοριῶν ἐκτέλεσιν ἔργων, ἢ ἐν τῷ Διΐ ἐστί, ἥτις ἐκ τῆς βουλήσεως τοῦ Διὸς ἐξήρτηται, καὶ ἥτις σπανιώτατα καλῶς ἀποβαίνει. — ῥοαὶ προμαθείας] «ἡ πρόγνωσις τῆς ἐκτελέσεως τῶν μεγαληνοριῶν καὶ τῶν πολλῶν ἔργων κεῖται μακρὰν ἡμῶν». Τὴν φορὰν τῶν ἐν χρόνῳ συμβαινόντων παραβάλλει πρὸς ῥεῦμα. Ὁ μὲν χρόνος ἐστὶν ὁ ποταμός, τὰ δὲ ἐν χρόνῳ συμβαίνοντά ἐστι τὸ ῥεῦμα αὐτοῦ. Ὅθεν καὶ τὴν προμάθειαν ὡς ἐν τῷ ῥεύματι τοῦ ποταμοῦ τοῦ χρόνου ῥέουσαν καὶ ἀποῤῥέουσαν καλεῖ ῥοὴν προμαθείας· οὕτω καὶ ῥ ο α ὶ ε ὐ θ υ μ ι ῶ ν (Ὀλ. Β'. 62). — κερδέων . . . θηρευέμεν] «ἕκαστος δὲ πρέπει νὰ θηρεύῃ τὴν κτῆσιν ἐκείνων, ἃ ὠφελοῦσιν αὐτῷ ἢ πρὸς δόξαν ἢ πρὸς πλοῦτον, μετρῶν αὐτὴν κατὰ τὰς ἑαυτοῦ δυνάμεις· καὶ ὅταν εὑρίσκῃ αὐτὴν ἀνωτέραν τῶν ἑαυτοῦ δυνάμεων, νὰ μὴ ὀρέγηται τοιαύτης κτήσεως». Ὑπὸ τὴν λέξιν κ ε ρ δ έ ω ν ὑπάγονται ὅλα ἐκεῖνα, ὧν ἐπιθυμοῦμεν, καὶ πρὸς ὧν τὴν ἀπόκτησιν ἐ μ β α ί ν ο μ ε ν μ ε γ α λ η ν ο ρ ί α ι ς. Ἐν Ὀλ. ΙΓ'. 67. λέγει. Ἕ π ε τ α ι δ' ἐ ν ἑ κ ά σ τ ῳ μ έ τ ρ ο ν. Ἄρα

κ ε ρ δ έ ω ν μ έ τ ρ ο ν ἴσον τῷ «τὸ μέτρον, ὃ ἕπεται τοῖς κέρδεσιν, ὃ ἔχουσι τὰ κέρδη»· ἐν δὲ Πυθ. Β'. 63. λέγει χ ρ ὴ δ ὲ κ α θ' α ὑ τ ὸ ν α ἰ ε ὶ π α ν τ ὸ ς ὁ ρ ᾶ ν μ έ τ ρ ο ν. Ὅθεν «θηρευέμεν μέτρον» ἴσον «νὰ θηρεύωμεν καὶ νὰ διώκωμεν τῇ γνώμῃ τὸ μέτρον τῶν κερδῶν κατὰ τὰς ἡμετέρας δυνάμεις». Ὅθεν ὁ νοῦς ἐν συντόμῳ. «Ὅταν θέλωμεν νὰ ἐκτελέσωμεν μεγαληνορίας, πρέπει νὰ ἐξετάζωμεν αὐτὰς πρότερον κατὰ τὰς ἡμετέρας δυνάμεις». — ἀπροσίκτων . . . μανίαι] «αἱ μανίαι, ἃς ποιοῦσιν ἔρωτες ἀπρόσικτοί, εἰσιν ὀξύτεραι παντὸς κέντρου, ὃ ὀξέως εἰσδυόμενον φέρει ἀπώλειαν». — ἀπροσίκτων ἐρώτων] Ἀπρόσικτος ἔρως ἐστὶν ἐκεῖνος, οὗ ἡ ἐπιτυχία ἐστὶν ἀδύνατος. Ἐνταῦθα δὲ καλεῖ ἀπροσίκτους ἔρωτας τὴν ἐπιθυμίαν ἐκείνων τῶν κερδῶν, ὧν τὸ μέτρον ὑπερβαίνει τὰς δυνάμεις τοῦ ἐρῶντος αὐτῶν, τὰς δυνάμεις τοῦ ἐπιθυμοῦντος. — μανίαι] ὁ ἔχων ἀπροσίκτους ἔρωτάς ἐστι μαινόμενος. Ὅθεν μανία ἐστὶ τὸ ἔχειν τοιούτους ἔρωτας. — ὀξύτεραι] Συγκρίνει τὰς μανίας τῶν ἀπροσίκτων ἐρώτων προς τὰ ὀξέα κέντρα ἢ βέλη, ἃ εὐκόλως εἰσδύουσιν εἰς τὸ σῶμα καὶ φονεύουσιν αὐτό. Ὅθεν «ὀξύτεραι» ἴσον τῷ «ὀλεθριώτεραι πασῶν τῶν ἄλλων μανιῶν». Ἀναπλήρωσον δὲ τὴν βραχυλογίαν τοῦ «Ἀπροσίκτων . . . μανίαι» οὕτω πως «Μανίαι ἀπροσίκτων ἐρώτων εἰσὶ μανίαι ὀξύτεραι πασῶν τῶν ἄλλων μανιῶν».

ΜΕΤΑΦΡΑΣΙΣ.

Ὦ παῖ Ῥέας, ἣ ἔλαχες τὰ πρυτανεῖα, Ἑστία, ἀδελφὴ τοῦ ὑψίστου Διὸς καὶ τῆς αὐτῷ ὁμοθρόνου Ἥρας, εὖ μὲν ὑπόδεξαι εἰς τὸν σὸν θάλαμον τὸν Ἀρισταγόραν, εὖ δὲ τοὺς ἑταίρους αὐτοῦ

πλησίον τοῦ ἀγλαοῦ σκήπτρου σου, οἵ σε γεραίροντες φυλάσσουσιν ὀρθὴν τὴν Τένεδον, πολλὰ μὲν σπονδαῖς τιμῶντες σὲ πρώτην τῶν θεῶν, πολλὰ δὲ θυσίαις· λύρα δὲ ἐν αὐτοῖς ἠχεῖ καὶ ᾠδή· καὶ τοῦ ξενίου Διὸς τὸ δίκαιον ἀσκεῖται ἐν ἀδιακόποις τραπέζαις· ἀλλὰ δὸς νὰ περάσωσι μέχρι τέλους τὴν δωδεκαμηνίαν σὺν δόξῃ καὶ ἀλύπῳ καρδίᾳ. Ἀνδρῶν δ' ἐγὼ μακαρίζω τὸν Ἀρκεσίλαον ὡς πατέρα, καὶ τὸ ἀξιοθέατον σῶμα τοῦ υἱοῦ καὶ τὴν σύμφυτον αὐτῷ ἀφοβίαν· εἰ δέ τις ἔχων πλοῦτον ὑπερτερήσει τῶν ἄλλων κατὰ τὴν μορφὴν, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύων ἐπιδείξει ἰσχὺν, μεμνήσθω, ὅτι περιενδύει μέλη θνητὰ, καὶ τὸ τέλος ἁπάντων θὰ ἐνδυθῇ τὴν γῆν· χρεὼν δὲ αὐτὸν νὰ αἰνῶσιν οἱ πολῖται ἀγαθοῖς λόγοις· καὶ μελιῤῥύτοις μέλεσι κοσμηθέντα νὰ ᾄδωσιν· ἐκ δὲ τῶν περιοίκων ἑκκαίδεκα ἀγλααὶ νῖκαι ἐν πάλῃ καὶ μεγαλαυχεῖ παγκρατίῳ ἐστεφάνωσαν Ἀρισταγόραν καὶ τὴν αὐτοῦ εὔδοξον πατρίδα. Αἱ δὲ δειλότεραι ἐλπίδες τῶν γονέων κατέσχον τὸν ἰσχυρὸν παῖδα νὰ πειραθῇ ἄθλων ἐν Πυθῶνι καὶ Ὀλυμπίᾳ· διότι ναὶ μὰ τὸν Ὅρκον, εἰ παρεγένετο ἐν Κασταλίᾳ καὶ τῷ εὐδένδρῳ λόφῳ τοῦ Κρόνου, κατὰ τὴν ἐμὴν δόξαν ἤθελεν ἐπιστρέψῃ κρείσσων τῶν ἀντιπάλων ἀγωνιστῶν, κωμάσας τὴν πενταετηρίδα ἑορτὴν τὴν ὑφ' Ἡρακλέους συσταθεῖσαν· καὶ στεφανωσάμενος τὴν κόμην χρυσοῖς κλάδοις· ἀλλὰ τῶν βροτῶν ἄλλον μὲν αἱ κενόφρονες μεγαλαυχίαι ἐξέβαλον ἐκ τῶν οἰκείων ἀγαθῶν, ἄλλον

δὲ πάλιν λίαν καταφρονήσαντα τῆς ἑαυτοῦ δυνάμεως ἡ ψυχὴ ἄτολμος οὖσα ἐκ τῆς χειρὸς ἕλκουσα εἰς τοὐπίσω παρέτρεψε τῶν προσηκόντων καλῶν. Τότε ἤθελεν εἶσθαι λίαν εὔκολον νὰ κατίδωμεν αἷμα συγκεκραμένον ἔκ τε τοῦ ἀπὸ Σπάρτης Πεισάνδρου (διότι ἐξ Ἀμυκλῶν ἀνεχώρησε σὺν τῷ Ὀρέστῃ ἄγων ἐνταῦθα εἰς Τένεδον ἀποικίαν χαλκοπλητῶν Αἰολέων), καὶ ἐκ τοῦ παρὰ τὸ ῥεῦμα τοῦ Ἰσμηνοῦ Μελανίππου τοῦ ἐκ μητρὸς προγόνου. Ἀλλὰ αἱ ἀρχαῖαι ἀρεταὶ ἀναφαίνουσιν ἐν ταῖς γενεαῖς τῶν ἀνθρώπων τὸ ἑαυτῶν σθένος κατ' ἐναλλαγήν· διότι συνεχῶς οὔθ' αἱ μέλαναι γέαι διδοῦσι καρπὸν, οὔτε τὰ δένδρα θέλουσι κατὰ πάσας τὰς περιόδους τῶν ἐτῶν νὰ φέρωσιν ἄνθος εὐῶδες ἴσον κατὰ τὴν ἀφθονίαν, ἀλλ' ἐναλλάξ· οὕτω διοικεῖ ἡ μοῖρα καὶ τὸ σθένος τῶν θνητῶν· τὸ δὲ ἐκ Διὸς προσδιωρισμένον οὐ πάρεστι τοῖς ἀνθρώποις σαφές· ἀλλ' ὅμως ἐπιχειροῦμεν μεγαλοπραγίας καὶ περὶ πολλῶν ἔργων φροντίζομεν· διότι ἐσμὲν δεδεμένοι ἐλπίδι ἀναιδεῖ· ἡ δὲ πρόγνωσις μακρὰν ἡμῶν κεῖται· πρέπει δὲ νὰ θηρεύωμεν τὸ κατὰ τὰς ἡμετέρας δυνάμεις μέτρον τῶν ἀγαθῶν· διότι αἱ μανίαι ἐρώτων ἀνεφίκτων εἰσὶν ὀλεθριώτεραι πασῶν.

Bayerische StaatsBibliothek

Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Pindarus,

[Nichtlateinische Schriftzeichen] [Kleanthes]

Bd.: 3

1886

A.gr.b. 3607 k-3/5
urn:nbn:de:bvb:12-bsb11537969-5